Αἴδος κυνέη, ἔστι τι νέφος ὁ ἀόρασία· ἢ περιφρασικῶς ἡ περικεφαλαία· ὁ αὐτῇ γὰρ τὸ πρόσωπον ἔκρυψεν ἡ Ἀθηνᾶ, διὰ τὸ μὴ ὁρᾶσθαι ὑπὸ Ἄρεος. ἢ Αἴδος κυνέη, ἀθάνατόν τι νέφος, ὃ περιβάλλονται οἱ Θεοὶ, ὅταν θέλωσιν ἀλλήλοις μὴ γινώσκεσθαι· ἢ νεφέλη ἀφανὴς, ἣν περιδυσάμενοι οἱ Θεοὶ, ἀθεώρητοι γίνονται ἀλλήλοις. καὶ Αἴδος, εἰς Ἅδου. καὶ Αἴδος κυνῆ, παροιμία πρὸς τοὺς ἐπικρύπτοντας ἑαυτοὺς, διὰ τινῶν μηχανημάτων· τοιαύτη δὲ ἡ τοῦ Ἅδου κυνῆ, ἣ Περσεὺς χρησάμενος, τὴν Γόργονα ἐδειροτόμησεν.

ΠΕΡΙ ΑΙΗΤΟΥ.

Αἰήτης, υἱὸς ἦν Ἡλίου· ὃς Θεῶν βουλῇσιν ἔγημεν Ἰδυίαν καλλιπάρηον· γέγονε δὲ κ᾽ πλειοτρμὸν τῶ Ι· Αἴτης γδ ἦν. Ἀπολλωνιος·

Αἰήτα, κείνην μὴ ἄναρ διέχευαν ἄελλαι.

ἔδει δὲ εἰπεῖν Αἰήτα, ὡς τοξότης, τοξότα· Ὀρέστης, Ὀρέστα· ἀλλ᾽ Ἰωνικῶς ἔτρεψε τὸ Α εἰς Η. καὶ αἴηται, ἄνεμοι. Ἐπιμενίδης δέ φησι, Κοελίνθιον τῷ γένει Αἰήτιον· μητέρα δὲ αὐτῶ Ἐφηραν. Διοφάνης δὲ ἐν τῇ ωρώτῃ τῶν ποντικῶν ἱστοριῶν, Ἀντιόπιον φησὶν Αἰήτου μητέρα· ωρογενέστερον δὲ τὸν Ἄψυρτον Μηδείας, ἐκ γενέσθαι Αἰήτιον, ἐξ Ἀστροδείης τῆς Ὠκεανῶ καὶ Τηθύος θυγατρός.

ΠΕΡΙ ΑΙΣΗΜΟΥ.

Αἴσημος, ὁ Ἀντικλείας ἀδελφὸς, Σίνωνα γεννᾷ· ὃς ἀκισάμβιος ἐαυτὸν, πλησίον τῶ δουρὶ ἵππου ἐκάθητο· οἱ δὲ Ἕλληνες, ὡς φησι Τρυφιόδωρος, πῦρ ὡς εἶδον πυκταῖσιν ἐνὶ κλισίῃσι, βάλλουσι ωρὸς Τένεδον κατῆραν, καὶ τὰς ωρὶ τὸν Τροίαν Καλυδνὰς νήσους· ἀφ᾽ ὧν νήσων δύο δράκοντες, Γόργις τε καὶ Χαρίβοια, διανηξάμενοι, τὸν παῖδα τῶ Λαοκόωντος ἀνέλον μέσον παντὸς τοῦ λαοῦ, ὅτι τῷ δόρατι βαλεῖν τὸν δούρειον ἵππον ἐτόλμησε. τότε δὲ τῶν Τρώων καπελθόντων, καὶ ἀπαυθέντων δόλοις τοῦ Σίνωνος, ἐκ ἑλκυσάντων αὐτὸν ωρὸς τὴν πόλιν, καὶ μέθη ἐκ χαρᾶ καὶ ὕπνῳ συσχεθέντων, αὐτὸς ὁ Σίνων, ὡς ἦν αὐτῷ σωπεθημένον, φρυκτὸν ὑωοδείξας τοῖς Ἕλλησι, ὡς Λέσχης φησὶ, νύκα μὲν ἔσω μέσση, λαμωρὴ δ᾽ ἐπέπλε σελήνη, ωροκαλεῖται αὐτοὺς διὰ τοῦ φρυκτοῦ εἰς Τροίαν, καὶ ἕλον.

ΠΕΡΙ ΑΚΑΣΤΟΥ.

Ἄκαστος, Πελίου υἱὸς, ὃς ἔγημε Κρηθηίδα, ἣν, ὥς τινες, Ἱππολύτην· ἡ δὲ Πηλέως ἐρασθεῖσα, αὐτὴ ὡς ἀπετύγχανε δεομένη, ωρολαβοῦσα τὸν Πηλέα τῷ ἀνδρὶ κατηγόρει, ὡς πειρασθέντα αὐτῆς· ὁ δὲ ἐξαγαγὼν τὸν Πηλέα, ὡς ἐπὶ θήραν εἰς τὸ Πήλιον, καπέλιπεν αὐτὸν ἄοπλον ἐν τῷ Πηλίῳ, ἵνα ὑωὸ θηρίων διαφθαρῇ. ἐπιστὰς δὲ ὁ Ἑρμῆς, ἣν, ὥς τινες, Χείρων, ἔδωκεν αὐτῷ ἀφαιττότευκτον μάχαιραν, ἣ τά τε ἐπιόντα τυγχάνων τῶν θηρίων ἀνῄρει, καὶ εἰς τὴν πόλιν ἐτα-

νελ-

πελθὼν, τὴν Ἀκάστου γυναῖκα, καὶ αὐλὸν, ὡς φασί τινες, ἀνεῖλεν.

ΠΕΡΙ ΤΟΥ ΑΚΡΙΣΙΟΥ.

Ἀκρίσιος γαμεῖ Εὐρυδίκην τὴν Λακεδαίμονος, ὡς Φερεκύδης ἐν δωδεκάτῃ ἱστορεῖ· τῷ δὲ γίνεται Δανάη· χρωμένῳ δ' αὐτῷ περὶ ἄρσενος παιδὸς, ἔχρησεν ὁ θεὸς ἐν Πυθοῖ, ὅτι αὐτῷ μὴ ἔσται παῖς ἄρσην· ἐκ δὲ τῆς θυγατρὸς, τοῦ αὐτοῦ δεῖ ἀπολέσθαι· ὁ δ' παρελθὼν εἰς Ἄργος, θάλαμον ποιεῖ χαλκοῦν ἐν τῇ αὐλῇ τῆς οἰκίας, καὶ γῆς, ἔνθα τὴν Δανάην ἐσάγει μετὰ τῆς τροφοῦ· ἐν ᾧ αὐτὴν ἐφύλασσεν, ὅπως ἐξ αὐτῆς παῖς μὴ γένηται· ἐραθεὶς δὲ ὁ Ζεὺς τῆς παιδὸς, ἐκ τοῦ ὀρόφου, χρυσῷ διαπλήσιος, ῥεῖ· ἡ δὲ, ὑποδέχεται τῷ κόλπῳ. ἐμφήνας δὲ αὐτὸν ὁ Ζεὺς, τῇ παιδὶ μίγνυται· τοῦ δὲ γίνεται Περσεὺς, καὶ ἐκτρέφει αὐτὸν ἡ Δανάη, καὶ ἡ τροφὸς, κρύπτουσα Ἀκρίσιον· ὅτε δὲ Περσεὺς τελετῆς, ἢ τετραετῆς, ἐγένετο, ἤκουσεν αὐτοῦ τῆς φωνῆς παίζοντος· ἐκ διὰ τῶν θεραπόντων μεταπεμψάμενος τὴν Δανάην σὺν τῇ τροφῷ, τὴν μὲν ἀνεῖρξε, Δανάην δὲ κατάγει σὺν τῷ παιδὶ ἐπὶ τὸν ὑπὸ τοῦ Ἑρκείου Διὸς βωμόν· μόνος δὲ αὐτὴν ἐρωτᾷ, πόθεν εἴη αὐτῇ γεγονὼς ὁ παῖς. ἡ δ' ἔφη, ἐκ Διός· ὁ δὲ οὐ πείθεται· ἀλλ' εἰς λάρνακα ἐμβιβάζει αὐτὴν μετὰ τοῦ παιδός· ἐκ κλείσας, καταποντοῖ. ἐκ φερόμενοι, ἀφικνοῦνται εἰς Σέριφον τὴν νῆσον, καὶ αὐτοὺς ἐξέλκει Δίκτυς, ὁ Πεσιστοθένους, δικτύῳ ἁλιεύων. ἔνθα ἡ Δανάη, ἀνοίξαι ἱκετεύει τὴν λάρνακα· ὁ δὲ ἀνοίξας, καὶ μαθὼν οἵ τινές εἰσιν, ἄγει εἰς τὸν οἶκον, καὶ τρέφει ὡς ἂν συγγενεῖς αὐτοῦ ὄντας. ἦσαν γὰρ ὁ Δίκτυς ἐκ ὁ Πολυδέκτης, Ἀνδροθόης τῆς Κάσσου, καὶ Πεισθένους τοῦ Δαμάσσου, τοῦ Ναυπλίου, τοῦ Ποσειδῶνος, καὶ Ἀμυμώνης, ὡς Φερεκύδης ἐν πρώτῃ· ἐν δὲ πῖς ἑξῆς καὶ περὶ τοῦ θανάτου προσίθησι Φερεκύδης τοῦ Ἀκρισίου, ὅτι μὴ τὴν ὑπὸ Σεριφῳ ἀπολίθωσεν Πολυδέκτην τοῦ σὺν αὐτῷ, τὴν ὑπὸ τῆς Γοργόνος κεφαλῆς, Δίκτυν μὲν Περσεὺς ἀπολείπει ἐν τῇ Σεριφῳ, βασιλεύειν τῶν λελειμμένων Σεριφίων· αὐτὸς δὲ ἔβη πλέων εἰς Ἄργος σὺν τοῖς Κύκλωψι, καὶ τῇ Δανάῃ, ἐκ τῇ Ἀνδρομέδᾳ· ἐκ ἐλθὼν, Ἀκρίσιον οὐχ εὑρίσκει ἐν Ἄργει· ὑπεχώρει γὰρ αὐτὸν δείσας εἰς τὴν Πελασγὸν, εἰς Λάρισσαν· μὴ μεταλαβὼν δὲ αὐτὸν, τὴν μὲν Δανάην καταλείπει παρὰ τῇ μητρὶ Εὐρυδίκῃ, καὶ τὴν Ἀνδρομέδαν, ἐκ τοὺς Κύκλωπας· αὐτὸς δὲ ἔβη εἰς Λάρισσαν· καὶ ἀδικό-

κόμῃ Ἀκρίσιον ἀναγνωρίζει, καὶ σὺν αὐτῷ ἐπεσθαι εἰς Ἄργος πείθει. καὶ ὅτε δὴ ἔμελλον ἰέναι, συντυγχάνει ἀγῶνι νέων ἐν τῇ Λαρίσσῃ· καὶ ὁ Περσεὺς ἀποδύεται εἰς τὸν ἀγῶνα, καὶ λαβὼν τὸν δίσκον, δισκεύει· τὸ δ' ἐνταῦθον ἔπω ἦν, ἀλλ' ἰδίᾳ ἕνα ἕκαστον τῶν ἄθλων ἤθλευν· ὁ δὲ δίσκος προχαλιθεὶς ἐπὶ τὸν πόδα τοῦ Ἀκρισίου, τιτρώσκει αὐτόν. καμὼν δὲ ὁ τότε Ἀκρίσιος, ἀποθνήσκει αὐτοῦ ἐν Λαρίσσῃ· καὶ αὐτὸν κατατίθεται Περσεὺς, καὶ οἱ Λαρισσαῖοι ὡρόθεν τῆς πόλεως. καὶ αὐτῷ ποιοῦσιν ἡρῷον οἱ ἐπιχώριοι· Περσεὺς δ' ἀναχωρεῖ τοῦ Ἄργους.

ΠΕΡΙ' ΑΚΤΟΡΙΩ'ΝΩΝ.

Ἀ'Κτορίωνες, οἱ παῖδες τοῦ Ἄκτορος, Κτέατος, καὶ Εὐρυτος, ἀνδρεῖοι καὶ ἡνιοχικοί· ῥηθέντες πως καὶ Μολίωνες, παρ' Ὁμήρῳ· ὡσαὐτως δὲ τοῖς ὕστερον, Μολιονίδαι· ὃς Ὅμηρος μὲν διδύμους ἱστορεῖ ἀπλῶς· οἱ δὲ κατ' Ἀρίσταρχον, ἔχ ἕτως, οἷον κατὰ τοὺς Διοσκόρους, ἀλλὰ κατὰ τὸν τοῦ Ἡσιόδου μῦθον, καὶ διφυεῖς, δύο μὲν ἔχοντες σώματα, συμπεφυκότα δέ γε ἀλλήλοις. ἄλλως· Ἀκτορίωνε, Μολίωνε παῖδε. διαφωνεῖται ὡσαὐτως τοῖς παλαιοῖς· οἱ μὲν γὰρ καὶ ἀμφω τὰς λέξεις πατρωνυμεῖσθαί φασιν, ἵνα λέγῃ Ἀκτορίωνας μὲν ἀναμφιλέκτως, τοὺς Ἀκτορίδας, ὅ ἐστιν υἱοὺς Ἄκτορος. Μολίωνας δὲ, ἢ πατρωνυμικῶς· καὶ αὐτὸ, ὅτι Μόλου ὄντως πατρὸς, τοῦ καὶ Ἄκτορος. διὸ καὶ Ῥωμαϊκῷ ἔθει Ἄκτωρ Μόλυ, ἀσωδέτως ὁ πατὴρ καὶ διωνυμίαν· ἕτω καὶ οἱ αὐτοῦ παῖδες, Ἀκτορίωνε Μολίωνε· ἢ μητρωνυμικῶς ἀπὸ μητρὸς Μολίνης, ἵνα κλίνοιντο ἀπὸ τοῦ Μολιονίδης, Μολιονίων, ὡς Πελαμίδης, Πελαμίων, καὶ ἐν συγκοπῇ, Μολίων· μάλιστα δὲ, ὡς Ὑπερονίδης, Ὑπερονίων, Ὑπερονίωνος, καὶ ἐν συγκοπῇ Ὑπερίωνος λέγοιτο. καθάπερ διὰ τὸν πατέρα Ἄκτορα, Ἀκτορίωνε, ἕτω καὶ διὰ τινὰ μητέρα Μολιόνην, Μολίωνε, ἦγουν Μολιονίδαι· ἢ Μολίωνε, τυπτέτην Μολιόνης υἱοί· ἕτεροι δὲ τὸ Μολίωνε κατ' ἐπίθεσιν, ἦγουν ἐπιθετικῶς νοοῦσιν· ἵνα ἡ λέξις δηλοῖ τὰς μαχίμους καὶ ὁρμητικάς· ὡσαὐτως τὸν μῶλον, ἀλλὰ ὡσαὐτως τινὰ ἐν μάχῃ μόλησιν, ἐξ ἧς ἐν ἑκάστῃ ὁ μῶλος γίνεται· ἢ ὡσαὐτως τὸ μόλω ῥῆμα, ἐξ οὗ καὶ Μέλιος, ὁ ῥηθεὶς τοῦ Αὐγέου γαμβρός· καὶ Μόλος ὁμωνύμως τῷ Μόλῳ Ἄκτορι, ὁ τοῦ Μυρτίνου, ἢ, κατά τινας, Μολιόνης πατήρ.

ΠΕΡΙ ΑΛΕΚΤΡΥΩΝΟΣ.

Ἀλεκτρυῶνα ἄνθρωπον ὄντα, φασὶ κατασθῆναι ὑπὸ Ἄρεως ἐν τῷ οἴκῳ Ἡφαίστου, πρεσβεύοντος αὐτοῦ τινὶ ἄνοιξιν, διὰ τὸ μοιχεύειν τὴν Ἀφροδίτην. ὁ δὲ, ἀπεκοιμήθη· φρασθεὶς δὲ, εἰς τὸ ὄρνεον αὐτὸν μετέβαλεν· ὁ δὲ μεμνημένος τοῦ ὥρου ἐκείνου, ἄρχεται ᾄδειν, τὴν τοῦ Ἡλίου προσμένων ἀνοδον, καθ' ἣν ὁ Ἥφαιστος εἰώθει ἐπανήκειν οἴκαδε.

ΠΕΡΙ ΑΛΕΞΑΝΔΡΟΥ, ΤΟΥ ΚΑΙ ΠΑΡΙΔΟΣ.

Ἀλέξανδρος, ὁ πρότερον μὲν Πάρις κατωνομασμένος διὰ τὸ παρεῖναι τὸν μόρον, ὕστερον ὅτως ἐκλήθη ἀπὸ τῶν λῃστῶν, ποιμνίοις ἀλεξήσας. ἢ ὅτι τῇ πατρίδι ἠλέξησεν, ὅ ὅσιν ἐβοήθησε, πολέμου ἐπελθόντος· ἐτυμολογεῖται δὲ Ἀλέξανδρος, παρὰ τὸ ἐπαλξεῖν τῇ πατρίδι τοῖς πολεμίοις· ἢ διὰ τὸ ἄλεξιν εἶναι ἀνδρῶν, ἤγουν, βοήθειαν· ὄντινα εὐθὺς πεχθέντα, ἐν τῇ Ἰδῃ ἐκτεθῆναι ἱστοροῦσι, καὶ αὐξηθῆναι, ἐς παρελθεῖν τὸν μόρον ὅπως· κατὰ γαστρὸς αὐτὸν ἔχουσα ἡ Ἑκάβη, ἐνόμισε κατ' ὄναρ, καυσίμου δαλὸν τίκτειν, ὅστις καταφλέξει πᾶσάν τε τὴν πόλιν, ἐς τὴν ἑστῶσαν ἐν τῇ Ἰδῃ ὕλην· τοῦτο δὲ τὸ σύμπτωμα ἀκούσαντες οἱ μάντεις, ἐς οἱ περὶ τὰς ὀνείρους δεινοί, εἶπον τὸ πεχθὲν παιδίον εὐθέως μικρὸν ὄν, ῥιφῆναι θηρσὶ βοράν· πεχθέντα δὲ Ἀλέξανδρον, ἐξέθηκαν ἐν τῇ Ἰδῃ, Ἀρχελάῳ οἰκίτῃ περιδιδόντες· πέντε δὲ ἡμέρας τοῦτον ἄρκτος ἐθήλασεν ἐκείμενον· εἶτα πάλιν ὁ Ἀρχέλαος ἑωρακὼς ὄντα δωδέκατον, ἀνελόμενος, ἐπὶ τῶν χωρίων, ὡς ἴδιον ἔτρεφεν, Πάριν κατωνομασμένον. φασὶ τοίνυν αὐτὸν τὸ εἶδος γεγονέναι ἥδιστον, ἐπίχαριν τε τὴν φωνὴν, ἐς τὸ ἦθος, ἅτε τῇ Πελοποννήσῳ ἐπιμίξαντα· καὶ Τρωσὶ μὲν ἀπηχθῆσθαι πᾶσι, κακὸν δ' ἐκ εἶναι τὰ πολέμια, ἀλλὰ μάχεσθαι πάντας τρόπους· καὶ τὴν ἐπιστήμην, ὁπόση τόξων, μὴ λελεῖφθαι τοῦ Πανδάρου· καὶ πλεῦσαι μὲν ἐς τὴν Ἑλλάδα ἔφηβον, ὅτε δὴ ξένον τοῦ Μενελάου γενέσθαι αὐτὸν, ἐς τὴν Ἑλένην ἐλθεῖν τῷ εἴδει. τοῦτον Φιλοκτήτης τοξεύσας, βάλλει πρώτου κατὰ χεῖρα λαιάν· εὐθὺς δὲ δεύτερον οἷσὸν ἀφεὶς, ἐκκόπτει τότε τὸν δεξιὸν ὀφθαλμόν· καὶ τελευτῶν βέλει κατὰ σφυρὸν πικρᾶς, αὐτὸν ἀναιρεῖ ὅπως τελακοντοτύπτων· ὅτι δὲ φιλῳδὸς ἦν ὁ αὐτὸς Ἀλέξανδρος, δηλοῖ καὶ ἡ κιθάρα, ἣν αὐτῷ Ἕκτωρ ἐνεδίζει· ἔστιλβε δὲ ἐς τοὺς ὄνυχας τῶν χειρῶν, καὶ πόγρυπος ἦν, ἐς λευκὸς, ἐς τὸ ὄμμα ἐγέγραπτο·

ἡ δὲ

ἡ δὲ ἑτέρα ὀφρὺς, ὑπερῆρε τὸ ὄμματος· ἀλλὰ ἐς κόσμον ἔνεκεν, περιήθρει μὴ ἑωυτὸν, ἀφιεσκόπει δὲ τὰ ὅπλα· δορὰς δὲ παρδαλέων ἐνῆπτο τοῖς ὤμοις· ἀυχμὸν δὲ περοσιζάνειν ταῖς κόμαις, ὐδὲ ὁτότε μάχοιτο, ἠνείχετο. Ὁμηρος ἐλάφῳ μὴν αὐτὸν εἰκάζειν, ὡς δειλόν· αἰγὶ δὲ, ὡς ὀχθητικόν· τοιαῦτα μὴν γὸ τὰ ζῶα. Σπησίχορος δὲ φησὶν, ὅτι διερχομένῳ Ἀλεξάνδρῳ δι' Αἰγύπτου, ὁ Πρωτεὺς Ἑλένην ἀρελόμενος, εἴδωλον Ἑλένης αὐτῷ ἔδωκε· ἐς ὅπως ἔπλευσεν εἰς Τροίαν.

ΠΕΡΙ ΑΛΕΤΡΙΔΩΝ.

Ἀλετρίδες, κόραι τινὲς Ἀθήνῃσιν ἀπεδείκνυντο, ἐφ' ᾧ τὰ εἰς θυσίαν πόπανα πωλεῖν· ἦσαν δ' ἔντιμοι ἐς εὐδόκιμοι παρθένοι, ὅτι τὰ εἰς θυσίαν πόπανα ἦγον· ἐφ' οἷς ἐς ἱερός τινας μύλωνας ἀναγράφεσθαι οἱ τὰ Ἀττικὰ συγγεγραφότες. Παυσανίας δὲ λέγει, ὅτι ἀλετρίδες, αἱ τὸν ἱερὸν ἄλετον ἀλέσαι· ἤρξατο δέ τινες παρθένοι, αἱ τὰ εἰς θυσίαν πόπανα ἤλεσαν, καὶ ἔντιμοι ἦσαν.

ΠΕΡΙ ΑΛΚΙΜΕΔΗΣ.

Ἀλκιμέδη, ὡς Φερεκράτης καὶ Ἀπολλώνιος ἱστοροῦσι, μήτηρ μὲν ἦν Ἰάσονος, θυγάτηρ δὲ Φυλάκου. Ἡρόδωρος δέ, Πολυρήμου φασὶν εἶναι τοῦ Ἰάσονος μητέρα, θυγατέρα δὲ Αὐτολύκου. Ἄνδρων δὲ ἐν τῇ ἐπιτομῇ τῶν συγγενειῶν, Θεογνήτου τοῦ Λαοδίκης μητέρα, Ἰάσονος γεγονέναι φησίν.

ΠΕΡΙ ΑΛΚΥΟΝΙΔΩΝ ΗΜΕΡΩΝ.

Ἀλκυών, θαλάσσιόν ἐστιν ὄρνεον, περὶ τὸ ἐν ἁλὶ κύειν, ἤγουν ἐν θαλάσσῃ· λέγεται ἀποκοπικῶς καὶ ἀλκυονίς. φασὶ δέ, ὅτι τὸ κῦμα ἀφανίζον αὐλὴς τὰ ᾠὰ, καὶ ἐπιπολὺ ὄντος ἀπένου, ὁ Ζεὺς ἐλεήσας αὐτοὺς, ὥρισεν ἡμέρας πεντεκαίδεκα ἐφεξῆς, ἢ, ὥς τινες, ἰδ', διδιεινὰς ποιεῖν· ἐν αἷς τίκτει περὶ τοῖς αἰγιαλοῖς, καὶ ἐκκλύζει ἑπτά, ἃς λέγουσιν ἀλκυονίδας· αἱ ἀλκυονίδες ἡμέραι καλοῦνται, ἑπτὰ πρὸ τοῦ τόκου, καὶ ἑπτὰ μετὰ τὸν τόκον, χειμῶνι, ἐς γαλήνῃ ἔχουσαι. καὶ περὶ τοῦ αὐτῶν ἀριθμοῦ διαφέρεται. Σιμωνίδης μὲν γὰρ πέντε φησὶν αὐτὰς, καὶ Ἀεισοπέλης· Δημαγόρας δὲ ὁ Σάμιος, ἑπτά· Φιλόχορος δὲ ἐννέα· ὅτι δὲ καὶ δεκαπέσσαρές εἰσιν, ἕτεροι λέγουσι. Παυσανίας δὲ μῦθον ἐπ' αὐταῖς καὶ τοῦτόν φησιν. Ἀλκυωνέως τοῦ γίγαντος θυ-

γατέρες, Φθονία, Ἄνθη, Μεθώνη, Ἀλκίππη, Γαλήνη, Δρυμώ, Ἀσεσίη, μ̃ Ἰωὶ τ̃ πατρὸς πλαστίωι, ἀπὸ Καίστρ, ὁ ὄστιν ἄκρον Παλήνης, μέχρι ἐ νῶ φυλάσσον τὶωὶ κλῆσιν, ἔρριψαν ἑωυτὰς εἰς τὶωὶ θάλατταν· Ἀμφιτείτη ὀ ὠὐτὰς οἰκιθας ἐποίητε, κ̀ ἀπὸ τ̃ πατρὸς Ἀλκύονες ἐκλήθησαν, ἀφ' ὧν αἱ ἀλκυονίδες ἡμέραι. ἰστέον δὲ, ὅτι κήρυλοι κ̃ Παυσανίαν, ὀ ἀλκυόσιν, οἱ ἄῤῥενες· οἱ γηράσαντες, φησὶν, ὑπὸ τ̃ θηλειῶν βασάζονται· κεῖται δὲ ὁ ῥηθεὶς κήρυλος κ̀ ᾧ τ̃ Κωμικῶ, παροξυτόνως μέντοι διὰ ἑνὸς Λ, ὀ τοῖς πλείοσι τ̃ ἀντιγράφων· σημέωται ὅτι Ἀλκυὼν μὴ Ἀλκυόνος, τὸ ὄρνεον· Ἀλκυόνη ὀ, ἐπὶ κυρίω, τ̃ης Κλεοπάτρας, τ̃ης παρωνύμως τ̃ ὀρνέω· ὅτι διώνυμος ἡ Κλεοπάτρα· ὡς κ̀ τ̃ Ἕκτορος ὁ υἱὸς, ὁ ἄλλα, τ̃ῇ μὲν μι᾽ τ̃ ὀνόματος μόνον τ̃ φιλτάτων ὁμωζοιδίη ὁ μεγάλοις, ὥς φησιν ὁ ποιητής· τ̃ᾷ δ' ἑτέρᾳ κοινῶς ἀπὸ τ̃ ἄλλων· κ̀ ὅτι ὁ διὰ πάθος οἰκεῖον ἡ Κλεοπάτρα τὶωὶ τ̃ης Ἀλκυόνης ἔσχεν ἐπωνυμίαν, ἀλλὰ διὰ τὶωὶ μητέρα, πενθήσαν δίκλιω πολυτένθης Ἀλκυόνος· ὁ ἱστορίαν δὲ τοιάυτην περὶ Ἀλκυόνης φασὶν, ὡς ἀπ' ἀνθρώπων ἀπωρνεώθη. ἔστι ὀ ἡ Κήυκος τ̃ Ἑωσφόρων βασιλέως γυνή· οἳ ὀλβῳ μεγίστῳ ἐπαρθέντες, εἰς τοσοῦτον ἦλθον φρυάγματος, ὡς ἐπαξιῶν τοῖς ἰδίοις ὀνόμασι καλεῖσθαι· κ̀ ὁ μὲν ἐκάλεσεν ἑαυτὸν Δία, ἡ ὀ, Ἥραν· κ̀ ποτὲ ὀ θαλάσσης αὐτ̃ πλέοντος, ὁ Ζεὺς ὀργισθεὶς, αὐτόν τε διέφθειρε, κ̀ τὶωὶ ναῦν· ἡ ὀ ἄγαν περιπαθῶς ὠδύρετο τὸν τ̃ ἀνδρὸς θάνατον ᾧ τ̃ τύμβῳ· ἣν ἐλεήσας ὁ Ζεὺς, ἀπωρνέωσε· καὶ ἐκεῖνον ὀ εἰς ὄρνεον μετέβαλεν, ὀ κήρυλον καλοῦσιν· ἐθρήνει δὲ περὶ τ̃ αὐτ̃ ὀ τ̃ῇ θαλάττῃ κλωμυθῶν ὠῶν· διὸ κ̃ Διὸς οἶκτον, ποσαρεσκαίδεκα ἡμέρας, ἀλκυονίτιδας καλυμβάς, εὐδιεινὰς ἔχειν ἔτως· ὀ ἅις τίκτουσα, ἐκβάλλει τ̀ς νεοττ̀ς.

ΠΕΡΙ ΤΩΝ ΑΛΙΤΗΡΙΩΝ.

Ἀλιτήριοι ὑπ̃θεν ἐκαλοῦντο οἱ πένητες παρ' Ἀθηναίοις, ὅτι λιμῷ καταλάβοντός ποτε αὐτ̀ς, οἱ πένητες, τὰ τ̃ ἁλόντων ἄλευρα διήρπαζον· ἀπὸ γοῦν ἐκείνων καταχρηστικῶς ὁ τ̀ς πονηρὰς, κ̀ ἀνοσίους, ὁ μιάσματι ἐνεχομένους, ἀλιτηρίους ἐκάλουν· παρέπεινε δὲ τὸ ὄνομα, κ̀ ἐπὶ τ̃ μ̃ βίᾳ τι ποιούντων, ἀπὸ στοιβείας τ̃ης κ̃ τὸν Αἰτωλικὸν πόλεμον γενομένης.

ΠΕ-

ΠΕΡΙ ΑΛΟΣΤΑΝΗΣ.

Ἀλοσύδνην, μίαν ὁ μῦθος οἶδε τῶν Νηρηΐδων· διὸ καὶ καλὴ αὐτὴ λέγεται προσωπικῶς· ἄλλως μέντοι ἡ Ἀλοσύδνη, ὡς καὶ τὸ ὕδωρ ἁλμυρὸν λέγει· ἕτεροι δέ, Ἀμφιτρίτης ἐπίθετον αὐτὸ νοοῦσι. καὶ ὅδε μὲν τὸ ὕδωρ ἐτυμολογοῦσι τῷ λέγειν, ἀλλὰ μὴν τὸ ὑπ' ἀλλήλων τύεσθαι, ὅ ἐστιν ὀρύττειν· ἰστέον δὲ, ὡς κτῆμα τῆς Ἀλοσύδνης αἱ φῶκαι πλάττονται· ἔστι φῶκας Ἀλοσύδνης αὐτὰς ἀναγνώστης τις, ἔστι νέποδας Ἀλοσύδνης· διὸ καὶ ἔφη τὸν Πρωτέα ὁ Ποιητὴς ἐν μέσαις αὐταῖς κεῖσθαι, ὡς νομέα ἐν πώεσι μήλων· ἃ δὴ καὶ αὐτὰ ἀνδρῶν κτήματα. τινὲς δὲ ἠρέθισαν τρόπῳ συγγενικῷ ὕστερα φρατρῆναι· νέποδες γάρ φασι θαλάσσης αἱ φῶκαι, ὅ ἐστι τέκνα· νέπους γὰρ, κατά τινα γλῶσσαν, ὁ ἀπόγονος, καὶ Ἀλοσύδνη. σημείωσαι ὅτι ἡ μιᾶς τῶν Νηρηΐδων παρὰ τῷ Ποιητῇ, ἀλλὰ τῆς Θέτιδός ἐστιν ἐπίθετον ἐν τῇ Ἰλιάδι· ἐν μέντοι τῇ Ὀδυσσείᾳ ἔοικε Νηρηΐδων ὄνομα εἶναι, ἐν τῷ,

--- Φῶκαι νέποδες καλῆς Ἀλοσύδνης.

εἰ μὴ ἄρα θαλάσσης εἴη ἐκεῖ ἐπίθετον.

ΠΕΡΙ ΑΛΩΙΑΔΩΝ.

Ἀλωΐάδας γηγενεῖς εἶναι Ἐρατοσθένης φησί· διὰ δὲ τὸ ἀνατετράφθαι ὑπὸ τῆς Ἀλωέως γυναικὸς, μυθευθῆναι ὡς Ἀλωέως εἰσὶν υἱοί· Ἡσίοδος δὲ, Ἀλωέως καὶ Ἰφιμεδείας κατ' ἐπίκλησιν· ταῖς δὲ ἀληθείαις, Ποσειδῶνος καὶ Ἰφιμεδείας αὐτούς· καὶ Ἄλον πόλιν Αἰτωλίας ὑπὸ τοῦ πατρὸς αὐτῶν ἐκτίσθαι· ἧς Ὅμηρος μνημονεύει·

Οἵ δ' Ἄλον εἶχον. ---

οἶδε γὰρ τιὼ σὺν τούτων ἱστορίαν καὶ αὐτός.

ΠΕΡΙ ΑΜΑΔΟΚΩΝ.

Ἀμάδοκοι, δύο γεγόνασιν, πατὴρ καὶ υἱὸς, ὡς Ἰσοκράτης Φιλιππικῷ· οἱ δὲ Φιλίππῳ συμμαχήσοντες, ἦλθον εἰς τὸν κατὰ Κερσοβλέπτου πόλεμον· ἀμφοτέρων μέμνηται Θεόπομπος ἐν τρίτῳ τῶν Φιλιππικῶν.

ΠΕΡΙ ΑΜΑΖΟΝΩΝ.

Ἀμαζόνες, Ἄρεως μυθεύονται ἀπόγονοι εἶναι, καὶ Ἁρμονίας νύμφης Ναΐδος· καλοῦνται δὲ οὕτως, ἢ παρὰ τὸ στηρᾶν τὸν ἕτερον

τῶν μαζῶν, οἱονεὶ μαζόμαζοι, ὡς ἂν μὴ ἐμποδίζοιντο ἐν τῷ τοξεύειν, ἐιρηκε παρὰ τῷ Ποιητῇ ἐπὶ τῶν τοξευόντων·

Νευρὴ μὲν μαζῷ τέλαστε, τόξῳ δὲ, σίδηρος.

ἢ παρὰ τὸ τὰ πολλὰ μὴ χρῆσθαι μάζαις· κρέασι δὲ, καὶ πυροῖς καὶ χελώναις, ὡς αἱ ἱστορίαι φασὶ, καὶ σάυραις καὶ ὄφεσιν. ὅτι δὲ τὸ Α σημαίνει ποτὲ καὶ μόνωσιν, δῆλον ἐκ τοῦ ἀπλοῦ, ὅπερ ὄφις μόνον πέλαν, εἶτεν ἐν· ὡς ὅιον ἀπέλιον, ἤγεν ἐν πέλον. ἐλέγοντο δέ, ὡς ἐπὶ πυρριπόων ἵππων ὀχήμασι, ἄλλας τε τόπους καταδραμεῖν, ὡς τὴν Φρυγίαν, ἡγεμόνων αὐταῖς τῆς στρατιᾶς Μελανίππης καὶ ἑτέρων τινῶν. ἐπιφανεῖς δὲ ἱστορῦνται Ἀμαζόνες ἄλλαι τε, καὶ Ἱππολύτη, ἡ Θησέως ὕστερον γυνή· Ἀντιόπη, Ἄναια, Ἀνδρομάχη, Τράλλα, Ἰσοκράτεια, Θίβα, Τάλλα, Σμύρνα, Ἄλλα, Γλαύκη, Πενθεσίλεια. ὅτι δὲ τὸν δεξιὸν μαστὸν ἐν παισὶν ἅπασαι Ἀμαζόνες ἐπεκαίοντο, διὸ καὶ Ἀμαζόνες ἐλέγοντο, καὶ ἡ τοῦ Γεωγράφου ἱστορία ὁμολογεῖ. Ἔφεσον δὲ τὴν Ἀρτέμιδος τροφόσπολον, αὐτοῖς μυθεύουσι μάμμην φασίν· ἧς θυγάτηρ Ἀμαζών· ἀφ' ἧς Ἀμαζόνες· αὐτὰς δὲ ὑπὸ Ἡρακλέους διωκομένας, ὅτε, κελεύοντος Εὐρυσθέως, ἐπὶ τὸν τῆς Ἱππολύτης ἐζήτει ζωστῆρα, καταφυγεῖν ἐπί τινα βωμὸν Ἀρτέμιδος, κἀκεῖ τυχεῖν ἀφέσεως, καὶ τὸν τόπον ἐκεῖθεν Ἔφεσον κληθῆναι, καὶ παραγραμματισμόν, ἀντὶ τοῦ, ἄφεσον. τινὲς δὲ ὅμως λέγουσιν, ὅτι αἱ γυναῖκες ἦσαν, ἀλλ' ἄνδρες βάρβαροι. ἐφόρουν δὲ χιτῶνας ποδήρεις, ὥσπερ αἱ Θρῇσσαι, καὶ τοῖς κόμοις ἀνεδοῦντο μίτρας· τὰς δὲ πώγωνας ἐξυρῶντο· καὶ διὰ τοῦτο ἐκαλοῦντο παρὰ τοῖς πολεμίοις γυναῖκες Ἀμαζόνες δὲ τὸ γένος, καὶ μάχεσθαι ἀγαθοὶ ἦσαν.

ΠΕΡΙ ΤΗΣ ΑΜΑΛΘΕΙΑΣ, ΚΑΙ ΤΟΥ ΚΕΡΑΤΟΣ ΑΤΤΗΣ

Ἀμάλθεια, ἡ τροφὸς τοῦ Διός· εἴη δ' αὐτῷ φασιν ἀμαλακισίαν· ὅθεν καὶ πεπλάσθαι τὸ ὄνομα, παρὰ τὸ μὴ μαλάσσεσθαι· διὰ τοῦτο καὶ τὸν Ἡρακλέα καρτερικώτατον γεγονέναι, ἔχειν αὐτῆς τὸ κέρας ἐμυθολόγησαν. Ἀμαλθείας δὲ κέρας εἴρηται, διὰ τὸ πάντων ἐπιτυγχάνειν· ἐπειδὴ οἱ εὐχόμενοι τῇ θρανίᾳ αἰγὶ, ἐπιτυγχάνουσιν· ἢ ὅτι Ἑρμῆς Ἡρακλεῖ ἔδωκε τὸ κέρας, ὅταν τὰς Γηρυόνου βοῦς ἐμελλεν ἐλαύνειν· ἕτεροι δὲ τὸ τοῦ μύθου νοσοῦν ἐκθεραπεύοντες, ἱστορῆσι γραῦν τινὰ Ἀμάλθειαν γενέσθαι, κερδαλέην, ἐμπορικὴν, τὸ πολὺ τῆς ἐμπολῆς ἐντιθεῖσαν πέρατι· ὃ διὰ τοῦτο Ἀμαλθείας κέρας ἐφημίζετο, πλουτοποιὸν καὶ βιωφελές· ἐπεὶ δὲ ὁ Ἡρακλῆς ἀφελόμενος αὐτὸ πλῆρες τοῦ

ἐγ-

ἐγκειμένου κέρματος, ὃ χρησάμενος ἔζησε χρὸς τρυφὴν, λόγος ἐντεῦθεν διεδόθη ἀστεῖος, ὡς ἄρα τῷ Ἡρακλεῖ τὸ τῆς Ἀμαλθείας κέρας ἐνέβλιζε πᾶι ἀγαθόν· ὃ τὸ τῆς μυθικῆς αἰγὸς, τῆς θρεψαμένης τὸν Αἰγίοχον Δία, ἀλλὰ τὸ τῆς ῥηθείσης γραός. ἄλλοι δὲ τὸ τῆς Ἀμαλθείας κέρας, δι' ὅπερ εὖ ἔχει τὰ κ τὸν Ἡρακλέα, τὸ σκληρὸν φασι τῆς διαίτης ἐκείνου, καὶ τὸν ποτε κατ' ἀρετὴν βίον ἀνύτοντα· ὁπηνίκα καὶ γυμνὸς θηρίων, καὶ ἐκκαθαίρων κακίας τὴν γῆν, ὃ μαλθακῶς εἶχεν, ἀλλὰ σκληρότερον τοῖς φαύλοις χρωτεφέρετο· καὶ τοῦτο ἦν τὸ τῆς Ἀμαλθείας κέρας, ἡ ἀμάλθακος χρὸς πόνους ἀντιτυπία τοῦ ἥρωος. ὅτε μύθοι ἐμελέτησεν οἰκουρεῖν, ἀναπεισθεὶς ὑπὸ γυναικὸς, καὶ σκιατραφούμενος, καὶ ἱμάτια θηλυβάλλετο θάλπουτα, καὶ οὐκέτι χρὸς ψύχος ἐγυμνάζετο, ἀλλ' ἐθάλφθη, καὶ ὑπεμαλάχθη, χρὸς τρυφὴν ἀποκλίνας, κατακαίει ὁ λόγος τὸν ἥρωα, τὴν ἐκ τῆς περιβολῆς θάλψιν εἰς πυρὰν αὖτῳ ὑπανάψας.

ΠΕΡΙ Α'ΜΥΜΩ'ΝΗΣ.

Ἀμυμώνη, θυγάτηρ ἦν Δαναοῦ.

ΠΕΡΙ 'ΑΜΦΙΔΡΟΜΙΩΝ.

Ἀμφιδρόμια, ἑορτή τις ἦν, ἣ ἄγετο ἐπὶ τοῖς νεογνοῖς παιδίοις· ἐν ᾗ τὸ βρέφος χρῶτα τὴν ἑστίαν ἔφερον τρέχοντες, καὶ ὑπὸ τῶν οἰκείων καὶ φίλων πολύποδας καὶ σηπίας ἐλάμβανον· ἢ, κατά τινας, Ἀμφιδρόμια, ἡμέρα πέμπτη τοῖς βρέφεσιν ἐν γενέσεως· ὅτω κληθοῦσα, καθόσον τούτῃ καθαίρυσι τὰς χεῖρας αἱ σωναψάμεναι τῆς μαιώσεως· ὃ τὸ βρέφος χρὴ τὴν ἑστίαν φέρυσαι, τρέχυσι κύκλῳ, ὃ τύνομα τίθενται τούτῳ, δῶρά τε πέμπυσι τῷ παιδὶ, καὶ ἐπιτοπλεῖσον πολύποδας, οἵ τε φίλοι, καὶ οἰκεῖοι, ὃ ἁπλῶς οἱ χροσήκοντες. καὶ ἄλλως· Ἀμφιδρόμια, ἑορτή ὅζιν Ἀθήνησι πελεμένη. καθ' ἣν ἐγκυρίσῃ ἄρτι ὀπτωμένῃ ἐπὶ τῆς ἑστίας, ἐπιτρέχυσι· τὸ δ' αὐτὸ ποιοῦντες, ὃ μὴ σκεύης τὸ βρέφη χρὸς τὴν ἑστίαν περιφέρυσιν· ἐπειδὴ κυρτοτρόφος, ἡ τροφὸς ἐπί τινων πεφήνιται. μέμνηται Πλάτων ἐν Θεαιτήτῳ· " τοῦτο μὲν δὴ, ὡς ἔοικε, μόγις ἐγεννήθη, ὅτι δή ποτε τυγχάνει ὄν· μὴ δὲ τὸν τοκον τὰ ἀμφιδρόμια, ὡς ἀληθῶς ἐν κύκλῳ, περιθρεκτέον τῷ λόγῳ. "

ΠΕ-

ΠΕΡΙ ΤΟΥ ΄ΑΛΦΕΙΟΥ ΠΟΤΑΜΟΥ.

Α΄Λφειός, ποταμός ἔστι τῆς Ἀρκαδίας· Ἀρκαδία δὲ, πόλις ἔστι τῆς Πελοποννήσου· ἔστι δὲ καὶ πηγὴ ἐν Σικελίᾳ ἐν νήσῳ, Ἀρέθουσα ὀνόματι. λέγεται δὲ ὅτι ὁ ΄Αλφειὸς ἠράσθη τῆς πηγῆς ταύτης· ὃς ἐραστὴς, διαδὺς τὸ πέλαγος, ἀναδίδοται ἐν Σικελίᾳ σὺν τῷ Ἀρέθουσαν πηγῷ, μὴ συμμαμιχθεὶς τῇ ἁλμυρίδι τῆς θαλάσσης· ἀλλὰ καθαρὸν τὸ νᾶμα διαρυλάττων πρὸς τῷ ἐρωμένῳ.

ΠΕΡΙ ΄ΑΝΙΠΤΟΠΟΔΩΝ ΚΑΙ ΧΑΜΑΙΕΥΝΩΝ.

Α΄Νιπτόποδας, χαμαιεύνας, οἱ μὲν νοῦν τὰς Σελλάς, δύπλεναν ἀσκοῦντας· οἱ χαμαιεύνας μὲν, ὡς κάτω σὺν γῆν αὐτὰς κειμένας, ὃς μὴ ἐπὶ κιβάδων, ἢ δερμίνων, ὑπνοῦντας· ἀνιπτόποδας δὲ, ὡς μὴ προϊόντας τοῦ ἱεροῦ, οἱ διὰ τοῦτο, μηδὲ ἐθέλοντας ποδάνιπτρα· ὃ οἱ ἐν τῷ Εὐριπίδου Ἐρεχθεῖ δηλοῦται, εἰπόντος, ὅτι πηγαῖς ἔχ ὑγραίνει πόδας. ἕτεροι δὲ σεμνότερον τοιοῦτον σωτιθέασι νόημα· χαμαιεύνας μὲν, ἀνιπτόποδες δέ· τουτέστι, χαμαὶ μὲν εὐναζόμενοι, ἀνιπτόμενοι δὲ τῷ κάτω ταῖς διανοίαις, διὰ τοῦ ἐν ταῖς μαντείαις φιλοσοφίαν. ἄλλως· Σελλοὶ, ἔθνος Δωδωναῖον· ἐκ τούτων ἱερεῖς τῆς φηγοῦ προεβάλλοντο· ἐν αὐτῇ δὲ τῇ φηγῷ, μαντεῖον ἦν τοῦ Διὸς ἡ καλυμμένη Δωδωναία δρῦς· ὅτοι οἱ ἱερεῖς, διὰ τὸ θεοῦ ὕπνῳ θεραπεύεσθαι, ἀνυπόδητοι, ὅτε ἐλούοντο, ὅτε ἐν κλίνῃ ἐκάθευδον, ἀλλὰ χαμαὶ, ὡς φησὶν ὁ Ποιητὴς ἐν τούτῳ τῷ ἔπει·

------- Ἀμφὶ δὲ Σελλοὶ
Ναίουσιν ὑποφῆται, ἀνιπτόποδες, χαμαιεῦναι.

ΠΕΡΙ ΤΟΥ ΄ΑΣΤΡΟΝΟΜΕΙΝ, ΚΑΙ ΄ΑΡΙΘΜΟΥ΄Ν ΚΑΙ ΛΟΓΙΣΜΟΥ΄Ν ΕΤΡΕΙΝ, ΚΑΙ ΘΥΕΙΝ ΚΑΙ ΓΕΩΜΕΤΡΕΙΝ, ΚΑΙ ΠΕΡΙ Ο΄ΝΕΙΡΟΜΑΝΤΕΙΑΣ, ΚΑΙ ΄ΟΙΩΝΙΚΗΣ.

Α΄Στρονομίαν αὐτοὶ πρῶτοι λέγονται εὑρηκέναι Βαβυλώνιοι διὰ Ζωροάστρου· δεύτεροι δὲ ἐδέξαντο Αἰγύπτιοι, ἐκ τοῦ ἀπλέτου τῆς γῆς ὃς τῆς διαιρέσεως τῶν χωρῶν προδιδαχθέντες· καὶ ἐφ' ὅτῳ συγγράψαντες καὶ χρώμενοι, εὐδοκιμοῦσιν. ὁ Πλάτων δ' ὅμως ἐν Φαίδρῳ Αἰγυπτίου λέγει πρῶτον, ἀριθμὸν καὶ λογισμὸν εὑρεῖν καὶ γεωμετρίαν καὶ ἀστρονομίαν· ἔτι δὲ πεττείαν τε καὶ κυβείαν, ὃς δὴ γράμματα· οἱ δὲ ἕτεροι ὑπομνηματισταὶ, ὑ τὴν

παρ'

παρ' Ἕλλησι τεττεύαν σημαίνεσθαι φασιν ὑπὸ Πλάτωνος· ἀλλὰ τοῦτο τοῦ λεγομένου πεπαιδιᾶσθαί γάς τι πλημμέλημα, ὥσπερ ἐν τῇ παιδευτικῇ παιδιᾷ, δι' ἧς τὰ κινήματα τῆς ἡλικίας ἐς τὴν σελήνην, ἔτι δὲ καὶ τὰ ἑλληνικὰ, ἀναγραμματίζονται οἱ Αἰγύπτιοι. τὸ δὲ θύειν θεοῖς, οἱ Χαλδαῖοι ἐξεῦρον· ἢ οἱ Κάρρηνοι· διαφορεῖται γὰρ ἡ ἱστορία. Χαλδαῖοι δὲ, ἐθνος Περσικόν. τοῦτο δὲ μαγείαν, Μῆδοι εὗρον· διαφέρει δὲ μαγεία, γοητείας· καὶ γοητεία, φαρμακείας· ὅτι ἡ μὲν μαγεία, ἐπίκλησίς ἐστι δαιμόνων ἀγαθοποιῶν δηθεν ἀφ' ἁγαθοῦ τινος σύστασιν· ὥσπερ τὰ τοῦ Ἀπολλωνίου τοῦ Τυανέως θεσπίσματα δι' ἀγαθὸν γεγόνασι. γοητεία δέ ἐστιν, ἐπίκλησις δαιμόνων κακοποιῶν ἐπὶ τὰς τάφους ἐλθυιένων ἐπὶ κακῷ τινος σύστασιν· γοητεία δὲ λέγεται ἀπὸ τοῦ γόου καὶ τοῦ θρήνου τοῦ περὶ τὰς τάφους γινομένου. φαρμακεία δὲ, ὅταν διά τινος σκυβαλίου θανατηφόρου δοθῇ τινι φάρμακον, ἢ καὶ ἄλλως πως διὰ σώματος. τὸ δὲ τὰς ὀνείρους εὑρεῖν διακρίνειν, φασὶ λέγονται οἱ ἐν Τελμισσῷ πόλεως Καμφυλίας· νῦν δὲ παλαιοτάτη πόλις· ἦν δὲ ἐπὶ τῶν χρόνων Κροίσου. ἔλεγον γὰρ, εἰ γέγονέ τι παράδοξον, ὅτι τόδε σημαίνει· καὶ πάντως ὅσα ἂν εἶπον, συνέβαινεν ἐξέρχεσθαι. τῆς δὲ οἰωνικῆς, τὸ μὲν ἔστιν ὀρνεοσκοπητικόν, ὃ ἐξεῦρον Φρύγες· τὸ δὲ, οἰκοσκοπητικόν· τὸ δὲ, ἐνόδιον· τὸ δὲ, χθροσκόπιον· τὸ δὲ, παλματικόν. ὀρνεοσκοπητικὸν δέ ἐστιν, ὅταν πετομένου τοῦδε, ἢ τοῦδε ὄρνιθος, ἢ ἔμπροσθεν, ἢ ὀπίσω, ἢ δεξιὰ, ἢ ἀριστερὰ, εἶπωμεν ὅτι τόδε σημαίνει. λέγεται δὲ τοῦτο εὑρηκέναι πρῶτος Τηλέγονος. οἰκοσκοπητικὸν δέ ἐστιν, ὅταν τὰ ἐν τῷ οἴκῳ συμβαίνοντα ἐξηγήσεται, ὡς εἶπε, τόδε σημαίνει· ἐπειδή φησιν ἐν τῇ σέλμῃ ἐράνη γαλῆ, ἢ ὗρις, ἢ μῦς· ἢ ἐκενώθη ἔλαιον, ἢ μέλι, ἢ οἶνος, ἢ ὕδωρ, ἢ τέφρα, ἢ ἄλλο τι, ὅτι τόδε σημαίνει· ταῦτα δὲ συνεγράψατο Ξενοκράτης. ἐνόδιον δέ ἐστιν, ὅταν ἐξηγήσεται τὰ ἐν τῇ ὁδῷ συμπαντῶντα, ὅτι ἐὰν συμπάσῃ τις τόδε βαδίζων, τόδε σοι συμβήσεται· ἐὰν δὲ ὁ δεῖνα, τόδε· ὅτερ συνεγράψατο Πόλλις. χειροσκόπιον δέ ἐστιν, ὅταν διὰ τῆς ἐκτάσεως τοῦ χειρῶν, ἢ διὰ τοῦ ῥυτίδων, εἶπωμεν, ὅτι τόδε αὐτὸν μέλει, ἢ ὅτι μνησπύεται, ἢ ὅτι παιδοποιεῖ, ἢ τι τοιοῦτον· ὃ συνεγράψατο Ἔλενος. παλματικόν δέ ἐστι, τὸ διὰ τῆς πάλσεως τοῦ σώματος γνωριζόμενον· οἷον ἐὰν πάλλῃ ὁ δεξιὸς ὀφθαλμὸς, τόδε σημαίνει, ἢ ὁ μηρὸς, ἢ ὁ ὦμος· ἤ τι τοῦ τοῦ σώματος· ὃ συνεγράψατο Ποσειδώνιος.

ΠΕΡΙ ΑΛΟΤΡΓΙΔΟΣ, ΗΤΟΙ ΤΗΣ ΠΟΡΦΥΡΑΣ ΒΑΦΗΣ, ΙΣΤΟΡΙΑ.

Ἀλουργίδα φασὶν εὑρεθῆναι ἐν Τύρῳ τῆς Φοινίκης, τοιούτῳ τρόπῳ. κύων τις ποιμενικὴ πορευομένη, εὑροῦσα κογχύλιον, ἔφαγε· εἶτα τὸ αἷμα τοῦ κογχυλίου ἔβαψε τὸν κυνὸς τὸ στόμα· ὁ ποιμὴν νομίζων πεπλῆχθαι τινὰ κύνα, λαβὼν ἔριον, ἀπέμαξε τοῦ στόματος τὸν κυνὸς τὸ αἷμα· καὶ εὑρηται ἡ κύων ἔχουσα μὴν ὀδόν· τὸ δὲ ἔριον τὴν τῆς πορφύρας ἀναδεδεγμένον βαφήν· εἶτα ἐγνωκὼς ὁ ποιμὴν, ὅτι τὸ κογχύλιον τοιαύτην ἔχει φύσιν βαπτικὴν, ἐδημοσίευσε αὐτὸ τοῦτο· καὶ ὕστερον σωήγοντο ἐν τῇ θαλάσσῃ τὰ κογχύλια κατασκευάσαντα τὰς πορφύρας.

Καὶ ἄλλως περὶ πορφύρας διεξοδικώτερον καὶ τὴν ἀληθῆ ἱστορίαν, ὅπως τὴν ἀρχὴν εὑρέθη, καὶ πῶς τὰ ζῶα νῦν οἱ Φοίνικες θηρῶνται.

Τύριοι λέγουσιν, ὡς Ἡρακλῆς ἠράσθη νύμφης ἐπιχωρίας· Τύρος δ' ἦν τῇ νύμφῃ τὄνομα. ἔμπεσε δ' ἄρα τῷ Ἡρακλεῖ καὶ κύων, καὶ τὸν παλαιὸν νόμον· οἶσθα γὰρ ὅτι τοῖς ἥρωσι συνεσπέσθαι μέχρι τῶν ἐκκλησιῶν οἱ κύνες. ὁ τοίνυν Ἡράκλειος κύων καὶ πέτρας ἔρπουσαν πορφύραν θεασάμενος, προσέχοντες αὐτῇ τῆς σαρκὸς, ἐνδακὼν, ὁ μὲν, τὴν σάρκα ποιεῖται τροφήν· ὁ δὲ λύθρος ἄρα τοῦ κυνὸς αἱμάξας, ἐφοίνιξεν· ὡς δὲ ἦκεν ὁ ἥρως πρὸς τὴν κόρην, ἔσθη θεασαμένη τὸ χεῖλη τοῦ κυνὸς ἀνθοῦντα ἁθρὸν βαθύ· καὶ ὑπ' ἔρωτος πεσοῦσα τοῦ λοιποῦ τὸν Ἡρακλέα, εἰ μὴ αὐτῇ κομίσειεν ἐσθῆτα, τοῦ κυνὸς χεῖλῶν ἀπεδέσεραν· ὁ γὰρ Ἡρακλῆς ἐξεῦρέ τε τὸ ζῶον, καὶ τὸ λύθρον σωελέξατο· καὶ τὸ δῶρον ἐκόμισε τῇ κόρῃ· πρῶτος γενόμενος εὑρετὴς, τῷ Τυρίῳ λόγῳ, τῆς φοινίσσης βαφῆς· τὰ δὲ νῦν οἱ Φοίνικες ὧδε θηρῶσί τε τὸ ζῶον, καὶ τὸ ἔριον χρωννύουσι δολοῦσιν, ὡς πρὸς τὴν ὄψιν ἀνθεῖν· κοινὸν πλεξάμενοι πάμμηκες ἰσχυρόν τε καὶ καρτερὸν, ὡς ἀθαλαττεύειν δυνασθαι, τοῦτο σωεχεῖς ὥσπερ κώδωνας ἐξαρτῶσιν ἐκ μετέων διασημάτων κυψέλας, ἐκ σπάρτου τινὸς, ἢ κοίνου, τὰς κυψέλας πλεξάμενοι· τὰ γὰρ τοῦ σπάρτου, ἢ τοῦ κοίνου, πέλη πρὸς τοῖς σώμασι τῶν κυψέλων ἐξεπίτηδες ἀνέχειν ἐῶσιν· ὡς τῷ μὲν ταχύντι ῥᾳδίως ἔκκειν καὶ δύεσθαι· ἀναχώρησιν δὲ εἰς τοὔμπαλιν, μηδὲ ἀναστρέφειν, τῷ παρελθόντι ἐνοιδοῦσθαι· τούτας τὰς κυψέλας δελεάσαντες οἱ πορφυρεῖς, ἐν τοῖς πετρώδεσι καθιᾶσι,

τὸ

τὸ καλῶδιον φελλῷ τινος ἐξάψαντες, ὡς ἀνέχειν τὸ θήραμα· διαλιπόντες δὲ νύκτα καὶ ἐφημερεύσαντες, ὡς ἐπιπολὺ τὰς κυψέλας ἔμπλεως τῶν ζώων ἀνέλκουσι· ἔπειτα κοψάμενοι τὸ ὄγκιον ἐν ἑαυτῷ, καὶ τὸ σάρκα ταριχεύσαντες, ἐς δυσποίητον ὕδατι τῷ ἄτιν ἀποκαθήραντες, ἐνεψῶσιν ἐμπύρῳ λέβητι τὸ θήραμα τὸ θαλάττιον· τὸ δ' αἷμα, ἐπειδὰν πυρὶ ὁμιλήσῃ, χεῖταί τε καὶ ἐξανθεῖ· καὶ τὸ μὲν, ξανθίζεται· τὸ δὲ, κυανὸν αὐταῖς γίνεται· τὸ δ' ἄλλο εἰς ἄλλην χρόαν τρέπεται· καὶ ὅτι ἂν καθεὶς πᾶν τὸ συγγενόμενον τῷ αἵματι, πρὸς τὴν ἐκείνου χρόαν μεταχρώννυται· χαίρει δὲ ἡλίῳ ὁμιλοῦσα τῆς πορφύρας ἡ βαφή· καὶ ἡ ἀκτὶς αὐτὴν ἀναπυρσεύει καὶ πλείω ποιεῖ, καὶ φυδρότερον τὸν ὠγρὸν, ἐκφοινισσομένου τοῦ ἄνω πυρός.

ὅΤΙ ΑΙΓΥΠΤΙΟΙ ΔΙΑΦΟΡΑ ΤΩΝ ΖΩΩΝ ΕΣΕΒΟΝΤΟ.

Οἱ Αἰγύπτιοι ἐσέβοντο τὰς ἴβεις, τοὺς κροκοδείλους, τοὺς ὄφεις, τὰς αἰλούρους, καί τινα τῶν ἰχθύων γένη· ἐξ ἀλόγου τιμῆς ἑαυτοῖς ἀτιμίαν πορίζόμενοι. περὶ δὲ τούτων ἀκριβέστερόν φησιν ὁ Ἡρόδοτος, ὁ δὲ περὶ πάσης αὐτῶν τῆς θρησκείας, καὶ τῶν βασιλέων, ἀκριβῶς καὶ διὰ πλάτος συγγραψάμενος.

ΠΕΡΙ ΑΝΘΕΜΟΚΡΙΤΟΥ.

Ἀνθεμόκριτος, Ἀθηναίων μὲν ἦν κῆρυξ· ἀπεσφάγη δὲ ὑπὸ Μεγαρέων, ἀπαγορεύων αὐτοῖς τὴν ἱερὰν ὀργάδα τῶν θεῶν μὴ ἐργάζεσθαι· Ἴστιός δὲ τὸν πρὸς Καλυδῶνα· τό, τε βαλανεῖον, τὸ παρ' Ἀνθεμοκρίτου τοῦ ἀνδριαντάτου, τυγχάνει, τὸ πρὸς ταῖς Θρασίαις πύλαις.

ΠΕΡΙ ΑΝΤΙΚΛΕΙΑΣ.

Ἀντίκλειαν εἶναι τὴν Ὀδυσσέως μητέρα, Σελινὸς ὁ Χῖος φησι· καὶ ἐγκύμονα διοδεύσαι Νήριον, τὸ τῆς Ἰθάκης ὄρος, ἅπαντος πολίτου τινὸς, ὑπ' ἀγωνίας καὶ φόβου καταπεσοῦσαν, πλὴν Ὀδυσσέως· ὅθεν δὲ Ὀδυσσεὺς ἐκλήθη.

ΠΕΡΙ ΑΝΤΙΝΟΟΥ.

Ἀντίνοος, Ἰθακήσιος, εἷς τῶν μνηστήρων, υἱὸς Εὐπείθους, ἀρετῇ πάντων τῶν ἄλλων ἔξοχος.

ΠΕΡΙ ΑΜΦΙΝΟΜΟΥ.

Ἀμφίνομος, ὡς δ' ἔτος τῷ μνηστῆρων, ὃν Δυλιχίᾳ, ᾧ πρόσειχεν ἡ Πηνελόπη, ὡς φρενὶ κεχρημένῳ ἀγαθῇ· ἔχαιρε γὰρ ἡ περίφρων τῷ ὁμοίῳ· ὡς γὰρ ὁ κῆρυξ Μέδων ἐφιλεῖτο παῖς μνηστῆρσιν, ἀ κυρίως ἀδ' ἀπολύτως, ἀλλ' ὑπὲρ τὰς ἄλλας κήρυκας, ὡς δεξιώτερος, ἅτω καὶ Ἀμφίνομος ἤνδανε τῇ Πηνελόπῃ, οὐχ ἁπλῶς, ἀλλὰ πλέον τῶν ἄλλων μνηστήρων.

ΠΕΡΙ ΑΛΚΙΝΟΟΥ.

Ἀλκίνοος, υἱὸς Ναυσιθόου.

ΠΕΡΙ ΑΝΤΙΦΑΤΟΥ.

Ἀντιφάτης, υἱὸς Μελάμποδος.

ΠΕΡΙ ΑΔΜΗΤΟΥ.

Ἄδμητος, υἱὸς Φέρητος.

ΠΕΡΙ ΑΜΦΙΚΤΥΟΝΟΣ.

Ἀμφικτύων, βασιλεὺς Ἀθηναίων.

ΠΕΡΙ ΑΙΣΙΜΟΥ.

Αἴσιμος, ἀδελφὸς Ἀντικλείας τῆς μητρὸς Ὀδυσσέως, γενεᾷ Σίνωνα.

ΠΕΡΙ ΑΕΡΟΠΗΣ.

Ἀερόπη, γυνὴ Ἀτρέως. ἐμοιχεύθη ὑπὸ Θυέστου, καθὰ καὶ ἡ τοῦ υἱοῦ Ἀγαμέμνονος Κλυταιμνήστρα ὑπὸ Αἰγίσθου.

ΑΙΝΕΙΟΥ ΓΕΝΕΑΛΟΓΙΑ, ΚΑΙ ΑΣΤΥΑΝΑΚΤΟΣ, ΚΑΙ ΗΜΑΘΙΩΝΟΣ.

ΖΕΥΣ ἐκ τῆς Ἠλέκτρας τῆς Ἄτλαντος θυγατρὸς, γεννᾷ

ΔΑΡΔΑΝΟΝ.

(ἐξ ἧς Δαρδανία, ἢ Τροία) ἐξ οὗ

ΕΡΙΧΘΟΝΙΟΣ,

ἐξ οὗ

ΤΡΩΣ,

(ἐξ οὗ καὶ Τροία) ἐξ οὗ

ΑΣΣΑΡΑΚΟΣ, ἐξ οὗ ΚΑΠΥΣ, ἐξ οὗ ΑΝΧΙΣΗΣ, ἐξ οὗ ΑΙΝΕΙΑΣ, ἐκ τῆς ΑΦΡΟΔΙΤΗΣ.

ΙΛΟΣ, (ἐξ οὗ καὶ Ἴλιον) ἐξ οὗ ΛΑΟΜΕΔΩΝ, ἐξ οὗ ΠΡΙΑΜΟΣ, ἐκ ΛΕΤΚΙΠΠΗΣ, (ἐξ οὗ, ἐκ τῆς ΕΚΑΒΗΣ, ΕΚΤΩΡ, ἐξ οὗ ΑΣΤΥΑΝΑΞ, ΕΛΕΝΟΣ, ΠΟΛΥΔΩΡΟΣ, ΕΥΦΟΡΒΟΣ, ΠΑΡΙΣ, καὶ ἄλλοι) ΙΚΕΤΑΟΝ, ΚΑΥΤΙΟΣ, ΤΙΘΩΝΟΣ (ἐξ οὗ καὶ ἐκ τῆς ΡΟΙΟΥΣ, τῆς ΚΑΣΣΑΝΔΡΑΣ θυγατρὸς, ἢ ἐκ τῆς ΣΤΡΥΜΟΥΣ, ΜΝΑΜΩΝ καὶ ΗΜΑΘΙΩΝ) ΛΑΜΠΩΝ.

καὶ ΓΑΝΥΜΗΔΗΣ.

ΠΕΡΙ ΑΒΑΝΤΟΣ.

ΑΒαντος γενεαλογία κατὰ Ἀπολλώνιον.

ΑΙΟΛΟΣ τῷ Ἕλληνος γίνεται

ΚΡΗΘΕΥΣ ἐξ οὗ ΑΜΥΘΑΟΝ, ἐξ οὗ ΜΕΛΑΜΠΟΥΣ, ἐξ οὗ ΑΒΑΣ.

ΑΘΑΜΑΣ; ΑΙΣΩΝ.

Καθ' Ὅμηρον·

ΠΟΣΕΙΔΩΝ ἐκ τῆς ΑΡΕΘΟΥΣΗΣ γεννᾷ ΑΡΓΕΙΟΝ, ἐξ οὗ ΑΒΑΣ.

ΠΕΡΙ ΑΝΤΙΛΟΧΟΥ.

ΑΝτίλοχος, υἱὸς Νέστορος· ὃν, μεσθύντος ἤδη τοῦ πολέμου, ἐλθεῖν εἰς Τροίαν λέγουσι· νέον μὲν γὰρ εἶναι αὐτὸν, καὶ

ἄκ ὃ ὥρα, τῶν πολεμικῶν, ὁτόιε σιωελέγοντο ἐς Αὐλίδα οἱ Ἕλληνες· βελομβύῳ δὲ αὐτῷ ςρατεύειν, ἡ συγχωρῆσαι τὸν Νέςορα· ἓ ἄτως, ἐπειδὴ πέμπτον ἔτος ἤδη ωροβεβλήκει τῷ πολέμῳ, νεώς τε ἐπιβάντα, ἀρικέαζ· ἓ παρελθόντα ἐς τὶω τοῦ Ἀχιλλέως σκηνὶω, ἱκεπεῦσαι τὸν ωυθαιτήσαζ αὐτὸν τὸ πατρὸς, εἴ πως ἀπειθήσαντι μὴ ἄχθοιτο· ὁ δὲ, ἡδεὶς τῇ τοῦ Ἀντιλόχου ὥρᾳ, ἓ τῆς ωροθυμίας ἀγαθεὶς αὐτὸν, ὅπω τὸν πατέρα, εἴπεν, ὦ μειράκιον, τὸν σεαυτοῦ γινώσκεις, εἰ μὴ ὑπ' αὐτοῦ ἐπαινεθήσεαζ μᾶλλον ὅιε, ἔργον φιλότιμόν τε ἡ νεανικὸν εἰργασμβίος· ἓ ὀρθῶς εἶπεν ὁ Ἀχιλλεὺς ταῦτα. ὑπερηθεὶς δὲ τῷ παιδὶ ὁ Νέςωρ, ἡ ἐπ' αὐτῷ μεγαλοφρονήσας, ἄγε αὐτὸν ωρὸς τὸν Ἀγαμέμνονα· ὁ δὲ, αὐτίκα συγκαλεῖ τοὺς Ἀχαιούς, ἡ λέγεται ἄριςα ἑαυτοῦ διαλεχθῆναι τότε ὁ Νέςωρ· σιωελθόντων μὴν γὰρ αὐτοὺς χαίροντας ἐπὶ τῷ παῖδα ὀφελζ Νέςορος· ὑδὲ γὰρ εἰ) αὐτῷ ὃν Τροίᾳ υἱὸν, ὅτε, ὥς φασί τινες ψευδῶς, Θρασυμήδην τινὰ, ὅτε ἕτερον· ἑςάναι δὲ τὸν Ἀντίλοχον ὑπὸ τῷ πατρὶ, ἐρυθριῶντά τε, ἡ εἰς τὶω γῆν βλέποντα, ἡ θαυμασὰς κτήσαζ τοῦ κάλλους ὃν ἐλάττους, ἢ Ἀχιλλεὺς ἐκέκτητο· τὸ μὴν γὰρ ἐκείνου εὖδον, ἐκπληκτικόν τε φαίνεζ, ἓ θεῖον· τὸ δὲ τοῦ Ἀντιλόχου, τερπνόν τε ἡ ἥμερον δοκεῖν πᾶσι· τὰ δὲ πολέμια, γενναῖόν τε εἰ) ἓ πτηνὸν τῷ πόδε, καὶ ταχὺν τὶω ὃν τοῖς ὅπλοις κίνησιν ἱςορῶσιν· εὐξύνετόν τε τοῖς ωραγγελλομβίοις χρῆσαζ· ἡ τὸ ἐπίχαρι μὴ δὲ ὃν ταῖς μάχαις ἀπολείπονται· ἀποθανεῖν δὲ, ὄχ, ὥς τινες λέγουσιν, ὑπὸ Μέμνονος ἐξ Αἰθιοπίας ἥκοντος· Αἰθίοπα μὴν γὰρ γενέαζ Μέμνονα, δωρασάμενον ἐπὶ τῷ Τρωϊκῶν ὃν Αἰθιοπίᾳ, ἐφ' ᾧ ἡ τὸ Ψάμμιον ὄρος ἀναχωρῆναι λέγει) ὑπὸ τοῦ Νείλου· ἓ θύεσιν αὐτῷ ἡ Μεμφὶν Αἰγύπτιοι, ἓ Αἰθίοπες, ἐπειδὰν ἀκτῖνα ωρώτην ὁ ἥλιος ἐκβάλλῃ· παρ' ἧς τὸ ἄγαλμα φωνὶω ἐκρήγνυσιν, ἢ τὰς θεραπαίνας ἀσπάζε). Τρῶα δὲ ἕτερόν φασι γλυέαζ Μέμνονα νεώτερον τοῦ Τρωϊκοῦ· ὃν, ζῶντος μὲν Ἕκτορος, ὑδὲν βελτίω δόξαι τῶν ἀμφὶ Δηΐφοβόν τε ἡ Εὔφορβον· ἀποθανόντος δὲ, ωροθυμότατον ἓ ἀνδρειότατον νομισθῆναι· ἓ τὶω Τροίαν εἰς αὐτὸν βλέψαι, κακῶς ἤδη ωράτ]ουσαν· ὅτος Ἀντίλοχον ωροασπίζοντα τοῦ πατρὸς Νέςορος, ἀποκτεῖναι λέγεται.

ΠΕΡΙ ΤΩΝ ΑΠΥΓΩΝ ΚΑΙ ΜΕΛΑΜΠΥΓΩΝ.

Η κατὰ τὸς Ἀπύγους ἱστορία ὧδέ πως ἔχει· ὁ Πειρίθους καπελθὼν εἰς τὸν Ἄιδην, διὰ τὸ ἁρπάσαι τὴν Περσεφόνην τὴν τῆ Πλούτωνος, ἐδέθη κάτω ὑπὸ πέτραις τισί· καπελθὼν δὲ ὁ Ἡρακλῆς, καὶ θέλων λαβεῖν τὸν Πειρίθην, αὐτὸν μὲν οὐκ ἀνέλκυσεν· αἱ δὲ πυγαὶ αὐτῆ προσέμειναν τῆ πέτρα· ἐκλήθη δὲ ὁ Πειρίθης ἄπυγος. ἡ δὲ κτὶς τὸς Μελαμπύγας, ἔστιν αὕτη· δύο τινὲς ἀδελφοὶ, κτὶ γλῶ πᾶσαν ἀδικίαν ἐνδεικνύμενοι, ἐλέγοντο Κέρκωπες, ὑπὸ τῆς τῶν ἔργων δεινότητος τὴν ἐπωνυμίαν λαχόντες· ὁ μὲν γὰρ αὐτῶν ἐλέγετο Πάνταλος· ὁ δὲ ἕτερος, Ἄκμων, ὥς φησι Δίων ὁ Χρονικογραφιστής· τούτων δὲ ἡ μήτηρ, Μερμονὶς τὔνομα, ἐωρακυῖα κτὶ γῆν αὐτὸς πολλὰ δεινὰ ἐργαζομένους, εἶπεν, μὴ περιτυχεῖν Μελαμπύγῳ· καί ποτε τὸ Ἡρακλέους ὑπὸ δένδρον κοιμωμένου, ἐκ τῶν ἑαυτὸ ὅπλων ὑποκεκλιμένων τῷ φυτῷ, πλησιάσαντες ἔκλεψαν, τοῖς ὅπλοις ἐπιχειρῆσαι ἐβουλήθησαν· εὐθὺς δὲ ὁ Ἡρακλῆς αἰσθόμενος, λαβὼν αὐτὸς κτὶ κεφαλὴν, ἐπὶ ξύλῳ δεσμεύσας ἐβάσταζε· ἐκ τότε ἐκεῖνοι τῆς ἐντολῆς τῆς ἑαυτῶν μητρὸς ἐμνήσθησαν κρεμάμενοι· ἑωρακότες τὸ Ἡρακλέους τὸν πυγαῖον μέλανα, ἐκ τῆς τῶν τριχῶν δασύτητος· καὶ ὡρὸς ἀλλήλους αὐτὸ τοῦτο διαλεγόμενοι, γέλωτα πολὺν ὡροσῆψαν τῷ Ἡρακλεῖ· ἐκ εὐθὺς αὐτὸς μετὰ τοῦτο τῶν δεσμῶν ἐλυτρώσατο.

ΠΕΡΙ ΑΙΓΥΠΤΟΥ ΚΑΙ ΤΩΝ ΠΑΙΔΩΝ ΑΥΤΟΥ.

Αἴγυπτος υἱὸς Βήλου ἦν· καὶ, κτὶ τὸν παλαιὰν ἱστορίαν, πεντήκοντα παίδων αὐτῆ πεντήκοντα νεανίσιν αὐτανεψιοῖς συνδυαθέντων θυγατράσι Δαναοῦ, ἡ Βεβρύκη μὲν καὶ Ὑπερμνήστρα μόναι τῶν σωφρόνων ἐφάνησαν· (αἱ δὲ λοιπαὶ τὸς λοιπὸς διεχρήσαντο.) ἡ Βεβρύκη μὲν, Ἱππολύτου τοῦ αὐτανεψιοῦ νυμφίου· ἡ Ὑπερμνήστρα δὲ, τοῦ Λυγκέως· καὶ φυγεῖν σὺν ἐκείνῳ, καὶ πολλὰ δωνηθῆναι τὴν Βεβρύκην ἱστορῆσιν, διὰ τὸ διδάσκειν τὸς βαρβάρους τὴν Αἰγυπτίαν σοφίαν· διὸ ἐκ Βεβρύκου, ἢ Βεβρυκίας, ἀπ' αὐτῆς κληθῆναι τὴν χώραν εἰς ἐμὲ ἐφυγε· ὅθεν οἱ Βέβρυκες λέγονται μείζω δοκεῖν ἔχειν τὰ σώματα, ἢ καθ' ἡλικίαν ἀνθρώπων· παρ' οἷς ἐκ ὁ Βέβυξ ἐκεῖνος Ἀράντας· ὧ τὸ μὲν μῆκος εἰς ὀκτὼ λέγεται πήχεις· εὖρος δὲ, ὡς Ἀρριανός φησιν, ὅσον τοσῷδε μήκει εἰς κυρότητα σύμμετρον· ἦγον ὅσον

ἦν

ἦν σύμμετρόν πως τὴς ὑψηλῶ πήχεις τῦ μήκυς, ἐς τὸ κύφως βαίνειν τὸν ἄνθρωπον· κ᾽ ὁ τῦτο ἀνὴρ νικηφόρος γέγονεν εἰς μονομαχίαν συσὰς, νεανίας ἐτῶν ιζ᾽. Πίνδαρος δὲ μὴ τὰς Δαναΐδας ἰσορρῆ διὰ τῦτο, ὡς τὰς δύο μὴ σωφρονισθείσας τῷ πατρὶ κατεργάσαθ᾽ τὸς αὐτῶν σωφρόνας, κ᾽ διὰ ἶτο ἀπαλειφθῆναι τῆς ἐκείνυ πατρόπτος.

ΠΕΡΙ ΑΜΒΡΑΚΟΣ.

Α Μβραξ, υἱὸς Θεσπρωτῦ· ἐξ ὃ Ἀμβρακιᾶς, ἠπειρωτικὸν ἔθνος· ἢ ἀπὸ Ἀμβρακίας τῆς Αὐγέυ θυγατρός· ἀφ᾽ ὧ καὶ ὁ κόλπος Ἀμβρακιωτικὸς, ἐ πόλις Ἀμβρακία, ὡς ἀπὸ Θεσπρωτῦ ἡ Θεσπρωτία χώρα.

ΠΕΡΙ ΑΜΜΩΝΟΣ.

Α Μμων, Λιβυκός ὅσι θεὸς, ὃν παρὰ τοῖς Ἀσβύσαις· ἔθνος δὲ τῦτο μεσήπειρον κ᾽ Λιβύλω· ὃ τινος αἱ μαντεῖαι διὰ συμβόλων γίνον᾽, ἤτοι διὰ χρημάτων τινῶν, κ᾽ κατανεύσεων ἐ ἀνανεύσεων· οἱ δέ φασι τὸν ἐκεῖ Δία, Ἄμμωνα κληθῆναι ἀπό τινος ὁμωνύμυ ποιμένος, προκατάρξαντος τῆς τῦ ἱερῦ αὐτῦ ἱδρύσεως. Ἡρόδοτος δὲ τάυτὸν οἰόμενος εἰπεῖν Ἄμμωνα κ᾽ Δία, λέγει ὅτι κριοπρόσωπον τὸ τῦ Διὸς ἦν αὐτόθι ἄγαλμα, ἐξ ὃ ἐ τὸ ἔθνος Ἀμμώνιοι, παρ᾽ ὅις λέγε᾽ ἡ τῦ ἡλίυ ἕ᾽ κρήνη, ἥτις ὑ ἑκάστῳ νυχθημέρῳ πολλὰς δέχε᾽ τροπὰς, κ᾽ τὸ ψύχεθ᾽ κ᾽ θερμαίνεθ᾽ περιοδικῶς· Ἄμμῶν γὰ Αἰγύπτιοι τὸν Δία καλῦσι. τῶ τις δὲ μεγάλων φιλοσόφων Ἀμῶν ἐ πατέρα εἰπεῖν, τάυτὸν εἶναι ἰσορρεῖ· τὸ δὲ μαντεῖον λέγυσι Θηβαίαν γυναῖκα συσήσαθ᾽, ἱέρειαν τῦ Θηβαίυ Διός· ἰσορρεῖ᾽ δὲ κ᾽ ὅτι Ἀλέξανδρος ὁ Μακεδὼν, ἀκύσας Περσέα κ᾽ Ἡρακλέα εἰς Ἄμμωνος ἀναβῆναι, ἐφιλοδόξησεν ἀνελθεῖν κ᾽ αὐτός· ἐ ἐποίησεν ὕτω, κοράκων προηγησαμένων αὐτῷ εὐτυχῶς τῆς ὁδῦ, καίτοι ἄλλως ἠφανισμένης τὰ σημεῖα τῇ ἐπιχύσει τῆς ἄμμυ, ἣν πάνυ πολλαχῶ ὁ νότος ἐκεῖ ἐπιφορεῖ· ὅπ φασι, κ᾽ ὁ τῦ Ἄμμωνος ἱερεὺς, ἀντὶ τῦ εἰπεῖν παιδίον, παιδίος καλέσας βαιβαικῶς τὸν Ἀλέξανδρον, ἔδοξεν, ὡς ὐ χρησμῶ λοξόπτι, ὦ παῖ Διός, αὐτὸν προσειπεῖν· ὕτω τῶ ἐπιτείπτων κολάκων ἐκλαμβανομένων τὸ βάρβαρον τῆς φωνῆς.

ΙΑΤΡΟΙ.

ΠΕΡΙ ΑΚΡΩΝΟΣ ΙΑΤΡΟΥ.

Ἄκρων, Ἀκραγαντῖνος ἰατρός, υἱὸς Ξένωνος. ἐσοφίσθησεν ἐν Ἀθήναις ἅμα Ἐμπεδοκλεῖ· ἔστι φρεσβύτερος Ἱπποκράτους. ἔγραψε καὶ ἰατρικῆς, Δωρίδι διαλέκτῳ· καὶ τροφῆς ὑγιεινῶν βιβλίον ἕν.

ΠΕΡΙ ΑΓΑΠΙΟΥ.

Ἀγάπιος, Ἀλεξανδρεύς· ἐξηγήσεις πλείστας ἰατρικῶν μαθημάτων συνέγραψε.

ΙΣΤΟΡΙΚΟΙ.

ΠΕΡΙ ΑΠΟΛΛΩΝΙΔΟΥ.

Ἀπολλωνίδης, ὁ καὶ Ὁράπιος ἐπικληθεὶς, ἱστορικός· ἔγραψε καί τε τῆς θρησκείας τῆς Αἰγυπτιακῆς καὶ τῶν βασιλέων αὐτῶν, καὶ τῆς ἐν αὐτοῖς καταιθονίας, ἐν πολλαῖς ἱστορίαις, καὶ μάλιστα ἐν τῇ βίβλῳ τῇ ἐπιγραφομένῃ Σεμίραμι.

ΠΕΡΙ ΑΚΟΥΣΙΛΑΟΥ.

Ἀκουσίλαος, Κάβα υἱὸς, Ἀργεῖος, ἀπὸ Κεκάδος πόλεως ἥτις πλησίον Αὐλίδος, ἱστορικὸς πρεσβύτατος. ἔγραψε γηναλογίας ἐκ δέλτων χαλκῶν, ἃς λόγος εὑρεῖν τὸν πατέρα αὐτοῦ, ὀρύξαντά τινα τόπον τῆς οἰκίας αὐτοῦ.

ΠΕΡΙ ΑΝΑΞΙΜΑΝΔΡΟΥ.

Ἀναξίμανδρος, Ἀναξιμάνδρου υἱὸς, Μιλήσιος ὁ νεώτερος ἱστορικὸς, ἔγραψε συμβόλων Πυθαγορείων ἐξήγησιν.

ΠΕΡΙ ΑΝΤΙΠΑΤΡΟΥ.

Ἀντίπατρος, Ἰολάου υἱὸς, πόλεως Παλιούρας τῆς Μακεδονίας, στρατηγὸς Φιλίππου, καὶ διάδοχος, μαθητὴς Ἀριστοτέλους· ἔγραψεν ἱστορίαν καὶ σύγγραμμα ἐπιστολῶν ἐν βιβλίοις εἴκοσι.

ΠΕΡΙ ΑΠΟΛΛΟΝΙΟΥ ΤΟΥ ΑΦΡΟΔΙΣΙΕΩΣ.

Ἀπολλώνιος Ἀφροδισιεὺς, ἀρχιερεὺς καὶ ἱστορικός. γέγραφε Καρικὰ, καὶ Τραλλέων, καὶ Ὀρφέως καὶ τὴν πολευτὴν αὐτοῦ.

ΠΕΡΙ ΑΛΕΞΑΝΔΡΟΥ ΤΟΥ ΜΥΝΔΙΟΥ.

Ἀλέξανδρος ὁ Μύνδιος, ἱστορικός· διαλαμβάνει καὶ Γοργόνα.

ΡΗΤΟΡΕΣ.

ΠΕΡΙ ΑΔΡΙΑΝΟΥ ΤΟΥ ΡΗΤΟΡΟΣ.

Ἀδριανὸς ὁ πόλεως Τύρου τῆς Φοινίκης, μαθητὴς Ἡρώδου, ἀντιχολαστὴς Ἀθηναίοις γεγονώς, καὶ φύσεως ἰσχὺν σοφιστικωτάτην ἐνδεικνύμενος, καὶ οὐκ ἀδηλος ὢν, ὡς ἐπὶ μέγα ἥξοι, ἐφοίτησε μὲν γὰρ τῷ Ἡρώδῃ, ὀκτωκαιδέκα γεγονὼς ἔτη. καὶ ταχέως ἀξιωθεὶς ὧν Σκέπτος τε καὶ Ἀμφικλῆς ἠξιοῦντο, ἐνεγράφη ὁ τῇ τοῦ Κλεψυδρίου ἀκροάσει· τὸ δὲ Κλεψύδριον, ὧδε ἔχει· τῶν τοῦ Ἡρώδου ἀκροατῶν δέκα, οἱ ἀρετῆς ἀξιώμενοι, ἐπεστίζοντο τῇ εἰς πάντας ἀκροάσει, κλεψύδρᾳ συμμεμετρημένῳ εἰς ἑκατὸν ἔπη, ἃ διῆκε ἀποτείνων ὁ Ἡρώδης, παρημεμφημένος τὸν ἐν τῶν ἀκροατῶν ἔπαινον, καὶ μόνος γεγονὼς τοῦ λέγειν. ἐξαδεδωκότος δὲ αὐτοῦ τοῖς γνωρίμοις, τὸ μηδὲ τοῦ πότου καιρὸν ἀνιέναι, ἀλλὰ κἀκεῖ τι ἐπιστρωβᾶζειν τῷ ὄψῳ, ξυνέπινε μὲν ὁ Ἀδριανὸς τοῖς ἀπὸ τῆς κλεψύδρας, ὡς κοινωνὸς μεγάλου ἀποῤῥήτου· λόγου δὲ αὐτοῖς καὶ τῆς ἑκάστου τῶν Σοφιστῶν ἰδέας προβαίνοντος, παρελθὼν εἰς μέσους ὁ Ἀδριανὸς, ἐγὼ, ἔφη, ὑπογράφω τοὺς χαρακτῆρας, οὐ κομματίων ἀπομνημονεύων, οὐ νοϊδίων, οὐ κώλων, οὐ ῥυθμῶν, ἀλλ' εἰς μίμησιν ἐμαυτὸν καθιστὰς, καὶ τὰς ἁπάντων διανοίας ἀποσχεδιάζων σοῦ εὐροίᾳ, καὶ ἀφιεὶς τῇ γλώττῃ. ἦν δὲ πολὺς καὶ τὰς ἐννοίας, καὶ λαμπρὸς τὰς διασκευὰς τῶν ὑποθέσεων καὶ ποικιλώτατος, οὐ τῆς Τραγῳδίας τοῦτο ἠρκώς· οὐ μὴν τεταγμένος γε, οὐδὲ τῇ τέχνῃ ἐπόμενος· τὴν δὲ παρασκευὴν τῆς λέξεως, ἀπὸ τῶν ἀρχαίων σοφιστῶν περιεβάλλετο, ἤχῳ προσάγων μᾶλλον, ἢ κρότῳ· πολλαχοῦ δὲ τῆς μεγαλοφωνίας ἐξέπεσεν, ἀταμιεύτῳ τῇ τραγῳδίᾳ χρώμενος. ἔγραψε μελέτας, καὶ μεταμορφώσεις ἐν βιβλίοις ἑπτά.

καὶ

περὶ ἰδεῶν λόγω ὃν βιβλίοις πέντε· περὶ τῶν ἐν ταῖς σάσεσιν ἰδιωμάτων, ἐν βιβλίοις τρισί· ἐπιστολὰς καὶ λόγους διαφόρους ἐπιδεικτικούς· Φάρμακον ἀθυμητικὸν εἰς Κέλερα.

ΠΕΡΙ ΑΘΗΝΟΔΩΡΟΥ.

Ἀθηνόδωρος ὁ ῥήτωρ, τὸ γένος ἐπιφανέστατος· ὢν πόλεως Αἴνου τῆς Θρακικῆς, μαθητὴς Ἀριστοκλέους, πρὸς ἔτι· Χρήσθαι δὲ ἤδη ξυνιείς· ὅθεν ἀπ' ἀμφοῖν ἐκράτει τοῦ γλώττου ἀττικίζων τε καὶ ὢν περιβολῆς ἑρμηνέων· παιδεύων δὲ Ἀθήνησι καὶ χρόνους, ὃς καὶ Πολυδεύκης ὁ Ναυκρατίτης ἐπαίδευσεν, ἐπέκοπτεν αὐτὸν ταῖς διαλέξεσιν ὡς μειρακιώδη, λέγων, ὁτι Ταντάλου κῆποι· τὸ κάθορον τοῦ λόγου καὶ ἐπιπόλαιον, φαντασίαν προσεικάζων ὕδατι καὶ ὄψει. ἐμβριθὴς δὲ καὶ τὸ ἦθος γενόμενος, ἐπελεύτα ἡβῶν ἔτι, ἁρπασθεὶς ὑπὸ τῆς τύχης καὶ τὸ πρόσω ἐλάσαι δόξης. ἔστι καὶ ἕτερος σοφιστὴς Ἀθηνόδωρος, ἀδελφὸς Γρηγορίου τοῦ Θαυματουργοῦ, ὃν γνώσκων τὰς ῥητορικὰς τῶν λόγων, καὶ πολυμαθὴς περὶ τὰ ῥητορικὰ μέτρα.

ΑΙΣΧΙΝΑΙ, ΠΟΣΟΙ.

Αἰσχῖναι γεγόνασιν ὀκτώ· ὧν ὁ μὲν πρῶτος, ὁ τὰς τέχνας γεγραφὼς τὰς ῥητορικάς· δεύτερος δὲ, ὁ Μιτυληναῖος, ὃν καὶ ῥητορομάτιγα ἐκάλουν· τρίτος ὁ ῥήτωρ, ὁ κατὰ Δημοσθένους· τέταρτος, ὁ Χαρίνου τοῦ ἀλαντοποιοῦ, οἱ δὲ, Λυσανίου, Ἀθηναῖος, ὃν νέος φιλόπονος· διὸ καὶ Σωκράτους ὀκ ἀπέστη· πέμπτος, Νεαπολίτης φιλόσοφος Ἀκαδημαϊκὸς, Μελανθίου τοῦ Ῥοδίου μαθητής· ἕκτος, Ἀρκὰς, μαθητὴς Ἰσοκράτους· ἕβδομος, Μιλήσιος, πολιτικὸς συγγραφεύς· ὄγδοος, ἀνδριαντοποιός.

ΠΕΡΙ ΑΒΑΝΤΟΣ.

Ἄβας σοφιστὴς, ἱστορικὰ ὑπομνήματα καὶ μέθοδον ῥητορικὴν πάνυ γλαφυράν, κατέλιπεν.

ΠΕΡΙ ΑΝΑΞΙΜΕΝΟΥΣ.

Ἀναξιμένης Ἀριστοκλέους, Λαμψακηνὸς ῥήτωρ, μαθητὴς Διογένους τοῦ Κυνικοῦ, καὶ Ζωΐλου τοῦ Ἀμφιπολίτου τοῦ γραμματικοῦ, τοῦ κακίζοντος Ὅμηρον· διδάσκαλος Ἀλεξάνδρου τοῦ Μακεδόνος.

ΠΕΡΙ ΑΛΕΞΑΝΔΡΟΥ ΤΟΥ ΨΕΥΔΟΜΑΝΤΕΩΣ.

Ἀλέξανδρος ὁ ῥήτωρ, πατρίδα μὲν ἔσχε Σελεύκειαν, πόλιν ἐκ ἀφανῆ ἐν Κιλικίᾳ· πατέρα δὲ ὁμώνυμον. διδάσκαλον δ' αὐτῷ ἐγένοντο, Φαβωρῖνός τε καὶ Διονύσιος οἱ ῥήτορες· ἀλλὰ Διονυσίῳ μὲν, ἡμιμαθὴς ἀπῆλθε, μετατεμφθεὶς ὑπὸ τοῦ πατρὸς νοσοῦντος, ὅτε δὴ καὶ ἐπελεύτα· Φαβωρίνου δὲ γνησιώτατα ἠκροάσατο· παρ' ᾧ μάλιστα καὶ τὴν ἰδέαν τοῦ λόγου ἔσπασε. ἀλλὰ τὸ μὲν δὴ πλεῖστον τοῦ βίου ἐν Ἀντιοχείᾳ, καὶ Ῥώμῃ, καὶ Ταρσοῖς, καὶ Αἰγύπτῳ πάσῃ ἐσπόδασεν. ἀφίκετο γὰρ καὶ εἰς τὰ τῶν Γυμνῶν ἤθη. αἱ δὲ Ἀθῆναι διατελοῦσι τοῦ ἀνδρὸς, ὀλίγα μέν, ἐκ ἄξια δὲ ἀγνοοῦσαι· ἐβάδιζε μὲν γὰρ ἐς τὰ Παιονικὰ ἔθνη, καταικληθεὶς ὑπὸ Μάκου βασιλέως ἐκεῖ στρατεύοντος, καὶ δεδωκότος αὐτῷ τὸ ἐπιστέλλειν Ἕλλησιν. ἀφικόμενος δὲ ἐς τὰς Ἀθήνας, οὐδὲ δὲ μῆκος τοῦτο ἀμέτρητον τῶν ἐκ τῆς ἑῴας ἐλαύνοντι, ἐνταῦθα, ἔφη, γόνυ κάμψωμεν· καὶ εἰπὼν τοῦτο, ἐπήγγειλε τοῖς Ἀθηναίοις αὐτοσχεδίας λόγους ἐρῶσιν αὐτοῦ τῆς ἀκροάσεως· ἀκούων δὲ τὸν Ἡρῴδου ἐν Μαραθῶνι διαυτώμενον, καὶ πᾶν πρόπαν ἑπομένην αὐτῷ πᾶσαν, γράφει πρὸς αὐτὸν ἐπιστολὴν, αἰτῶν τὰς Ἕλληνας, ἐπεὶ ὁ Ἡρῴδης ἀφίξεται, ἔφη, μετ' ὀλίγων καὶ αὐτός· σωθελέγοντο μὲν δὴ ἐς τὸ ἐν τῷ Κεραμικῷ θέατρον, ὃ δὴ ἐπωνόμασται Ἀγρίππειον. προϊόντος δὲ ἤδη τῆς ἡμέρας, καὶ τοῦ Ἡρῴδου βραδύνοντος, ἤσχαλλον οἱ Ἀθηναῖοι, ὡς ἐκλυομένης τῆς ἀκροάσεως, καὶ τέχνῃ αὐτῷ ᾠόντο· ὅθεν ἀπάγκη τῷ Ἀλεξάνδρῳ ἐγένετο, παρελθεῖν ἐπὶ τινὰ διάλεξιν, καὶ περὶ ἧκεν τὸν Ἡρῴδην· ἡ μὲν δὴ διάλεξις, ἔπαινοι ἦσαν τοῦ ἄνδρος, καὶ ἀπολογία πρὸς τοὺς Ἀθηναίους, ὡς τοῦ μήπω πρόπαρ πρὸς αὐτοὺς ἀφῖχθαι· ἔσχε δ' ἀποχρῶν μῆκος· παναθηναϊκοῦ γὰρ λόγου ἐπιτομὴ ἦκαστο. ἀστραλὴς δ' οὕτω τοῖς Ἀθηναίοις ἔδοξεν, ὡς καὶ βόμβον διελθεῖν αὐτοῦ ἔτι σιωπῶντος, ἐπαινεσάντων αὐτοῦ τὸ δύσχημον. ἡ μὲν δὴ νενικηκυῖα ὑπόθεσις, ὁ τοὺς Σκύθας ἐπανάγων εἰς τὴν πρόπαρ πλάνην, ἐπειδὴ πόλιν οἰκοῦντες νοσοῦσι. καμπὴν δ' ἐπισχὼν βραχεῖ, ἀνεπήδησε τοῦ θρόνου, φαιδρῷ τῷ προσώπῳ, καθάπερ εὐαγγέλια ἐπάγων τοῖς ἀκροωμένοις, ὧν εἶπεν ἔχοι. προϊόντος δ' αὐτῷ τοῦ λόγου, ἐπέστη ὁ Ἡρῴδης, Ἀρκαδί πίλῳ τινὶ κεφαλὴν σκιάζων, ὡς ἐν ὥρᾳ θέρους εἰώθει Ἀθήνησιν· ἴσως δέ πως καὶ ἐνδεικνύμενος αὐτῷ τὸ ἐκ τῆς ὁδοῦ ἥκειν. καὶ ὁ Ἀλέξανδρος ἔνθεν ἔλων, διελέχθη μὲν ἐς τινὰ παρουσίαν τοῦ ἀνδρὸς ὑποσέ-

σέμνῳ τῇ λέξει ἐς ἡχώτητι· ἐπ' αὐτῷ δὲ ἔθετο, ὅπε βάλοιτο τῆς ἡδὺ στωμυλοιβύβης ὑποθέτεως ἀκροᾶσθαι, ὅπε ἕτεραν αὐτὸς δοῦναι. τοῦ δ' Ἡρώδου ἄνω βλέψαντος εἰς τὰς ἀκροωιβύβους, ἐς ὑπόντος ποιήσειν ὅπερ ἂν ἐκείνοις δόξῃ, πάντες σωωεπένευσαν εἰς τὴν τῶν Σκυθῶν ἀκρόασιν· ἐς γὰ δὴ ἐς λαμπρῶς διῆκε τὸν ἀγῶνα, ὡς δῆλοι τὰ ἀρηιβύα. θαυματίαν δ' ἴχωὶ ἐπεδέξατο ἢ ὁ Ἰοῖσδε· τὰς γὰ διαιοίας, τὰς πρὶν ἦκεν τὸν Ἡρώδεω λαμπρῶς αὐτῷ ἀρηιβύας, μετεχφρίσατο ἐπισάντος ἅτω τῇ ἑτέρᾳ λέξει, ἢ ἑτέροις ῥυθμοῖς, ὡς τοῖς δεύτερον ἀκροωιβύοις, μὴ διλογιῶν δόξαι· ἐπὶ τελευτῇ δ' τοῦ λόγου, ἐς τὴν πόλιν διαβάλλων ὡς πνιγηρὸν οἰκητήριον, τὸ ἐπὶ πᾶσιν ὧδε ἀνεφθέγξατο· ἀλλ' ἀναπέτασον τὰς πύλας, ἀναπνεῦσαι θέλων. προτρεπομὼν δ' τῷ Ἡρώδῃ, ἐς πεισχὼν αὐτὸν, ἀντφεσίαστόν με ἔφη· ἢ ὁ Ἡρώδης, τί δ' ἂ μέλλω, ἔπε, λαμπρῶς ὕτως ἐπιάσαντα; διαλυθέντος δ' τῆς ἀκροάσεως, καλέσας ὁ Ἡρώδης τῶν ἑωυτοῦ γνωρίμων τὰ: ὃν ἐπιδόσει, ἠρώτα ποῖός τίς αὐτοῖς ὁ Σοφιστὴς φαίνοιτο; Σκέπτα δὲ τοῦ Κορινθίου, τὸν μὲν πηλὸν εὑρηκέναι φήσαντος, τὸν δ' πλάτωνα ζητεῖν, ἐπισκώπτων αὐτὸν ὁ Ἡρώδης, τυτὶ, ἔφη, πρὸς μηδένα ἔπης ἕτερον· σεαυτὸν γὰς διαβάλλεις, ὡς ἀμαθῶς κείναντα. πλαυτῆσαι δ' τὸν Ἀλέξανδρον οἱ μὲν, ἐν Κελτοῖς φασιν, ἔτι ἐπιέλλοντα· οἱ δ' ἐν Ἰταλίᾳ, πεπαυμένον τοῦ ἐπιέλλειν· ἢ οἱ μὲν ἑξηκοντούτιον· οἱ δ' ἢ ὀκτὼ πρὸς τοῖς ἑξήκοντα.

ΦΙΛΟΣΟΦΟΙ.

ΠΕΡΙ ΑΛΚΜΑΙΩΝΟΣ.

Ἀλκμαίων, Πειρίθου υἱὸς, Κροτωνιάτης· ὡς αὐτὸς ἐναρχόμενος τοῦ συγγράμματος φησίν· "Ἀλκμαίων Κροτωνιήτης, τάδε ἔλεξε, Πειρίθου υἱὸς, Βροτίνῳ, ἐς Λέοντι, ἐς Βαθύλλῳ, περὶ τῶν ἀφανέων περὶ τῶν θνητῶν σαφήνειαν μὲν θεοὶ ἔχοντι· ὡς δὲ ἀνθρώποις τεκμήρεται," ἢ τὰ ἑξῆς. Πυθαγόρου δὲ ἀκροατὴς ἦν· ἢ τὰ πλεῖστά γε ἰατρικὰ λέγει· ὅμως δὲ ἢ φυσιολογεῖ ἐνίοτε λέγων. δοκεῖ δ' πρῶτος φυσικὸν λόγον συγγεγραφέναι, καθά φησι Φαβωρῖνος ἐν παντοδαπῇ ἱστορίᾳ. ἔφη δὲ ἢ τὸν ψυχὸν ἀθάνατον, ἢ κινεῖσθαι αὐτὸν συνεχῶς ὡς τὸν ἥλιον· πᾶν δὲ σελήνην καθόλου ταύτην ἔχειν ἀΐδιον φύσιν.

ΠΕ-

ΠΕΡΙ ΑΝΑΞΑΡΧΟΥ.

Ἀνάξαρχος ὁ φιλόσοφος, Ἀβδηρίτης τὸ γένος, Διομένους τοῦ Σμυρναίου ἀκουστής· οἱ δ', Μητροδώρου τοῦ Χίου, ὃς ἔλεγε, μὴ δὲ αὐτὸ τοῦτο εἰδέναι, ὅτι οὐδὲν οἶδε. οὗτος συσχεθεὶς ὑπὸ Ἀρχελάου τοῦ τυράννου, ὡς βληθεὶς ὑπ' ὄλμῳ, ἐπτίσσετο μοχλῷ ξυλίνῳ· πτίσσεσθαι δέ ὅτι, τὸ δίκλινον πτισάνης τύπτεσθαι· ἔνθεν καὶ πτισάνη, ὡνομάσθαι τὸ πτίσσεσθαι· πτισσόμενος δ' οὗτος, ἔφη· πτίσσε, πτίσσε τὸν Ἀναξάρχου θύλακον· οὐ γὰρ πτίσσεις Ἀνάξαρχον· αἰνιττόμενος, ὅτι φιλόσοφος ἦν, τοῦ σώματος μηδένα λόγον ποιούμενος. ἄλλοι δὲ Νικοκρέοντα τὸν Κύπρου τύραννον φασὶν γενέσθαι τὸν αὐτὸν τυραννήσαντα. ὁ δ' οὖν Ἀνάξαρχος καὶ Ἀλεξάνδρῳ συνῆν· ὄντινα οἰόμενον εἶναι θεόν, ἐπέτρεψεν· ἐπειδή γε ἔκ τινος πληγῆς εἶδεν αὐτῷ καταῤῥέον αἷμα, δείξας τῇ χειρὶ, ὡρὸς αὐτὸν φησί· τοῦτό μοι αἷμα καὶ οὐκ ἰχώρ,

--- Οἷός πέρ τε ῥέει μακάρεσσι θεοῖσι.

Πλούταρχος δὲ αὐτὸν τὸν Ἀλέξανδρον τοῦτο λέξαι ὡρὸς τοὺς φίλους φησίν· ἀλλὰ καὶ ἄλλοτε ὡροπίνοντα αὐτῷ τὸν Ἀνάξαρχον, δεῖξαι τὸν κύλικα, καὶ εἰπεῖν· βληθήσεται δή τις Θεῶν βροτησίᾳ χειρί· ἐκαλεῖτο δὲ διὰ τὴν ἀπαθείαν καὶ εὐκολίαν τοῦ βίου, εὐδαιμονικὸς ὁ Ἀνάξαρχος· διὸ καὶ ὁμοῦ τοῦ ῥᾴστου διωκτὸς ἦν σωφρονίζειν.

ΠΕΡΙ ΑΝΑΞΑΓΟΡΟΥ.

Ἀνάξαγόρου, πόσαρες γεγόνασιν· ὧν ὁ ὡρῶτος, Ἡγησιβούλου, ἢ Εὐβούλου, Κλαζομένιος· δεύτερος δὲ, ῥήτωρ ἦν Ἰσοκράτειος· τρίτος, γραμματικὸς Ζηνοδότειος· τέταρτος, ἀνδριαντοποιὸς, οὗ μέμνηται Ἀντίγονος. ὁ δὲ Κλαζομένιος, ὡφ' οὗ διαλαβὼν μέλλομεν, ἀκουστὴς ἦν Ἀναξιμένους· δύναμιν καὶ πλοῦτον καὶ μεγαλοφροσύνῃ διαφέρων· ὅς γε καὶ τὰ πατρῷα ὡμολογχωρῆσαι τοῖς οἰκείοις λέγεται· αἰτιασθεὶς γοῦν ὑπ' αὐτῶν ὡς ἀμελῶν, τί οὖν, ἔφη, οὐχ ὑμεῖς ἐπιμελεῖσθε; καὶ τέλος ἀπέστη· καὶ ὡφ' οὗ τὴν τῶν φυσικῶν θεωρίαν ἦν, ὁ φροντίζων τῶν πολιτικῶν· ὅτε καὶ ὡρὸς τὸν εἰπόντα, οὐδέν σοι μέλει τῆς πατρίδος· εὐρήμει, ἔφη· ἐμοὶ γὰρ καὶ σφόδρα μέλει τῆς πατρίδος, δείξας τὸν οὐρανόν. λέγεται δὲ καὶ τὴν Ξέρξου διάβασιν ἑκκαίδεκα ἔτεσι εἰδέναι· βεβιωκέναι δὲ ἑβδομήκοντα δύο. ἤρξατο δὲ φιλοσοφεῖν Ἀθήνησιν ἐπὶ Καλλίου ἔτεσιν ἑκκαίδεκα ὤν· ἔνθα καὶ φασὶν αὐτὸν ἔτη διατρίψαι τριάκοντα· καὶ

τε-

τέλος ἀποχωρήσας εἰς Λάμψακον, ἀυτόθι τῆς τοῦ βίου λήξεως τετύχηκεν.

ΠΕΡΙ ΑΓΑΠΙΟΥ.

Ἀγάπιος ὁ φιλόσοφος, Ἀθηναῖος τὸ γένος, μαθητὴς Πρόκλου ἀποιχόμενον ἀπὸ Μαρίνου, ὃς ἐθαυμάζετο ἐπὶ φιλομαθίᾳ ἀποριῶν πορρωτέρω δυσεπιβόλων.

ΠΕΡΙ ΑΝΑΞΙΜΑΝΔΡΟΥ.

Ἀναξίμανδρος Πραξιάδου, Μιλήσιος, φιλόσοφος συγγενὴς καὶ ἀκουστὴς καὶ διάδοχος Θάλεω, ἔφασκεν ἀρχὴν στοιχεῖον τὸ ἄπειρον, οὐ διορίζων ἀέρα, ἢ ὕδωρ, ἢ ἄλλο τι· καὶ τὰ μὲν μέρη διαβάλλειν, τὸ δ' ὅλον ἀμετάβλητον εἶναι· καὶ τὴν μὲν γῆν ἐν μεσαιτάτῳ κεῖσθαι, κέντρου τάξιν ἐπέχουσαν, οὖσαν σφαιροειδῆ· τὴν τε σελήνην ψευδοειδῆ καὶ ἀπὸ ἡλίου φωτίζεσθαι· ἥλιον δὲ τὸν ἥλιον οὐκ ἐλάττονα τῆς γῆς, καὶ καθαρώτατον πῦρ. οὗτος πρῶτον ἰσημερίαν εὗρεν, ὡρολογεῖά τε εἰσήγαγε, καὶ ἔστησεν ἐπὶ τῶν σκιοθήρων ἐν Λακεδαίμονι. καὶ σφαῖραν κατεσκεύασε· καὶ ὅλως γεωμετρίας ὑποτύπωσιν ἔδειξεν. ἔγραψε δὲ περὶ φύσεως, καὶ ἀπλανῶν, οὐ μὴν ἀλλὰ καὶ πρῶτος ἐτόλμησε τὴν οἰκουμένην ἐν πίνακι γράψαι. ἐπεδήμησε δ' ἐξηκοντούτης, ἀκμάσας μάλιστα κατὰ Πολυκράτην τὸν Σάμου τύραννον.

ΠΕΡΙ ΑΝΑΞΙΜΕΝΟΥΣ.

Ἀναξιμένης Εὐρυστράτου, Μιλήσιος, καὶ οὗτος φιλόσοφος, μαθητὴς καὶ διάδοχος Ἀναξιμάνδρου τοῦ Μιλησίου, ἀρχὴν τὸν ἀέρα, καὶ τὸ ἄπειρον εἶπε· κινεῖσθαι δὲ τὰ ἄστρα οὐχ ὑπὲρ γῆν, ἀλλὰ περὶ γῆν· οὗτος τὸν βίον κατέστρεψε περὶ τὴν Σαρδέων ἅλωσιν.

ΠΕΡΙ ΑΝΤΙΣΘΕΝΟΥΣ.

Ἀντισθένης ὁ φιλόσοφος, τὸ γένος Ἀθηναῖος, καταρχὰς ἀκουστὴς ἦν Γοργίου τοῦ ῥήτορος· ὅθεν τὸ ῥητορικὸν εἶδος ἐν τοῖς διαλόγοις ἐπιφέρει· καὶ μάλιστα ἐν τῇ ἀληθείᾳ καὶ τοῖς προτρεπτικοῖς. ὕστερον δὲ παρέβαλε Σωκράτει, καὶ τοσοῦτον ὤνατο αὐτοῦ, ὥστε παρῆνει τοῖς μαθηταῖς γενέσθαι αὐτῷ πρὸς Σωκράτην συμμαθητάς· οἰκῶν τε ἐν Πειραιεῖ, καθ' ἑκάστην ἡμέραν ἐδίς τεττεράκοντα σταδίους ἀνιὼν, ἤκουσε Σωκράτους· παρ' οὗ καὶ τὸ καρτερικὸν λα-

λαβὼν, καὶ τὸ ἀπαθὲς ζηλώτας, κατῆρξε πρῶτος τοῦ κωμισμοῦ· ὅτι ὁ πάνυ ἀγαθὸν σωέστησε διὰ τοῦ μεγάλου Ἡρακλέους καὶ τοῦ Θεύρου· τὸ μὲν, ἀπὸ τῶν Ἑλλήνων· τὸ δὲ, ἀπὸ τῶν βαρβάρων ἑλκύσας. διελέγετο δὲ ἐν τῷ Κυνοσάργει γυμνασίῳ, μικρὸν ἄποθεν τῶν πυλῶν· ὅθεν λέγεται καὶ τὴν κυνικὴν ἐντεῦθεν ὀνομασθῆναι· αὐτός τε ἐπεκαλεῖτο ἀπλοκύων. καὶ πρῶτος ἐδίπλωσε τὸν τρίβωνα, καθά φησι Διοκλῆς, ὃν μόνῳ αὐτῷ ἐχρῆτο· βάκτρον τε ἀνέλαβε καὶ πῆραν· πρῶτος δὲ ἤπλωσε καὶ θοιμάτιον. ἦν τε μόνον ἐν πάντων τῶν Σωκρατικῶν θεόπομπος ἐπαινεῖ· καί φησι δεινόν τε εἶναι, καὶ δι' ὁμιλίας ἐμμελῶς παραγαγέσθαι πάνυ ὀντινοῦν. δῆλον δ' ἐκ τῶν αὐτοῦ συγγραμμάτων, καὶ ἐκ τοῦ Συμποσίου Ξενοφῶντος. ὅτος καὶ τῆς ἀνδρωδεστάτης στωϊκῆς καθῆρξε, καὶ τῆς Διογένους ἀπαθείας, καὶ τῆς Κράτητος ἐγκρατείας, καὶ τῆς Ζήνωνος καρτερίας ἡγήσατο, ὑποθέμενος τῇ πόλει τὰ θεμέλια. ὁ δ' Ξενοφῶν ἤδιστον μὲν εἶναι φησὶ τὰς ὁμιλίας φησὶν αὐτὸν, ἐγκρατέστατον δὲ φησὶ τὰ ἄλλα. φέρονται δ' αὐτοῦ συγγράμματα φησὶ διαφόρων ὑποθέσεων, τόμοι δέκα. ἐτελεύτησε δὲ Ἀθήνησιν, ἑβδομηκοντούτης γεγονώς.

ΠΕΡΙ ΑΚΤΑΛΑ ΤΟΥ ΦΙΛΟΣΟΦΟΥ.

Ἀκύλας, φιλόσοφος· ἔγραψε σχόλια λογικὰ περὶ συλλογισμῶν.

ΠΕΡΙ ΑΛΕΞΑΝΔΡΟΥ ΤΟΥ ΑΙΓΑΙΟΥ.

Ἀλέξανδρος, Αἰγαῖος, φιλόσοφος περιπατητικὸς, διδάσκαλος Νέρωνος ἅμα Χαιρήμονι φιλοσόφῳ.

ΠΕΡΙ ΑΛΚΙΔΑΜΑΝΤΟΣ ΤΟΥ ΦΙΛΟΣΟΦΟΥ.

Ἀλκιδάμας, φιλόσοφος, ἀπὸ Ἐλέας τῆς Ἀσίας, Διοκλέους υἱὸς, μυσικὰ γεγραφότος, μαθητὴς Γοργίου τοῦ Λεοντίνου.

ΠΕΡΙ ΑΜΜΩΝΙΟΥ, ΤΟΥ ΚΑΙ ΑΛΕΞΑΝΔΡΟΥ.

Ἀμμώνιος, φιλόσοφος, ὁ καλούμενος Ἀλέξανδρος· ὅτος διεδέξατο τὸν σχολὸν Ἀριστάρχου, μετὰ τοῦ μοναρχῆσαι τὸν Αὐγουστον.

ΠΕ-

ΠΕΡΙ ΑΠΟΛΛΩΝΙΟΥ ΤΟΥ ΤΥΑΝΕΩΣ.

Ἀπολλώνιος Τυανεὺς, φιλόσοφος, ἐπὶ Κλαυδίου καὶ Γαΐου καὶ Νέρωνος, μέχρι Νέρβα, σωέταξε τελετὰς, ἢ περὶ θυσιῶν, διαθήκαι, χρησμὸς, ἐπιστολὰς, Πυθαγόρου βίον, καὶ ἄλλα πολλά.

ΡΗΤΟΡΕΣ.

ΠΕΡΙ ΑΝΤΙΠΑΤΡΟΥ ΤΟΥ ΡΗΤΟΡΟΣ.

Ἀντιπάτρῳ παλαὶς μὲν ἦν, Ἱεράπολις, πατὴρ δ' Ζευξίδημος, τῶν ἐπιφανεστάτων. Ἀδελφὸς δὲ καὶ Πολυδεύκους ἀκροατὴς γενόμενος, ἀπὸ τοῦ Πολυδεύκους μᾶλλον ὥρμησαι, τὰς ὁρμὰς τῶν νοημάτων ἐκλύων τοῖς τῆς ἑρμηνείας ῥυθμοῖς. ἀκροασάμενος δ' καὶ Ζήνωνος τοῦ Ἀθηναίου, τὸ περὶ τέχνην ἀκριβὲς ἐκείνου ἔμαθεν. αὐτοσχέδιος δ' ὢν, οὐδὲ φροντισμάτων ἐμέλετα, ἀλλ' Ὀλυμπιακός τε διῆν, καὶ Παναθηναϊκός. καὶ εἰς ἰσορίαν τὰ Σεβήρου τοῦ βασιλέως ἔργα ἔλαβεν· ἐφ' ᾧ μάλιστα ταῖς βασιλείοις ἐπιστολαῖς ἐπιταχθεὶς, λαμπρόν τι ἐν αὐταῖς ἤχησε. ἐπελεύτησε δ' ἑξηκοντούτης, καὶ ἐτάφη οἴκοι.

ΠΕΡΙ ΑΠΟΛΛΩΝΙΟΥ ΤΟΥ ΑΘΗΝΑΙΟΥ ΡΗΤΟΡΟΣ.

Ἀπολλώνιος ὁ Ἀθηναῖος, ἱκανὸς τὰ δικανικὰ, καὶ τὰ περὶ μελέτην ἁμπτὸς, ἐπαίδευσεν Ἀθήνησι· καθ' Ἡρακλείδην τε, καὶ τὸν ὁμώνυμον, τοῦ πολιτικοῦ θρόνου προεστῶτος ἐπὶ πολλοῦ· διαφερὴς δ' καὶ τὰ πολιτικὰ χρόμενος, ἔν τε προστασίαις ὑπὲρ τῶν μεγίστων ἐπρέσβευσεν, ἔν τε λειτουργίαις, ἃς μεγίστας Ἀθηναῖοι νομίζουσι· τὴν δὲ ἐπώνυμον, καὶ τιμὴν ἐπὶ τῶν ὅπλων, ἐπετράπη, καὶ τὰς ἐξ ἀνακτόρων φωνὰς, ἤδη γηράσκων, Ἡρακλείδᾳ, καὶ Λογίμῳ, καὶ Γλαύκῳ, καὶ τῶν τοιούτων ἀξιαγάστων, εὐφωνίᾳ μὲν ἀοιδέων, σεμνότητι δ', καὶ μεγαλοπρεπείᾳ, καὶ κόσμῳ πρὸς πολλὰς δοκῶν τῶν ἄνω. προεσβεύων δὲ πρὸς Σεβῆρον ἐν Ῥώμῃ τὸν αὐτοκράτορα, ἀπεδύσατο πρὸς Ἡρακλείδην τὸν σοφιστὴν τὸν ὑπὲρ μελέτης ἀγῶνα. καὶ ἀπῆλθεν ὁ μὲν, τὴν ἀπέλειαν ἀφαιρεθείς· ὁ δ' Ἀπολλώνιος, δῶρα ἔχων. διαδιδόντος δὲ τοῦ Ἡρακλείδου λόγον ὡς ἀληθῆ ὑπὲρ τοῦ Ἀπολλωνίου, ὡς αὐτίκα δὴ βαδιουμένου ἐς Λιβύην, ἡνίκα Λεπτίνης ἦν αὐτοκράτωρ ἐκεῖ, καὶ τὰς ἐξ ἁπάσης γῆς ἀρετὰς σωπῶντος· καὶ

ὥρα σοι ἀναγινώσκειν τὸν πρὸς Λεπτίνην, σοὶ μὴν ἔν γε ὁ Ἀπολλώνιος, ὃς γὰρ δὴ καὶ ὑπὲρ τῆς ἀτελείας γέγραπται. Βαλβίδα μὴν δὴ τῷ λόγῳ ὁ Ἀπολλώνιος ἐκ τῆς Ἀδειανῆ ἰδέας βέβληται, ἄπτεται δὲ καὶ ἀκροατὴς γλυκύμυθος· πολλάττει δὲ ὅμως ἐς ῥυθμὸς ἐμμέτρους τε, καὶ ἀναπαίοντας. ἐπλούτησεν πολὺς ἐν τῷ τῶν Ἀθηναίων δήμῳ πνεύσας, ὡς καὶ τὰ πέντε καὶ ἑβδομήκοντα ἔτη.

ΠΕΡΙ ΑΝΤΙΟΧΟΥ ΤΟΥ ΡΗΤΟΡΟΣ.

Ἀντίοχος, ὁ ῥήτωρ καὶ σοφιστής, τὸ μὴν εἰς πατέρα ἦκον, ἐπιφανέστατος ἦν κατὰ τὴν ἡλικίαν· τὸ δὲ εἰς διδασκάλους, καὶ παίδευσιν, φανερώτατος τῶν Ἑλληνικῶν. Αἰσχυλέας μὴν γὰρ ἤκουσε, παῖς ἔτι· Χρήσιμος δὲ, ἤδη ξυνιείς· ὅθεν ἀπ' ἀμφοῖν ἐκράτει, τὴν γλῶτταν ἀττικίζων τε καὶ περιβολῆς ἑρμηνεύων· εἰσὶ δ' οἱ ἀκροατὴν αὐτὸν Δαρδάνου τοῦ Ἀσυρίου βεβαιοῦσι, καὶ φοιτῶντα εἰς μειράκιον, Διονυσίου Μιλησίου, κατέχοντος ἤδη τὴν Ἐφεσίων. φρονιμώτατος δ' ἀνθρώπων γλυκύμυθος, διέβαλλεν ὡς μειρακιώδες, ἵνα ὑπερωρακὼς αὐτοῦ μᾶλλον, ἢ λειπόμυθος φαίνοιτο· τὰ δ' ὑπερ μελέτας ἐλλογιμώτατος ἦν· ἀσφαλὴς μὴν γὰρ ἐν ταῖς κατηγορίαις, καὶ ἐπιφοραῖς· εὐπρεπὴς δ' ταῖς ἀπολογίαις, καὶ τῷ ἠθικῷ ἰσχύων· καὶ καθάπαξ τὴν ἰδέαν τοῦ λόγου, δικανικῆς μὴν σοφιστικώτερος, σοφιστικῆς δ', δικανικώτερος. καὶ τὰ πάθη ἄριστα σοφιστῶν μετεχειρίσατο· οὐ γὰρ μονῳδίας ἀπεμήκυνεν, οὐδὲ θρήνους ὑποκειμένους, ἀλλ' ἐβραχυλόγει αὐτὰ σὺν διανοίαις λόγου κρείττοσιν, ὡς ἐκ τῶν αὐτοῦ συγγραμμάτων δηλοῦται.

ΠΕΡΙ ΑΝΔΟΚΙΔΟΥ ΤΟΥ ΡΗΤΟΡΟΣ.

Ἀνδοκίδης, Ἀθηναῖος ῥήτωρ τῶν ῥωπευόντων δέκα, ἦς· υἱὸς Λεωγόρου, ἀπόγονος Τηλεμάχου τοῦ Ὀδυσσέως καὶ Ναυσικάας, ὥς φησιν Ἑλλάνικος.

ΠΕΡΙ ΑΝΔΡΟΜΑΧΟΥ.

Ἀνδρόμαχος Νεαπολίτης, ἐκ Συρίας σοφιστής, υἱὸς Ζωΐλου, ἢ Σαβίνου· ἐπαίδευσε καὶ Νικομηδέαν, ἐπὶ Διοκλητιανοῦ βασιλέως,

ΠΕΡΙ ΑΝΔΡΟΤΙΩΝΟΣ.

Ἀνδροτίων Ἀνδρωνος, Ἀθηναῖος ῥήτωρ καὶ δημαγωγός, μαθητὴς Ἰσοκράτους.

ΠΕΡΙ ΑΝΤΙΦΩΝΤΟΣ.

Ἀντιφῶν Σοφίλου διδασκάλου λόγων ῥητορικῶν, Ἀθηναῖος. οὗτος ῥητορικῷ οὐκ οὖσαν εὑρεῖν λέγεται, ἢ εὑρημένην αὐξῆσαι· ἦρξε δὲ τοῦ δικανικοῦ χαρακτῆρος μετὰ Γοργίαν τὸν Λεοντῖνον· καθάπτεται δ' ἡ κωμῳδία τοῦ Ἀντιφῶντος, ὡς δεινοῦ τὰ δικανικὰ, καὶ λόγους καὶ τοῦ δικανικοῦ συγκειμένους ἀποδιδομένου πολλῶν χρημάτων, αὐτοῖς μάλιστα τοῖς κινδυνεύουσι· λέγεται δὲ Θουκυδίδου ζηλωτὴς διδάσκαλος· ἐκαλεῖτο δὲ Νέστωρ, ἐπὶ τῷ περὶ παντὸς ἂν εἰπεῖν πεῖσαι. ἀπέθανε περὶ Σικελίαν, ὑπὸ Διονυσίου τοῦ τυράννου· τὰς δ' αἰτίας ἐφ' αἷς ἀπέθανεν, Ἀντιφῶντι μᾶλλον ἢ Διονυσίῳ ὡροσγράφουσι· διεφάυλιζε γὰρ τὰς τοῦ Διονυσίου τραγῳδίας, ἐφ' αἷς ἐκεῖνος ἐφρόνει μεῖζον, ἢ ἐπὶ τῷ τυραννεῖν. στασιάζοντος δὲ τοῦ τυράννου περὶ εὐχρηστίας χαλκοῦ, καὶ ἐρομένου τοὺς παρόντας, τίς ἥττων ἐστὶ, ἢ νῆσος, τὸν ἄριστον χαλκὸν φύουσα, περιτυχὼν ὁ Ἀντιφῶν τῷ λόγῳ, ἐγὼ ἄμεινον, ἔφη, τὸν Ἀθήνησιν, ἃ γεγόνασιν αἱ Ἁρμοδίου καὶ Ἀριστογείτονος εἰκόνες· ἐπὶ μὲν δὴ τούτοις, ἀπέθανεν· ὡς ὑφέρπων τὸν Διονύσιον, καὶ τρέπων ἐπ' αὐτὸν τοὺς Σικελιώτας.

ΠΕΡΙ ΑΝΔΡΟΚΛΕΙΔΟΥ.

Ἀνδροκλείδης, ὁ τοῦ Σωσεστράτου τοῦ Λησθοῦ τοῦ Φιλαδελφέως υἱὸς, ἐπὶ Πορφυρίου τοῦ φιλοσόφου ἐδίδασκεν, ἐπειδὴ μέμνηται αὐτοῦ ἐν τῷ περὶ τῶν ἐμποδὼν τεχνολογῶν.

ΠΕΡΙ ΑΠΟΛΛΩΝΙΟΥ ΤΙΟΥ ΑΡΧΕΒΟΥΛΟΥ.

Ἀπολλώνιος Ἀρχεβούλου, ἢ Ἀρχεβίου, ἔγραψε περὶ λέξεων Ὁμηρικῶν καὶ στοιχεῖον.

ΠΕΡΙ ΑΓΑΘΙΟΥ.

Ἀγαθίας, σχολαστικὸς Σμυρναῖος, τῷ μετὰ Προκόπιον ἱστορίαν συνέγραψε· συνέταξε καὶ ἔμμετρα βιβλία, καὶ καταλογάδην, τά τε καλούμενα Δαφνιακὰ, καὶ τὸν κύκλον τῶν νέων ἐπιγραμμάτων, ὧν αὐτὸς συνῆξεν ἐπὶ τοῦ καὶ τοῦ καιρὸν Ποιητοῦ. συνήκ-

μητε δὲ Παύλῳ τῷ Σιλεντιαρίῳ, καὶ Μακεδονίῳ τῷ Ὑπάτῳ, καὶ Τριβωνιανῷ, ἐπὶ τῶν Ἰουστινιανοῦ χρόνων.

ΠΕΡΙ Α'ΛΕΞΙΔΟΣ ΤΟΥ ΚΩΜΙΚΟΥ.

Ἄλεξις Θουρίῳ, κωμικός· ὅστις πρότερον Σύβαρις ἐκαλεῖτο. ἐδίδαξε δράματα Σμέ· γέγονε πάτρως Μενάνδρου τοῦ κωμικοῦ· ἔσχε υἱὸν Στέφανον, καὶ αὐτὸν κωμικόν.

ΠΕΡΙ ΑΛΚΑΙΟΥ ΤΟΥ ΤΡΑΓΙΚΟΥ.

Ἀλκαῖος, Ἀθηναῖος τραγικός· ὄντινα θέλουσι πρῶτον τραγικὸν γεγονέναι.

ΠΕΡΙ ΑΛΚΑΙΟΥ ΤΟΥ ΚΩΜΙΚΟΥ.

Ἀλκαῖος, Μιτυληναῖος, κωμικὸς τῆς ἀρχαίας κωμῳδίας, ἔγραψε δράματα δέκα.

ΠΕΡΙ ΑΛΚΜΑΝΟΣ.

Ἀλκμὰν Λάκων, ἀπὸ Μεσσόας, λυρικός, εὑρετὴς τῶν ἐρωτικῶν μελῶν, ἔγραψε βιβλία ς' μέλη, καὶ κολυμβώσας, πρῶτος εἰσήγαγε τὸ μὴ ἑξαμέτροις μελῳδεῖν. κέχρηται Δωρίδι διαλέκτῳ, ὡς Λακεδαιμόνιος.

ΠΕΡΙ ΑΝΑΚΡΕΟΝΤΟΣ.

Ἀνακρέων Τήϊος, λυρικός· ἔγραψεν ἐλεγεῖα καὶ ἰάμβους, Ἰάδι πάντα διαλέκτῳ, ἤτοι παροίνια μέλη, καὶ τὰ καλούμενα Ἀνακρεόντεια.

ΠΕΡΙ ΑΝΑΞΑΝΔΡΙΔΟΥ.

Ἀναξανδρίδης Ἀναξάνδρου, Ῥόδιος, ὃν Καμείρου γεγονώς, ἐπὶ τοῖς ἀγῶσι Φιλίππου τοῦ Μακεδόνος· ἔγραψε δράματα ξέ· καὶ πρῶτος ὗτος ἔρωτας καὶ παρθένων φθορὰς ὁ παμμίαρος εἰσήγαγεν.

ΠΕΡΙ ΑΝΑΞΙΠΠΟΥ.

Ἀναξίππος, κωμικὸς τῆς νέας κωμῳδίας. ἤκμασεν ἐπὶ Ἀντιγόνου καὶ Δημητρίου τοῦ Πολιορκητοῦ.

ΠΕΡΙ ΑΝΤΙΜΑΧΟΥ.

Ἀντίμαχος Κολοφώνιος, υἱὸς Ὑπάρχου, ποιητὴς καὶ γραμματικός, γέγονε μετὰ τὸν Πλάτωνος. καὶ ἕτερος Ἀντίμαχος Ἡλιοπολίτης, ἀπ' Αἰγύπτου, ὃς ἔγραψε Κοσμοποιΐαν ἐν ἔπεσιν ἡρωϊκοῖς.

ΠΕΡΙ ΑΝΤΙΦΑΝΟΥΣ ΤΟΥ ΚΩΜΙΚΟΥ.

Ἀντιφάνης, Σμυρναῖος, κωμικός· ὃς δὲ Διονύσιον, Ῥόδιος, τῆς μέσης κωμῳδίας. ἔγραψε κωμῳδίας τξέ· οἱ δέ, σπ'. παῖδα ἔσχε Σπέφανον, καὶ αὐτὸν κωμικόν. πεπλουτηκὼς ἐν Κίῳ, οὐδὲν ἐλῶν ἐπάρχων, κατά τινα τύχην ἀπίῳ βληθείς. καὶ ἕτερος Ἀντιφάνης Ἀθηναῖος κωμικὸς, νεώτερος τοῦ Παναιτίου. καὶ ἄλλος, Καρύστιος κωμικὸς, ἔγραψε κωμῳδίας λ'· οἱ δὲ, πεντήκοντα.

ΠΕΡΙ ΑΠΟΛΛΟΔΩΡΟΥ.

Ἀπολλόδωρος, γελῷος, κωμικὸς, σύγχρονος τοῦ κωμικοῦ Μενάνδρου· δράματα αὐτοῦ φέρονται, Δευτεροποιοὶ, Ἱέρεια, Ἀποκαρτερῶν, ἢ Φιλάδελφοι, Αἰσχίων, Ψευδέας, Σίσυφος, Γραμματοδιδάσκαλος.

ΠΕΡΙ ΑΠΟΛΛΩΝΙΟΥ ΤΟΥ ΣΟΛΛΕΩΣ.

Ἀπολλώνιος, Ἀλεξανδρεὺς, ἐπῶν ποιητὴς, διατρίψας ἐν Ῥόδῳ· υἱὸς Σολλέως, μαθητὴς Καλλιμάχου, ἐπὶ Πτολεμαίου τοῦ Εὐεργέτου, διάδοχος Ἐρατοσθένους, καὶ Εὐφορίωνος, καὶ Τιμάρχου.

ΠΕΡΙ ΑΠΟΛΛΟΦΑΝΟΥΣ.

Ἀπολλοφάνης Ἀθηναῖος, κωμικὸς ἀρχαῖος. δράματα αὐτοῦ, Δάλις, Ἱερογέρων, Κρῆτες, Δανάη, Κένταυροι.

ΠΕΡΙ ΑΠΟΛΛΟΔΩΡΟΥ.

Ἀπολλόδωρος Ταρσεὺς, τραγικός· δράματα αὐτοῦ, Ἀχαναθόπληξ, Τεκτονικὸς, Γελίδες, Ὀδυσσεὺς, Ἕλληνες, Θυέστης.

ΠΕ-

ΠΕΡΙ ΑΡΑΤΟΥ.

Ἄρατος Σολεὺς, τῆς Κιλικίας, υἱὸς Ἀθηνοδώρᾳ, ἀκμὴν ἐγήνετο Γραμματικῷ μὲν τῷ Ἐφεσίῳ Μενεκράτει, φιλοσόφῳ δὲ Τίμωνος, καὶ Μενεδήμῳ, ἐπὶ Ἀντιγόνῳ βασιλέως Μακεδονίας· σύγχρονος Ἀνταγόρᾳ τῷ Ῥοδίῳ, καὶ Ἀλεξάνδρῳ τῷ Αἰτωλῷ, ἑποποιός. συνέταξε βιβλία ἓξ τὰ Φαινόμενα· Ὕμνους εἰς Πᾶνα· Σπονδοφόρους· Παίγνια· Ἀστρολογίαν, καὶ Ἀστροθεσίαν· Σύνθεσιν φαρμάκων ἰατρῶν ἐπιτηδείων· Ἀνθρωπογονίαν· Ἐπιθυτικὸν εἰς Θεόφροτον, εἰς Ἀντίγονον· Ἠθοποιΐας, ἐπιστολάς· Ἐπιγράμματα εἰς Φίλαν τὴν θυγατέρα Ἀντιπάτρου, γυναῖκα δὲ Ἀντιγόνου· Ἀνατομὴν εἰς Παυσανίαν τὸν Μακεδόνα· Ἐπικήδειον Κλεομβρότου· Διόρθωσιν Ὀδυσσείας· Ἐπιστολάς, ὁμοίως καταλογάδην.

ΓΡΑΜΜΑΤΙΚΟΙ.

ΠΕΡΙ ΑΒΡΩΝΟΣ ΤΟΥ ΓΡΑΜΜΑΤΙΚΟΥ.

Ἄβρων, γραμματικὸς, Φρύξ, ἢ Ῥόδιος, μαθητὴς Τρύφωνος· ἐτοφίσθησεν ἐν Ῥώμῃ. γέγονεν ἐπὶ δήλων, ὡς φησιν Ἕρμιππος.

ΠΕΡΙ ΑΚΤΑΙΟΥ.

Ἀκύλας γραμματικὸς, καὶ μυστικός.

ΠΕΡΙ ΑΛΕΞΑΝΔΡΟΥ ΤΟΥ ΓΡΑΜΜΑΤΙΚΟΥ.

Ἀλέξανδρος, ὁ Μιλήσιος, ὃς καὶ Πολυΐστωρ, καὶ Κορνήλιος, Γραμματικὸς, τῶν Κράτητος μαθητῶν. συνέγραψε βιβλία ἀριθμῷ κρείττω· καὶ περὶ Ῥώμης βιβλία πέντε. ἐν τούτοις λέγει, ὡς γυνὴ γέγονεν Ἑβραία Μωσῶ, ἧς ὅτι σύγγραμμα ὁ παρ' Ἑβραίοις νόμος.

ΠΕΡΙ ΑΛΕΞΑΝΔΡΟΥ ΤΟΥ ΑΙΤΩΛΟΥ ΓΡΑΜΜΑΤΙΚΟΥ.

Ἀλέξανδρος Αἰτωλὸς, γραμματικός· ἐκ Πλευρῶνος, υἱὸς Σατύρου καὶ Στρατοκλείας, γραμματικός· ἔγραψε καὶ τραγῳδίας, ὡς καὶ τῶν ἑπτὰ τραγικῶν ἕνα κριθῆναι, ὅπερ ἐπεκλήθησαν ἡ Πλειάς.

ΠΕΡΙ ΑΝΤΕΡΩΤΟΣ.

Ἀντέρως, ὁ καὶ Ἀπολλώνιος, Ἀλεξανδρεὺς γραμματικός· ἐπαί-

παίδευσεν ἐν Ῥώμῃ ἐπὶ Κλαυδίου, τοῦ μετὰ Γάϊον βασιλεύσαντος· φέρονται β' βιβλία περὶ Γραμματικῆς.

ΠΕΡΙ' ΑΠΙΩΝΟΣ.

Ἀπίων ὁ Πλειστονίκου, ὁ ἐπικληθεὶς Μόχθος, Αἰγύπτιος· κατὰ δὲ Ἑλικώνιον, Κρὴς, γραμματικός· μαθητὴς Ἀπολλωνίου τοῦ Ἀρχιβίου· ἠκμακὼς δὲ Εὐφράνορος γηραιοῦ καὶ ὑπὲρ ἑκατὸν ἔτη γεγονότος· Διδύμου δὲ τοῦ μεγάλου θρεπτός. ἐπαίδευσεν ἐπὶ Τιβερίου Καίσαρος, καὶ Κλαυδίου ἐν Ῥώμῃ· διάδοχος Θέωνος τοῦ Γραμματικοῦ, καὶ σύγχρονος Διονυσίου τοῦ Ἁλικαρνασσέως. ἔγραψεν ἱστορίαν κατ' ἔθνος, καὶ ἄλλα τινά.

ΠΕΡΙ' ΑΠΟΛΛΟΔΩΡΟΥ.

Ἀπολλόδωρος, Ἀσκληπιάδου, γραμματικὸς, ὃς τῶν τοῦ Παναιτίου τοῦ Ῥοδίου φιλοσόφου, καὶ Ἀριστάρχου τοῦ γραμματικοῦ, μαθητῶν, Ἀθηναῖος τὸ γένος. ἦρξε δὲ ὡρῶπος τῶν καλουμένων Τραγιάμβων.

ΠΕΡΙ' ΤΟΥ' ΑΠΟΛΛΩΝΙΟΥ.

Ἀπολλώνιος Ἀλεξανδρεὺς, ὁ κληθεὶς Δύσκολος, πατὴρ Ἡρωδιανοῦ τοῦ Τεχνογράφου καὶ δαιμονίου τῆς Γραμματικῆς· ἔγραψε περὶ μεσισμοῦ τῶν τοῦ λόγου μερῶν βιβλία δ'· περὶ ῥήματος, ἤτοι ῥηματικῶν ἐν βιβλίοις ε'· περὶ τῶν εἰς μι ληγόντων ῥημάτων παραγώγων βιβλίον ἕν· περὶ ῥημάτων, ἤτοι ὀνομαστικὸν ἕν· περὶ ὀνομάτων καὶ διάλεκτον· περὶ τῆς ὑπὸ Θηλυκοῖς ὀνόμασιν διαθέσεως ἕν· περὶ παρωνύμων ἕν· περὶ συγκριτικῶν, καὶ περὶ διαλέκτων Δωρίδος, Ἰάδος, Αἰολίδος, Ἀττίδος· περὶ σχημάτων Ὁμηρικῶν· περὶ καταψευσμένης ἱστορίας· περὶ παθῶν· περὶ τόνων καταναγκασμένων βιβλία β'· περὶ τόνων σκολιῶν βιβλίον ἕν· περὶ προσῳδιῶν ε'· περὶ στοιχείων, περὶ προθέσεων· περὶ διαφορουμένων, περὶ τοῦ τίς· περὶ γενῶν· περὶ πτωμάτων· περὶ κλητικῶν· περὶ συζυγίας.

ΠΕΡΙ' ΑΡΙΣΤΑΡΧΟΥ.

Ἀρίσταρχος, Ἀλεξανδρεὺς θέσει, τῇ δὲ φύσει Σαμοθρᾷξ· ἐπὶ Πτολεμαίου τοῦ Φιλομήτορος, ὃν καὶ τὸν υἱὸν ἐπαίδευσε. λέγεται δὲ γράψαι ὑπὲρ ὧν βιβλία ὑπομνημάτων μόνων. μαθητὴς γέγονεν Ἀριστοφάνους τοῦ Γραμματικοῦ.

ΠΕ-

ΠΕΡΙ ᾽ΑΡΙΣΤΟΝΙΚΟΥ.

Ἀριστόνικος, Ἀλεξανδρεὺς, γραμματικὸς, ἔγραψε περὶ τῶν σημείων τ ἐν τῇ Θεογονίᾳ Ἡσιόδου, καὶ τῶν τῆς Ἰλιάδος καὶ Ὀδυσσείας· ἀσωτάκτων ὀνομάτων βιβλία ε΄.

ΠΕΡΙ ᾽ΑΡΙΣΤΟΦΑΝΟΥΣ.

Ἀριστοφάνης, γραμματικὸς, Βυζάντιος, υἱὸς Ἀπελλοῦ, Καλλιμάχου μαθητὴς, καὶ Ζηνοδότου· ὧρος δὲ τούτοις, καὶ Διονυσίῳ τῷ Ἰάμβῳ, καὶ Εὐφρονίδα τῷ Κορινθίῳ.

ΠΕΡΙ ᾽ΑΡΚΑΔΙΟΥ.

Ἀρκάδιος, γραμματικὸς Ἀντιοχεὺς, ἔγραψε περὶ ὀρθογραφίας, περὶ συντάξεως τοῦ τοῦ λόγου μερῶν, ὀνομαστικὸν θαυμάσιον.

ΠΕΡΙ ᾽ΑΡΧΙΒΙΟΥ.

Ἀρχίβιος Ἀπολλωνίου, γραμματικὸς, τοῦ Καλλιμάχου ἐπιγραμμάτων ἐξήγησιν ἔγραψεν. καὶ ἕτερος Ἀρχίβιος Πτολεμαίου, Λευκάδιος, ἢ Ἀλεξανδρεύς· γραμματικὸς τοῦ ἕως Τραϊανοῦ ἐν Ῥώμῃ παιδευσάντων.

ΠΕΡΙ ᾽ΑΣΚΛΗΠΙΑΔΟΥ.

Ἀσκληπιάδης Μυρλεανὸς, (πόλις ἐστὶ Βιθυνίας, ἡ νῦν Ἀπάμεια) τὸ ἄνωθεν γένος Νικαεὺς, γραμματικὸς, μαθητὴς Ἀπολλωνίου. γέγονε δὲ ἐπὶ Ἀττάλου. ἔγραψε διορθωτικὰ βιβλίων φιλοσόφων.

ΠΕΡΙ ᾽ΑΣΤΥΑΓΟΥΣ.

Ἀστυάγης γραμματικὸς, τέχνῃ γραμματικῇ ἔγραψε· περὶ διαλέκτων· περὶ μέτρων κανόνας, ὀνοματικούς· καὶ εἰς Καλλίμαχον τὸν ποιητὴν ὑπόμνημα.

ΠΕΡΙ ᾽ΑΡΙΣΤΟΓΕΝΟΥΣ ΤΟΥ ᾽ΙΑΤΡΟΥ.

Ἀριστογένης, Θάσιος ἰατρὸς, ἔγραψε βιβλία τεσσαράκοντα· ἐκείθη δὲ περὶ διαίτης ἕν· περὶ διυλάμεως δύο· περὶ δακέτων δ΄· περὶ σπέρματος δύο· ὑγιεινὸν ἕν· ἐπιστολικά· ἐπιτομὴ φυσικῶν βοηθημάτων ὧρος ᾽Αντίγονον.

ΠΕ-

ΠΕΡΙ ᾽ΑΡΙΣΤΟΓΈΝΟΥΣ ΤΟΥ ΚΝΙΔΙΟΥ.

Ἀ᾽Ριστογένης ἰατρὸς, Κνίδιος· δοῦλος Χρυσίππου τοῦ φιλοσόφου· ἰάτρευσεν Ἀντίγονον τὸν Γονατᾶ.

ΠΕΡΙ ᾽ΑΡΧΙΓΈΝΟΥΣ.

Ἀ᾽Ρχιγένης, ἰατρὸς, Φιλίππου υἱὸς τοῦ ἰατροῦ, Ἀπαμεὺς Συρίας, ἰαλρῶ Ἀγαθίνῳ μαθητὴς, ἐπὶ Τραϊανοῦ, ἰαλρεύσας ἐν Ῥώμῃ, ζιὼς ἔτη πγ΄. καὶ ἔγραψε πολλὰ ἰατρικά τε καὶ φυσικά.

ΠΕΡΙ Α᾽ΨΥ᾽ΡΤΟΥ.

Ἄ᾽Ψυρλος, Πρυσαεὺς, Νικομηδεὺς, ἰατρὸς καὶ σραλιώτης· σραλευσάμενος ἐπὶ Κωνσανλίνου τοῦ βασιλέως ἐν Σκυθίᾳ περὶ τὸν Ἴστρον. ἔγραψεν ἱππιατρικὸν ζιβλίον, καὶ φυσικὸν περὶ τῶν αὐτῶν ἀλόγων ἐν βιβλίοις τέσσαρσιν.

ΠΕΡΙ ᾽ΑΡΙΣΤΕΙ᾽ΔΟΥΣ ΤΟΥ ᾽ΡΗ᾽ΤΟΡΟΣ.

Ἀ᾽Ριστείδης ὁ ῥήτωρ, Ἀδριανεὺς, (᾽Αδριανοὶ δὲ πόλις ἡ μεγάλη ἐν Μυσοῖς τῆς νεω Βιθυνίας) υἱὸς Εὐδαίμονος, φιλοσόφου τε καὶ ἱερέως γλυμβύθ· ᾽Αθῆναι δὲ αὐτὸν ἤσκησαν καὶ τὴν τοῦ Ἡρώδου ἀκμὴν, καὶ τὸ ἐν τῇ Ἀσίᾳ Πέργαμον, καὶ τλὼ Ἀισχυλέους γλῶσσαν· ἐγένετο δὲ ἐπὶ Μάρκου τοῦ αὐτοκράτορος τεχνικώτατος πάντων τῶν το τε Σοφιστῶν, καὶ πολὺς ἐν θεωρήμασιν. ὁθεν καὶ τοῦ σχεδιάζειν ἀπηνέχθη· τὸ γὸ καὶ θεωρίαν βάλεται προάγειν πάντα, ἀσχολεῖ τὴν γνώμλω, καὶ ἀπαλλάττει τοῦ ἑτοίμου. ἀποθανεῖν δὲ τὸν Ἀισχυλὸν ὁι μὲν ἑξηκοντάτλω, ὁι δὲ, ἑβδομηκονλάτλω· καθάπερ νοσώδη ἐκ μειρακίου γενόμενον, καὶ τοῦ πονεῖν μὴ ἀμελήσαντα. τλὼ μὲν οὖν ἰδέαν τῆς νόσου, καὶ ὅτι τὰ νεῦρα αὐτῷ ἐπεφείκει, ἐν ἱεροῖς βιβλίοις αὐτὸς φράζει· τὰ δὲ βιβλία τωῦτα, ἐφημερίδων ἐπέχει τινὰ αὐτῷ λόγον· αἱ δὲ ἐφημερίδες, ἀγαθοὶ διδάσκαλοι τοῦ περὶ παντὸς ἂν διαλέγεσθαι.

ΠΕΡΙ ᾽ΑΡΙΣΤΟΓΕΙ᾽ΤΟΝΟΣ.

Ἀ᾽Ριστογείτων Κυδιμάχου, Ἀθηναῖος ῥήτωρ, ἀπολογίαν φησὶ Δημοσθένλω τὸν σραληγὸν, φησὶ Λυκοῦργον, καὶ Τιμοθέου, καὶ Τιμάρχου, καὶ Ὑπερίδου, καὶ Θρασύλλου, ὀρφανικὸν, σωέγραψε· καὶ ἄλλα πλεῖσα.

ΠΕΡΙ ΑΠΟΛΛΩΝΙΟΥ ΤΟΥ ΝΑΥΚΡΑΤΙΤΟΥ.

Ἀπολλώνιος ὁ Ναυκρατίτης, Ἀδριανῷ μὲν ὢν Χρήστῳ τῷ ῥητόρων ἀκροατὴς ἐγένετο, ἀμφοῖν δὲ ἀφέστηκεν ὅσον οὐ μηδὲ ἀκήσαντες. ἐπαίδευσεν ἐναντία Ἡρακλείδῃ τῷ ῥήτορι, τὸν Ἀθήνησι θρόνον κατειληφότι· λόγων δὲ ἐπεμελήθη πολιτικῶν, καὶ εὖ κεκολασμένων, ἧττον δὲ ἀγωνιζομένων· περιβολὴ γὰρ ἄπεστιν αὐτοῖς, ὡς πνεῦμα. ἐτελεύτησε Ἀθήνησιν ἑβδομηκοντούτης, τιμὴν ἔξ ἁπάντων Ἀθηναίων εὔνοιαν ἔχων ἐντάφιον.

ΠΕΡΙ ΑΡΙΣΤΟΚΛΕΟΥΣ.

Ἀριστοκλῆς, Περγαμηνός, σοφιστής, ἐπὶ Τραϊανοῦ καὶ Ἀδριανοῦ· τὸν ὃν παίδων εἰς ἥβην χρόνον, τοὺς ἀπὸ τοῦ Περιπάτου φιλοσοφήσας λόγους, εἰς τοὺς Σοφιστὰς μεπέρρυη, θαμίζων ὃν τῇ Ῥώμῃ Ἡρῴδῃ τῷ ῥήτορι διατιθεμένῳ σχεδίους λόγους. ἐτελεύτησε δὲ μεσαιπόλιος, ἄρτι φοιτβαίνων τῷ γηράσκειν, σωθεὶς τέχνῃ ῥητορικήν· ἐπιστολὰς· περὶ ῥητορικῆς βιβλία πέντε· μελέτας φρὸς τὸν βασιλέα ἐπὶ τῇ διανεμήσει τοῦ χρυσίου.

ΠΕΡΙ ΑΡΠΟΚΡΑΤΙΩΝΟΣ.

Ἁρποκρατίωνες περὶ τὰ ῥητορικὰ τρεῖς λέγονται γενέσθαι· ὁ μὲν Αἴλιος, γράψας περὶ τῶν δοκούντων τοῖς ῥήτορσιν ἠγνοῆσθαι, καὶ ὑποθέσεις τῶν λόγων Ὑπερίδου· περὶ τοῦ κατεψεῦσθαι τὸν Ἡρόδοτον ἱστορίαν, περὶ τῶν ἐν Ξενοφῶντι τάξεων· περὶ τέχνης ῥητορικῆς· περὶ ἰδεῶν. ὁ δὲ Γάϊος, περὶ τῶν Ἀντιφῶντος σχημάτων· περὶ τοῦ Ὑπερίδου καὶ Λυσίου λόγων· ὡς ἕτερα. ὁ δὲ τρίτος, ὁ καλούμενος Βαλέριος Ἀλεξανδρεύς, λέξεις τῶν δέκα ῥητόρων, ἀνθηρὰν συναγωγήν.

ΠΕΡΙ ΑΣΠΑΣΙΩΝ ΤΩΝ ΣΟΦΙΣΤΩΝ.

Ἀσπάσιοι τρεῖς Σοφισταὶ ἐγένοντο. ὁ μὲν, Τύριος σοφιστὴς ἰσοκικός· ἔγραψε περὶ ἠπείρου, καὶ τοῦ αὐτοῦ, ἱστορίαν σύμμικτον ἐν βιβλίοις εἴκοσι· περὶ τέχνης ῥητορικῆς, καὶ ἄλλα. ὁ δὲ Ῥαβεννάτης· Δημητριανοῦ τοῦ κριτικοῦ, μαθηματικοῦ, καὶ εὖ γινώσκοντος τοὺς ῥητορικοὺς τοῦ λόγου, υἱὸς καὶ μαθητής· ἠκροάσατο δὲ καὶ Γαυσανίου καὶ Ἱπποδρόμου· πολυμαθὴς δὲ ἦν καὶ φιλόπονος, καὶ πολυήκοος, εἰς τὸ μὲν καινοφωνεῖν, ἐπαινεῖν· εἰς ἀπεροκαλίαν δὲ, ὑδαμοῦ ἐκπίπτων, ὑπὸ τοῦ ὃν καιρῷ χρῆσθαι

οἷς

ὃις γινώσκει. ἐπαίδευσεν ὁν Ῥώμῃ ἐπὶ Ἀλεξάνδρῳ τῷ Μαμαίας ἱκανῶς γηράσκων. συνέγραψε λόγους διαφόρους πρὸς τὺς φιλολοιδόρους καὶ πρὸς Ἀρίστωνα. ὁ δὲ τρίτος, Βύβλιος, σύγχρονος Ἀριστείδῃ καὶ Ἀδριανῷ· ἔγραψε περὶ Βύβλου· περὶ στάσεων ἐχνηματισμῶν μελέτας τέχνας· ὑπομνήματα· λαλιάς· ἐγκώμιον εἰς Ἀδριανὸν τὸν βασιλέα, καὶ εἰς ἄλλους τινάς.

ΠΕΡΙ ΑΦΑΡΕΩΣ ΤΟΥ ΡΗΤΟΡΟΣ.

Ἄφαρεύς, Ἀθηναῖος, ῥήτωρ, υἱὸς τοῦ σοφιστοῦ Ἱππίου· πρόγονος δὲ Ἰσοκράτους τοῦ ῥήτορος· ἀκμάσας κατὰ τὴν ἐνενηκοστὴν πέμπτην Ὀλυμπιάδα, ὅτε καὶ Πλάτων ὁ φιλόσοφος.

ΠΕΡΙ ΑΨΙΝΟΥ.

Ἄψῖναι τρεῖς φαίνονται· ὁ μὲν Ὀνασίμου τοῦ σοφιστοῦ Ἀθηναίου υἱός· ὁ δὲ Γαδαρεύς· πρεσβύτερος τοῦ Ὀνασίμου· σταρεὺς, ὡς λόγος, ὢν Πανός· μαθητεύσας δὲ ὢν Σμύρνῃ Ἡρακλείδῃ τῷ Λυκίῳ, εἶτα Βασιλικῷ ὢν Νικομηδέᾳ· ἐσοφίστευσεν Ἀθήνησιν, βασιλεύσαντος Μαξιμιανοῦ πατικοῦ, λαβὼν ἀξίωμα. ὁ δὲ Ἀθηναῖος· ἀξιόλογος σοφιστὴς, Ὀνασίμου πατὴρ τοῦ σοφιστοῦ, τοῦ πατρὸς Ἀψίνου.

ΠΕΡΙ ΑΙΣΩΠΟΥ ΤΟΥ ΣΟΦΙΣΤΟΥ.

Αἴσωπος, Μιθριδάτου ἀναγνώστης, σοφιστής· ἔγραψε περὶ Ἑλένης, ὃν ᾧ φησι, Πᾶνα ἰχθῦν κυλῶδη καλεῖσθαι· ὃν τούτῳ ὑπ' ἀσελγίτιν λίθον εὑρίσκεσθαι, ὃς ὑπὸ τῷ ἡλίῳ ἀνάπτεται, ποιεῖ δ' ἔρως φίλτρα· ἔγραψε καὶ Μιθριδάτου ἐγκώμιον.

ΠΕΡΙ ΑΡΙΣΤΑΙΝΕΤΟΥ.

Ἀριστaίνετος ῥήτωρ· ἔγραψεν ἱστορίαν Αἰγυπτίων, καὶ περὶ τῶν τοῦ Νείλου ἀγαθῶν.

ΠΟΙΗΤΑΙ.

ΠΕΡΙ ΑΡΡΙΑΝΟΥ ΤΟΥ ΠΟΙΗΤΟΥ.

Ἄρριανὸς ἐποποιὸς, μετέφρασε τὰ τοῦ Βεργιλλίου γεωργικὰ ἐπικῶς· καὶ ἄλλα πολλὰ εἰς Ἄτταλον τὸν Γεραμηνόν.

ΠΕΡΙ ᾽ΑΡΙΩΝΟΣ.

Ἀρίων, Μηθυμναῖος λυρικός, Κυκλέως υἱός, μαθητὴς Ἀλκμᾶνος· ἔγραψεν ἄσματα ὡροίμια εἰς ἔπη β΄· λέγεται καὶ τραγικὴν τρόπον εὑρετὴς γενέσθαι, καὶ ὡρῶτος χορὸν στῆσαι· καὶ διθύραμβον ᾆσαι· καὶ ὀνομάσαι τὸ ἁδόμενον ὑπὸ τοῦ χοροῦ· καὶ Σατύρους εἰσενεγκεῖν ἐμμέτρα λέγοντας· φυλάττει τὸ ω.

ΠΕΡΙ ᾽ΑΡΙΣΤΕΟΥ.

Ἀριστέας Δημοχάριδος, ἢ Καυστροβίου, Προικονήσιος, ἐποποιός· σωτέθηκε τὰ Ἀριμάσπεια καλούμενα ἔπη. ἔστι δὲ ἱστορία τῶν Ὑπερβορέων Ἀριμασπῶν, βιβλία τρία. ἔγραψε καὶ Θεογονίαν πάνυ καλῶς.

ΠΕΡΙ ᾽ΑΡΙΣΤΟΜΕΝΟΥΣ.

Ἀριστομένης Ἀθηναῖος κωμικὸς, τῶν ἐπιδευτέρων τῆς ἀρχαίας κωμῳδίας, οἳ ἦσαν ἐπὶ τῶν Πελοποννησιακῶν Ὀλυμπιάδων πζ΄· ἐπεκλήθη θυροποιός.

ΠΕΡΙ ᾽ΑΡΙΣΤΩΝΥΜΟΥ.

Ἀριστώνυμος, κωμικός· τὰ δραμάτων αὐτοῦ ἔστιν ἥλιος ῥιγῶν· καὶ ἄλλα πολλὰ συγγράμματα αὐτοῦ εὑρίσκονται λόγου ἄξια.

ΠΕΡΙ ᾽ΑΡΧΕΔΙΚΟΥ.

Ἀρχέδικος, κωμικός· τῶν δραμάτων αὐτοῦ ἐστι θησαυρός. Ἀρχέδικος κωμῳδιογράφος· ὃς κατὰ Δημοχάρους ἔγραψε, τοῦ ἀνεψιοῦ Δημοσθένους.

ΠΕΡΙ ᾽ΑΣΤΥΔΑΜΑΝΤΟΣ ΤΟΥ ΤΡΑΓΙΚΟΥ.

Ἀστυδάμας, Ἀθηναῖος, τραγικός, υἱὸς Μορσίμου τοῦ Φιλοκλέους, τραγικῶν ἀμφοτέρων· ἔγραψε τραγῳδίας σμ΄· ἐνίκησε δὲ ιε΄· ἀκροασάμενος δὲ ἦν Ἰσοκράτους, καὶ ἐτράπη ἐπὶ τραγῳδίαν.

ΠΕΡΙ ᾽ΑΡΧΙΠΠΟΥ.

Ἄρχιππος, Ἀθηναῖος, κωμικὸς ἀρχαῖος.

ΠΕ-

ΠΕΡΙ ᾽ΑΣΤΥΔΆΜΑΝΤΟΣ ΤΟΥ̃ ΝΈΟΥ.

Α᾽Στυδάμας ὁ νέος, τραγικὸς καὶ αὐτὸς, υἱὸς τοῦ πρεσβυτέρου δράματα αὐτοῦ, Ἡρακλῆς, Σατυρικὸς, Ἐπίγονοι, Αἴας μαινόμενος, Βελλεροφόντης, Τυρώ, Ἀλκμήνη, Φοῖνιξ, Παλαμήδης.

ΠΕΡΙ ΤΟΥ̃ ᾽ΑΥΓΟΎΣΤΟΥ ΚΑΙΣΑΡΟΣ.

Α᾽Υγουστος Καῖσαρ Ὀκταβιανὸς, ὁ καὶ Σεβαστὸς ἐπικληθεὶς, τραγῳδίαν Αἴαντός τε καὶ Ἀχιλλέως συνεπέθηκε· καὶ ἐπὶ τοῦ ἰδίου βίου καὶ πράξεων βιβλία ιγ᾽.

ΠΕΡΙ ᾽ΑΥΓΈΟΥ ΤΟΥ̃ ΚΩΜΙΚΟΥ̃.

Α᾽Υγέας Ἀθηναῖος κωμικὸς· τῶν δραμάτων αὐτοῦ, Ἄγροικος, Πυρφόρα, ὃς καταγορεύεται. ἐστὶ δὲ τῆς μέσης κωμῳδίας.

ΠΕΡΙ ᾽ΑΧΙΛΛΕΩ̃Σ ΤΟΥ̃ ΠΟΙΗΤΟΥ̃.

Α᾽Χιλλεὺς Στάτιος, Ἀλεξανδρεὺς, ὁ γράψας τὰ κατὰ Λευκίππων καὶ Κλειτοφῶντα, καὶ ἄλλα ἐρωτικὰ ἐν βιβλίοις ἡ. γέγονεν ἔπαθον χριστιανὸς καὶ ἐπίσκοπος· ἔγραψε καὶ περὶ σφαίρας καὶ ἐτυμολογίας· καὶ ἰσοειδῆ σύμμικτον πολλῶν καὶ μεγάλων θαυμασίων ἀνδρῶν μνημονεύσαν· ὁ δὲ λόγος αὐτοῦ καὶ πάντα ὅμοιος τοῖς ἐρωτικοῖς.

ΠΕΡΙ ᾽ΑΥΤΟΚΡΆΤΟΥΣ.

Α᾽Υτοκράτης Ἀθηναῖος, κωμικὸς ἀρχαῖος· τῶν δραμάτων αὐτοῦ, Τυμπανισταί· ἔγραψε καὶ τραγῳδίας πολλάς.

ΠΕΡΙ ᾽ΑΧΑΙΟΥ̃ ΤΟΥ̃ ΤΡΑΓΙΚΟΥ̃.

Α᾽Χαιὸς Πυθοδώρᾳ, ἢ Πυθοδώρου, Ἐρετριεὺς, τραγικὸς, ἦν δὲ νεώτερος Σοφοκλέους. ἐδίδαξε δράματα ξδ᾽· καὶ ἕτερος Ἀχαιὸς Συρακόσιος νεώτερος· ἔγραψε τραγῳδίας δέκα καὶ τέσσαρας.

ΠΕΡΙ ᾽ΑΙΝΊΚΟΥ.

Α᾽Ίνικος Ἀθηναῖος, κωμικός· ἐστὶ δὲ τῆς ἀρχαίας κωμῳδίας. δράματα αὐτοῦ, Ἄντεια.

ΠΕ-

ΠΕΡΙ ΑΙΣΧΡΙΩΝΟΣ.

Αἰσχρίων, Μιτυληναῖος, ἐποποιός· συνεξεδήμει Ἀλεξάνδρῳ τῷ Φιλίππου· ἦν δὲ Ἀεισοπέλως γνώριμος καὶ ἐρώμενος· ὡς Νίκανδρος ὁ Ἀλεξανδρεὺς ἐν τῷ περὶ τῶν Ἀεισοπέλως μαθητῶν ὑφηγεῖται.

ΦΙΛΟΣΟΦΟΙ.

ΠΕΡΙ ΑΡΚΕΣΙΛΑΟΥ ΤΟΥ ΑΚΑΔΗΜΑΙΚΟΥ.

Ἀρκεσίλαος Σεύθου, ἢ Σκύθου, ὁ τῆς μέσης Ἀκαδημίας κατάρξας χρῶτος, ἐπιχὼν τὰς ἀποφάσεις διὰ τὰς ἐναντιότητας τῶν λόγων· χρῶτος δὲ καὶ εἰς ἑκάτερον ἐπεχείρησε, καὶ χρῶτος τὸν λόγον ἐκίνησε τὸν ἀπὸ Πλάτωνος παραδεδομένον· καὶ ἐποίησε δι' ἐρωτήσεως καὶ ἀποκρίσεως ἐριστικώτερον· ἤκουσε δὲ, καταρχὰς μέν, Αὐτολύκου τοῦ μαθηματικοῦ πολίτου τυγχάνοντος, περὶ ἀπαίρειν εἰς Ἀθήνας· μετὰ δὲ καὶ εἰς Σάρδεις ἀπεδήμησεν· ἔπειτα Ξάνθου τοῦ Ἀθηναίου μυστικοῦ· μεθ' ὃν Θεοφράστου διήκουσεν. ἔπειτα μεταῆλθεν εἰς Ἀκαδημίαν χρὸς Κράντορα. διήκουσε δὲ καὶ Ἱππονίκου τοῦ γεωμέτρου· ὃν καὶ ἔσκωψε, τὰ μὲν ἄλλα νωθρὸν ὄντα καὶ χασμώδη, ἐν δὲ τῇ τέχνῃ τεθεωρημένον· εἰπὼν τὴν γεωμετρίαν αὐτοῦ χάσκοντος εἰς τὸ σῶμα ἐπιπεσεῖν. τοῦτον καὶ παρακόψαντα ἀναλαβὼν οἴκοι ἐς τοσοῦτον ἐθεράπευσεν ἐς ὅσον ἀποκαταστῆσαι. Κράτητος δὲ ἐκλιπόντος, καθέσχε τὴν σχολὴν, ἐκχωρήσαντος αὐτῷ Σωκρατίδου τινός. διὰ δὲ τὸ μὴ φάντων ἐπέχειν, μηδὲ βιβλίον, φασί τινες, ἐνέγραψεν· οἱ δὲ, ὅτι ἐφωράθη τινὰ κατορθῶν· ἃ φασιν οἱ μὲν, ἐκδοῦναι· οἱ δὲ, κατακαῦσαι. ἐῴκει δὴ θαυμάζειν καὶ τὸν Πλάτωνα, καὶ τὰ βιβλία ἐκέκτητο αὐτοῦ. ἀλλὰ καὶ τὸν Πύῤῥωνα, κατά τινας, ἐζηλώκει, καὶ τῆς διαλεκτικῆς εἴχετο· ἀπὸ τῶν Ἐρετριακῶν ἤπτετο λόγων· ὅθεν καὶ ἐλέγετο ἐπ' αὐτοῦ μὴ Ἀρίστωνος· πρόσθε Πλάτων, ὄπιθε δὲ Πύῤῥων, μέσος Διόδωρος. ἤπτετο δὲ καὶ ποιητικῆς, καὶ ἀπεδέχετο πάντων μᾶλλον Ὅμηρον· ὃν, καὶ εἰς ὕπνον ἰὼν, πάντως τι ἀνεγίνωσκεν· ἀλλὰ καὶ ὀρθρε, λέγων ἐπὶ τὸν ἐρώμενον ἀπιέναι, ὁπότ' ἂν βάλοιτο ἀναγνῶναι. τόν τε Πίνδαρον ἔφασκε δεινὸν εἶναι φωνῆς ἁπτῆσαι, καὶ ὀνομάτων καὶ ῥημάτων εὐπορίαν σχεῖν. Ἴωνα δὲ καὶ ἐχαρακτήριζε νέος ὤν· ἦν δὲ ἀξιοματικώτατος καὶ σιωπηλότατος, καὶ ἐν τῇ λαλιᾷ διαστατικὸς τῶν ὀνομάτων· ἐπικόπτης θ' ἱκα-

ἱκανῶς ὁ παῤῥησιαστής· ἀγαθὸς δὲ σφόδρα, ὡς φησι Τίμων, καὶ ἐλπίδων ὑποπιμπλὰς τοὺς ἀκούοντας. ἐν τε τῷ βίῳ κοινικώτατος ἐγένετο· καὶ εὐεργετῆσαι προχειρότατος· ὁ δὲ λαθεῖν τὴν χάριν ἀτυφότατος. ἐπελεύτησε δὲ περὶ τὴν εἰκοστὴν καὶ ἑκατοστὴν Ὀλυμπιάδα, ἤδη γεγονὼς ἐτῶν πέμπτον καὶ ἑβδομηκοστόν.

ΠΕΡΙ ΑΡΡΙΑΝΟΥ ΤΟΥ ΦΙΛΟΣΟΦΟΥ.

Ἀρριανὸς Νικομηδεὺς, φιλόσοφος Ἐπικτήτειος, ὁ ἐπικληθεὶς νέος Ξενοφῶν. ἦν δὲ ἐν Ῥώμῃ ἐπὶ Ἀδριανοῦ, καὶ Μάρκου, καὶ Ἀντωνίνου· ἔγραψε βιβλία πλεῖστα.

ΠΕΡΙ ΑΡΙΓΝΩΤΗΣ ΤΗΣ ΦΙΛΟΣΟΦΟΥ.

Ἀρίγνωτη, μαθήτρια Πυθαγόρου τοῦ μεγάλου, ἐκ Θεανοῦς, Σαμία· φιλόσοφος Πυθαγορική, σωφρόνησε τάδε· Βακχικά· ἔστι δὲ περὶ τῶν τῆς Δήμητρος μυστηρίων ἐπιγράμματα· γράφεται δὲ ὁ ἱερὸς λόγος. ἔγραψε δὲ καὶ πελεκὰς Διονύσου, καὶ ἄλλα φιλόσοφα.

ΠΕΡΙ ΑΡΙΣΤΟΚΛΕΟΥΣ.

Ἀριστοκλῆς Λαμψακηνὸς φιλόσοφος στωϊκός· ἔγραψε ἐξήγησιν τῶν Χρυσίππου περὶ τοῦ πῶς ἕκαστα λέγομεν, καὶ διανοούμεθα· βιβλία τέσσαρα. καὶ ἕτερος Ἀριστοκλῆς Μεσσήνιος τῆς Ἰταλίας, φιλόσοφος περιπατητικός· συνέταξε περὶ φιλοσοφίας βιβλία δέκα· πότερον παιδαριώτερος Ὁμήρου ἢ Πλάτων. καταλέγει δὲ ἐν τούτοις πάντας φιλοσόφους καὶ δόξας αὐτῶν. ἔγραψε καὶ πρὸς ῥητορικάς· περὶ Σαράπιδος ἠθικὰ βιβλία ἐννέα.

ΠΕΡΙ ΑΡΙΣΤΙΠΠΟΥ.

Ἄρίστιπποι τέσσαρες γεγόνασιν. πρῶτος Ἀριστίππου ἀπὸ Κυρήνης, φιλόσοφος Σωκράτους ἀκουστής· ἀφ' ὅπερ ἡ Κυρηναϊκὴ αἵρεσις ἤρξατο, περὶ ἧς τε ὁ λόγος. ὁ δεύτερος, ὁ τὰ περὶ Ἀρκαδίας γεγραφώς. τρίτος, ὁ μητροδίδακτος, θυγατριδοῦς τοῦ πρώτου. τέταρτος, ὁ ἐκ τῆς νεωτέρας Ἀκαδημίας. ὁ δὲ Κυρηναϊκὸς ἀφιγμένος Ἀθήναζε κατ' ἀκοὴν Σωκράτους, πρῶτος τῶν Σωκρατικῶν μισθὸν εἰσεπράξατο· καὶ ἀπέστελε χρήματα τῷ διδασκάλῳ. ἐκ ποτὲ πέμψας αὐτῷ μνᾶς εἴκοσι, παλινδρόμους ἔλαβεν, εἰπόντος Σωκράτους, τὸ δαιμόνιον αὐτῷ μὴ ἐπιτρέπειν· ἐδυσχέρανε δὲ ἐπὶ τούτῳ. Διονυσίου δὲ τοῦ τυράννου προσπτύσαντος αὐτῷ, ἠνέσ-

χε-

χετο. μεμψιμοιρούσι δέ τινες, ὁ Ἀρίστιππος, ἔφη, οἱ μὲν ἁλιεῖς ὑπομένουσι ῥιγοῦντες τῇ θαλάττῃ ἵνα κωβιὸν θηράσωσιν ἐγὼ δὲ μὴ ἀνάσχωμαι κράμματι ῥυθῆναι, ἵνα βλέπον λάβω τοῦτον προσιόντα ποτὲ λάχανα πλύνων Διογένης ἔσκωψε· καί φησιν αὐτῷ· εἰ τῶν τὰ ἔμαθες τροφοφέρεσι, οὐκ ἂν τυράννων αὐλὰς ἐθεράπευες. ὁ δὲ, εἰ σὺ, εἶπεν, ἤπερ ἤδεις ἀνθρώποις ὁμιλεῖν, οὐκ ἂν λάχανα ἔπλυνες· ὅθεν καὶ Διογένης βασιλικὸν κύνα ἔλεγεν αὐτόν. ἦν δὲ εὐέλικτος καὶ καταφρονῆσαι ὁ Ἀρίστιππος πολύς. διὸ καὶ Διονυσίῳ τῷ ἄλλων δυσκόλῳ μᾶλλον. καί ποτε Στράτωνα λέγουσι τροὸς αὐτὸν εἰπεῖν· σοὶ μόνῳ δέδοται εὐχλαμύδα φορεῖν, καὶ ῥᾴκος. Ξενοφῶν τε εἶχε τροὸς αὐτὸν δυσμενῶς· διὸ καὶ τὸν περὶ τῆς ἡδονῆς λόγον Σωκράτει περιέθηκεν. οὐ μὴν ἀλλὰ καὶ Θεόδωρος ἐν τῷ περὶ αἱρέσεων ἐκάκισεν αὐτόν, καὶ Πλάτων ἐν τῷ περὶ ψυχῆς. ἦν δὲ καὶ ἱκανὸς ἁρμόσασθαι καὶ τόπῳ εὐχρόνῳ, εὐτροσώπῳ, καὶ πᾶσαν περίεσιν ἁρμονίως ὑποκείναται. ἐρωτηθεὶς δέ ποτε τί αὐτῷ περιγέγονεν ἐκ φιλοσοφίας, ἔφη· τὸ δύνασθαι πᾶσι θαῤῥοῦντως ὁμιλεῖν. φέρεται δὲ βιβλία αὐτοῦ, τεῖα μὲν ἰσοείας τῇ κατὰ Λιβύλλαν, ἀπεσταλμένα πρὸς Διονύσιον· ἐν δὲ, ἐν ᾧ διάλογοι πέντε εὑρίσκονται· οἱ μὲν, Ἀθηνᾶ· οἱ δὲ, Δωρίδι διαλέκτῳ γεγραμμένοι.

ΠΕΡΙ ΤΟΥ ΑΡΙΣΤΟΞΕΝΟΥ.

Ἀριστόξενος, υἱὸς Μνησίου τοῦ Σπινθάρου μουσικοῦ, ἀπὸ Τάραντος τῆς Ἰταλίας, διατρίψας ἐν Μαντινείᾳ, φιλόσοφος γέγονε, καὶ μουσικῆς ἐπιθέμενος, οὐκ ἠστόχησεν, ἀκουστὴς τοῦ τε πατρὸς, καὶ Λάμπρου τοῦ Ἐρυθραίου· εἶτα Ξενοφίλου τοῦ Πυθαγορείου· καὶ τέλος Ἀριστοτέλους, ἐπὶ Ἀλεξάνδρου· σύγχρονος Διοκαιάρχῳ τῷ Μεσσηνίῳ· συνεταξατο μουσικὰ, καὶ φιλόσοφα, καὶ ἰσοείας.

ΠΕΡΙ ΑΡΝΟΥΦΙΟΣ.

Ἄρουφις, Αἰγύπτιος φιλόσοφος· ἐξαίφνης ποιήσαι χρυσοῦν θεὸν ἐπὶ Μάρκου.

ΠΕΡΙ ΑΙΣΧΙΝΟΥ ΤΟΥ ΦΙΛΟΣΟΦΟΥ.

Αἰσχίνης Χαρίνου ἀλλαντοποιοῦ, φιλόσοφος Σωκρατικός. διάλογοι δὲ αὐτοῦ φέρονται, Μιλτιάδης, Καλλίας, Ῥίνων, Ἀσπασία, Ἀξίοχος, Τηλαύγης, Ἀλκιβιάδης· ἐν οἱ καλούμενοι

ἀκέ-

ἀκέφαλοι, Φαίδων, Πολύαινος, Δράκων, Ἐρυξίας, καὶ ἀρετῆς, Ἐρασίστρατος, Σκυθικόι.

ΠΕΡΙ ΑΡΧΕΛΑΟΥ ΤΟΥ ΦΙΛΟΣΟΦΟΥ.

Ἀρχέλαος Ἀθηναῖος πατρὸς Ἀπολλοδώρου μαθητὴς Ἀναξαγόρου, ὃς Σωκράτους διδάσκαλος. οὗτος πρῶτος εἶπε φωτὸς γένεσιν τοῦ ἀέρος πλῆξιν· τὴν δὲ θάλασσαν ἐν τοῖς κοίλοις διὰ τῆς γῆς ἠθροῖσθαι συμβαίνειν· καὶ μέγιστον τῶν ἄστρων τὸν ἥλιον· καὶ τὸ πᾶν ἄπειρον· λοιμοῦ τε ἐκ τῆς Ἰωνίας τοῦ φυσικοῦ φιλοσοφίαν μετήγαγεν Ἀθήναζε· ὃς ἐκλήθη φυσικός· παρ' ὃ καὶ ἔληξεν ἡ αὐτοῦ ἡ φυσικὴ φιλοσοφία, Σωκράτους τὴν ἠθικὴν εἰσάγοντος. ἔοικε δὲ καὶ οὗτος ἅψασθαι τῆς ἠθικῆς· καὶ γὰρ περὶ νόμων πεφιλοσόφηκε καὶ καλῶν καὶ δικαίων· παρ' ἃ λαβὼν Σωκράτης, τῷ αὐξῆσαι τὸ εὑρεθὲν ὑπελήφθη. ἔλεγε δὲ δύο αἰτίας εἶναι γενέσεως, θερμὸν καὶ ψυχρόν· καὶ τὰ ζῷα ἀπὸ τῆς ἰλύος γενηθῆναι· καὶ τὸ δίκαιον εἶναι καὶ τὸ αἰσχρὸν οὐ φύσει, ἀλλὰ νόμῳ. ὁ δὲ λόγος αὐτῷ οὕτως ἔχει· τηκόμενόν φησι τὸ ὕδωρ ὑπὸ τοῦ θερμοῦ, καθὸ μὲν εἰς τὸ πυρῶδες σωίσταται, ποιεῖν γλῶ· καθὸ δὲ περιῤῥεῖ, ἀέρα γλυκαίνειν· ὅθεν ἡ μὲν, ὑπὸ τοῦ ἀέρος· ὁ δὲ, ὑπὸ τῆς τοῦ πυρὸς περιφορᾶς κρατεῖται. γλυκαίνεσθαι δέ φησι καὶ ζῷα, ὑπὸ θερμῆς τῆς γῆς, καὶ ἰλὺν ὥσπερ πλησίαν γάλακτι, θρέψαι τροφὴν ἀνιείσης· οὕτω δὲ καὶ τοὺς ἀνθρώπους ποιῆσαι.

ΠΕΡΙ ΑΡΠΟΚΡΑΤΙΩΝΟΣ.

Ἀρποκρατίων Ἀργεῖος, Πλατωνικὸς φιλόσοφος, συμβιωτὴς Καίσαρος· ἔγραψεν ὑπομνήματα εἰς Πλάτωνα ἐν βιβλίοις κδ'· λέξεις Πλάτωνος ἐν βιβλίοις δυσίν.

ΠΕΡΙ ΑΦΡΙΚΑΝΟΥ.

Ἀφρικανός, ὁ Σέκστῳ χρηματίσας, φιλόσοφος Λίβυς, ὁ τὰς κεστοὺς γεγραφὼς ἐν βιβλίοις κδ'· εἰσὶ δὲ οἱονεὶ φυσικαὶ ἔκθεσις ἐκλόγων τε καὶ ἐπαοιδῶν, καὶ γραπτῶν τινων χαρακτήρων, ἰάσεις τε καὶ ἀλλοίων ἐνεργειῶν. καὶ ταῦτα ἔγραψεν Ὠριγένης ἐνστασιποιησάμενος τοῦ τῆς Σωσάννης βιβλίου τοῦ εἰς τὸν Δανιήλ.

ΠΕΡΙ ΑΝΑΧΑΡΣΙΔΟΣ.

Ἀνάχαρσις ὁ Σκύθης Γνούρου μὲν ἦν υἱός· ἀδελφὸς δὲ Καδουίδου τοῦ Σκυθῶν βασιλέως, μητρὸς δὲ Ἑλληνίδος· διὰ

ὁ δίγλωττος ἦν· ὅτος ἐποίησε τῷ τε πρὸς τοῖς Σκύθαις νομίμων καὶ τῷ πρὸς τοῖς Ἕλλησιν εἰς εὐπλοΐαν βίᾳ, καὶ τὰ κατὰ τὸν πόλεμον, ἔπη ὀκτακόσια. παρέχε δὲ ὁ ἀφορμὴν παροιμίας διὰ τὸ παρίστασθαι ἐν, τὸν ἀπὸ Σκυθῶν ῥῆσιν. λέγει γὰρ αὐτὸν Σωκράτης ἐλθεῖν εἰς Ἀθήνας κατὰ τὸν πεντηκοστὸν ἕβδομον Ὀλυμπιάδα, ἐπὶ Ἄρχοντος Εὐκράτους. Ἕρμιππος δὲ φησὶ Σόλωνος οἰκίαν ἀφικόμενον, τῷ θεραπόντων τινὶ κελεῦσαι μηνῦσαι ὅτι παρείη φησὶ αὐτὸν Ἀνάχαρσις, ὁ βούλοιτο αὐτὸν θεάσασθαι, ξένος τε, εἰ οἷόν τε, γενέσθαι. ὁ ὁ θεράπων εἰσαγγείλας ἐκελεύσθη ὑπὸ τοῦ Σόλωνος εἰπεῖν αὐτῷ, ὅτιπερ οἱ ταῖς ἰδίαις πατρίσι ξένους ποιοῦνται· ἔνθεν ὁ Ἀνάχαρσις ἐλθών, ἔφη, πρὸς αὐτὸς οἱ τῇ πατρίδι εἶναι, καὶ φροντίκειν αὐτῷ ξένους ποιεῖσθαι· ὁ ὁ καταπλαγεὶς τὴν ἑτοιμότητα, εἰσέφερεν αὐτόν· καὶ μέγιστον φίλον ἐποιήσατο. μετ χρόνον ὁ ἀφορμώμενος εἰς Σκυθίαν καὶ νομίζων τὰ νόμιμα σφάλλειν τῆς πατρίδος, πολὺς ὢν οἱ τῷ ἑλληνίζειν, τυγχάνοντος οἱ κωμηγεσίῳ φησὶ τοῦ ἀδελφοῦ, τελευτᾷ· εἰπὼν διὰ μοῦ τὸν λόγον ἐκ τῆς Ἑλλάδος σωθῆναι· διὰ ὁ τὸν φθόνον οἱ τῇ οἰκείᾳ ἀπολέσθαι.

ΠΕΡΙ ΑΡΤΕΜΙΔΩΡΟΥ.

Ἄρτεμίδωρος Δαλδιανὸς, (ἡ δὲ Δαλδὶς, πόλις Λυδίας,) φιλόσοφος· ἔγραψεν ὀνειροκριτικὰ οἱ βιβλίοις τέσσαρσιν· οἰωνοσκοπικὰ, καὶ χειροσκοπικά.

ΠΕΡΙ ΑΡΧΙΜΗΔΟΥΣ.

Ἄρχιμήδης Τραλλιανὸς φιλόσοφος· ἔγραψεν ὑπόμνημα εἰς Ὅμηρον, καὶ μηχανικὰ, καὶ εἴς τινας τοῦ Πλάτωνος διαλόγους.

ΠΕΡΙ ΑΡΧΥΤΟΥ.

Ἄρχύτας Μνησαγόρου Ταραντῖνος, Πυθαγορικός· οὗτός ἐστιν ὁ ῥυσάμενος Πλάτωνα δι' ἐπιστολῆς φησὶ Διονυσίου τοῦ τυράννου μέλλοντα ἀναιρεῖσθαι. ἐθαυμάζετο δὲ ὁ φησὶ ἰοῖς πολλοῖς ἐπὶ πάσῃ ἀρετῇ. καὶ δὴ ἑπτάκις τῷ πολιτῷ ἐστρατήγησε, τῶν ἄλλων μὴ πλέον ἐνιαυτοῦ στρατηγούντων, διὰ τὸ κωλύειν τὸν νόμον. φησὶ τοῦτον ὁ Πλάτωνος φαίνονται ἐπιστολαί.

ΠΕΡΙ ΄ΑΝΔΡΟΚΛΕΙΔΟΥΣ.

Α΄νδροκλείδης, ὁ τῦ Σωστίω τῦ Λυθευτῦ Φιλαδελφέως υἱός· ὅτος ἐπὶ Πτολεμαίε τῦ φιλοτόρε ἐδίδασκεν ἐν ΄Αλεξανδρείᾳ· καὶ μέμνηται αὐτῦ ἐν τῷ περὶ τὰ ἐμπνεόντων πεχνολόγων.

ΠΕΡΙ ΄ΑΡΙΣΤΑΝΔΡΟΥ ΤΟΥ ΜΑΝΤΕΩΣ.

Α΄ρίσανδρος ὁ μάντις, Σεύθε υἱὸς, ἐπὶ ΄Αλεξάνδρε τῦ Μακεδόνων βασιλέως· ἔγραψε περὶ μαντικῆς βιβλία δέκα. στρατεύοντος δὲ τῦ ΄Αλεξάνδρε περὶ Ἶον Ὦξον ποταμὸν τῆς Σογδιάδος γῆς, ἡ μακρὰν τῆς αὐτῦ σκηνῆς πηγὴ ὕδατος ἔυρηκνι, ἐν ἄλλη ἐλαίᾳ πλησίον αὐτῆς· ὁ δὲ μάντις συστρατεύων αὐτῷ ἔφη, ὅτι πόνων τε ὄντι σημεῖον τῦ ἐλαίᾳ ἡ πηγή· ἀθλόντων γὰρ ἄλειμμα τὸ ἔλαιον· ἀλλὰ καὶ νίκης ἐπὶ τοῖς πόνοις σημαίνειν ἔφασκεν.

ΠΕΡΙ ΄ΑΠΑΤΟΥΡΙΩΝ.

Α΄πατόυρια, ἑορτὴ ἐπίσημος ἐν δημοτελὴς, ἀγομένη παρ' ΄Αθηναίοις, κατὰ τὸν Πυανεψιῶνα μῆνα, ἐπὶ τρεῖς ἡμέρας. καλεῖται δὲ τὴν μὲν πρώτην, δόρπεια· ἐπειδὴ οἱ φράτορες ὑψίας συνελθόντες, ἐυωχοῦντο· τὴν δὲ δευτέραν, ἀναρύσιν, ἀπὸ τῦ θύειν· ἔθυον δὲ Διὶ Φρατρίῳ καὶ ΄Αθηνᾷ· τὴν δὲ τρίτην, κουρεῶτιν, ἀπὸ τῶν κούρων καὶ τῶν κόρων ἐγγράφεν εἰς τὰς φρατρείας· ἐν ᾗ ἐγράφη ἐν τῇ πολιτείᾳ ὁ υἱὸς Σιτάλκυ. ἡ δὲ αἰτία, πόλεμος ἦν ΄Αθηναίοις πρὸς Βοιωτῦς περὶ Κελαινῶν, ἃ ἦν χωρίον ἐν μεθορίοις· Ξάνθιος δὲ Βοιωτὸς προεκαλέσατο τὸν ΄Αθηναίων βασιλέα Θυμοίτην· ἡ δεξαμβύς δὲ, Μέλανθος ἐπιδημῶν, Μεσσήνιος τὸ γένος, ἀπὸ Περικλυμβύς τῦ Νηλέως, ὑπέστη ἐπὶ τῇ βασιλείᾳ· μονομαχούντων δὲ, ἐφάνη τῷ Μελάνθῳ τις ὄπισθεν τῦ Ξανθίυ, τραγῷ, τυτθὶ αἰγίδα μέλαιναν, ἐνημμένος. ἔφη δὲν ἀδικεῖν αὐτὸν δεύτερον ἥκοντα· ὁ δὲ ἀπεστράφη· ὁ δὲ παίσας ἀποκτείνει αὐτόν. ἐκ δὲ τύτε ἥ τε ἑορτὴ ΄Απατόρια, καὶ Διονύσε μελαναιγίδος ἐδομήσαντο. οἱ δὲ φασιν, ὅτε τῶν πατέρων ὁμῦ συνερχομένων, διὰ τὰς τῶν παίδων ἐγγραφάς, ὅθεν ὁμοπατόρια λέγεσθαι τὴν ἑορτὴν, ὁποίῳ τρόπῳ λέγομεν τὴν ὁμόλεκτρον, καὶ ὁμοίτιν, τὴν ὁμόκοιτον, ὕτω καὶ ὁμοπατόρια.

ΠΕΡΙ ΤΟΥ ΑΠΑΓ ΕΙΣ ΜΑΚΑΡΙΑΝ ΛΕΓΟΜΕΝΟΥ.

Ἄπαγ εἰς Μακαρίαν· παροιμιωδῶς λέγεται, δι' αἰτίαν τοιάνδε· Μακαρία Ἡρακλέους θυγάτηρ, ἡνίκα ἐπὶ τὰς Ἀθήνας Εὐρυσθέως στρατεύσαντος, τῶν Ἀθηναίων μὴ ἐκδιδόντων αὐτῷ τοὺς Ἡρακλείδας, ἀφικόμενος τὸν τοῦ Ἐλεύσινος ὅμιλον καταφυγόντας, χρησμοῦ δοθέντος, τοὺς Ἀθηναίους νικήσειν, εἴ τις τῶν Ἡρακλειδῶν ἀφικόμενος θάνατον ἑκούσιον ἑκὼν ἑαυτῷ· ἣν Ἀθηναῖοι ὑπὲρ αὐτῶν ἀποθανεῖσαν, πολυτελῶς ἔθαψαν· καὶ τὸν τάφον αὐτῆς ἄνθεσι καὶ στεφάνοις τιμῶντες, ὡς τῶν Ἀργείων ἡττηθέντων, ἐπέλεγον τὸ, Ἄπαγ εἰς Μακαρίαν. λέγεται δὲ καὶ ἔρρ' εἰς Μακαρίαν, καὶ βάλλ' εἰς Μακαρίαν, κατ' εὐφημισμὸν, ἀντὶ τοῦ εἰς ὄλεθρον· ἐπεὶ καὶ οἱ πθνεῶτες μακαρῖται λέγονται. ἢ ἀντὶ τοῦ εἰς δειλαιότητα. ἔνιοι δὲ καὶ Μακαρίαν φασὶν Ἅιδου χωρίον διαλυπεῖσιν.

ΠΟΘΕΝ ΑΥΣΟΝΕΣ ΟΙ ΙΤΑΛΟΙ ΛΕΓΟΝΤΑΙ.

Αὔσονες δὲ οἱ Ἰταλοὶ λέγονται, ἀπὸ Αὐσονος, ὃς χρῶτος τῶν κατὰ Ῥώμην βασιλεύσαντος χρόνων ἱστορεῖται, Ὀδυσσέως γεγονὼς ἐκ τῆς Κίρκης. ἢ, καθά τινα γράψαντα, ὑπὸ Καλυψοῦς γεννηθεὶς τῷ Ἄτλαντι, ἀφ' οὗ καὶ τὸ Σικελικὸν πέλαγος, Αὐσόνιον ἐκλήθη ποτὲ, ὡς καὶ Ἰταλοί, ἀπό τινος Ἰταλοῦ.

ΠΕΡΙ ΤΗΣ ΑΙΝΕΙΟΥ ΑΡΧΗΣ ΚΑΙ ΤΟΥ ΤΟΥΤΟΥ ΕΙΣ ΙΤΑΛΙΑΝ ΑΠΟΠΛΟΥ.

Αἰνείαν τὸν Ἀγχίσου, τινὲς μὲν φασιν μετὰ τοῦ πατρὸς καὶ Ἀσκανίου τοῦ παιδὸς λαὸν ἀθροῖσαι καὶ πλεῦσαι εἰς Σικελίαν· ἔκειθεν δὲ εἰς τὴν Λατίνων χώραν ἐλθεῖν κατά τι λόγιον, καὶ ἐκεῖ οἰκῆσαι. ἕτεροι δὲ αὐτὸν φασι περὶ τὸν Μακεδονικὸν Ὄλυμπον οἰκῆσαι· ἄλλοι δὲ εἰς Σικελίαν καθάραι. Ὅμηρος δὲ ἐμφαίνει τὸν Τροίᾳ μεῖναι αὐτὸν, καὶ διαδεξάμενον τὴν ἀρχὴν, ὑπὸ δεδωκέναι τοῖς παισὶν, ἡφανισμένων τῶν Πριαμιδῶν·

Ἤδη γὰρ Πριάμου γουνοὺς ἔχθηρε Κρονίων,

καὶ τὰ ἑξῆς. οἱ δὲ μετ' Ὅμηρον, τοῦτο καὶ τῇ τῶν Λατίνων χώρᾳ γουνοῦσθαι βάλλονται· καί τινες γράφουσι,

Νῦν δὲ δὴ Αἰνείαο γένος πάντεσσιν ἀνάξει,
Καὶ παίδων παῖδες,

τῶν

τὰς Ῥωμαίας λέγοντες· παρ' οἷς τὸν Αἰνείαν ἐς καταστρέψαι τὸν βίον φασίν.

ΑΡΚΕΣΙΛΑΟΥ ΓΕΝΕΑΛΟΓΙΑ.

Διὸς καὶ Εὐρυοδίας γενεαλογοῦσιν Ἀρκεσίλαον· αὐτῷ δὲ, καὶ Χαλκομεδούσης, Λαέρτιον· τοῦ δέ, καὶ Ἀντικλείας, Ὀδυσσέα· οὗ, καὶ Πηνελόπης, Τηλέμαχον· αὐτοῦ δὲ, καὶ Πολυκάστης τῆς Νέστορος, Περσέπτολιν· ὡς Ἡσίοδος. Ἀριστοτέλης δ' καὶ Ἑλλάνικος, Τηλεμάχου φασὶ Ναυσικάαν γῆμαι τοῦ Ἀλκινόου, ἐς γενέσθαι τὸν Περσέπτολιν. τινὲς δ' ἐς τοιούτοις λόγοις ἐνευκαιροῦσιν· ὁ μὲν Κίρκης υἱοὶ καθ' Ἡσίοδον Ὀδυσσεῖ, Ἄγριος καὶ Λατῖνος· ὁ δὲ Καλυψοῦς, Ναυσίθοος. ὁ δ' Τηλεγονείαν γράψας Κυρηναῖος, ὁ μὲν Καλυψοῦς, Τηλέγονον, υἱὸν Ὀδυσσεῖ ἀναγράφει, ἢ Τηλέδαμον· ὁ δὲ Πηνελόπης, Τηλέμαχον ἐς Ἀρκεσίλαον. κατὰ δὲ Λυσίμαχον, υἱὸς αὐτῷ ἐξ Εὐίππης Θεοσπρώτιδος, Λεοντόδρων· ὃν ἄλλοι Δόρυκλόν φασιν· Σοφοκλῆς δ' ὁ τῆς αὐτῆς Εὐρύαλον ἱστορεῖ, ὃν ἀπέκτεινε Τηλέμαχος.

ΠΕΡΙ ΤΟΥ ΑΤΡΕΩΣ.

Ἀτρεὺς βασιλεύων τῆς Πελοποννήσου, ἤυξατό ποτε, ὅ, τι ἂν κάλλιστον ὁ τοῖς ποιμνίοις αὐτοῦ γένηται, τοῦτο Ἀρτέμιδι θῦσαι· γεννηθέντος δὲ αὐτῷ χρυσοῦς ἀρνὸς, τῆς εὐχῆς μεταμέλησε· καὶ καθείρξας αὐτὸν εἰς λάρνακα, ἐφύλαττε. μέγα δέ τι φρονῶν ἐπὶ τῷ κτήματι, κομπάζειν τε τοῦ ἀγοράν. ἀνιώμενον δ' ἐπὶ τούτῳ Θυέστην, ὑποδυόμενος, ὡς ἐρῶντα, πεῖσαι Ἀερόπην ἐκδοῦναι αὐτῷ τὸ κτῆμα· λαβόντα δὲ ἀντιπέμπειν τῷ ἀδελφῷ, ὡς δὴ δεόντως ἔχοι τοῦ τοιούτου κομπάζειν· αὐτὸς δὲ ἔλεγεν, ὁ τῷ πλήθει, δεῖν ἐς τοῦ βασιλέα ἔχειν τὸν τοῦ χρυσοῦ ἄρνα ἔχοντα. τοῦτο δ' ὁμολογοῦντος ἐς Ἀτρέως, Ζεὺς Ἑρμῆν πέμπει ὡρὸς Ἀτρέα, συνθέμενος λέγων ὡς τῆς βασιλείας, καὶ δηλοῦν τὰ περὶ τῆς ἀνατολῆς, διότι μέλλει ποιεῖσθαι τοῦ ἐναντίαν ὁδὸν ὁ ἥλιος. σωθεισῶν δὲ ὡς ἴσων, ὁ ἥλιος τοῦ δύσιν εἰς ἀνατολὰς ἐποιήσατο· ὅθεν ἐκμαρτυρήσαντος τοῦ δαιμονίου τοῦ Θυέστου πλεονεξίαν, τοῦ βασιλείαν Ἀτρεὺς παρέλαβε, καὶ τὸν Θυέστου ἐφυγάδευσεν.

ΠΕΡΙ ΑΝΤΙΓΟΝΗΣ.

Ἀντιγόνη Οἰδίποδος καὶ Ἰοκάστης, ἀποθανόντα Πολυνείκους ἐν τῇ μάχῃ τὸν ἀδελφὸν Ἐτεοκλέα μονομαχίᾳ, (καὶ τοῦτον Κρέων ὁ πάτρως ἄταφον ἐκβαλὼν, κηρύττει μηδένα αὐτὸν θάπτειν, θάνατον τοῖς ζημίαν ἀπειλήσας,) θάπτειν ἐφωράθη. καὶ δὴ λαθοῦσα τοὺς φύλακας, καὶ εἰς μνημεῖον ἐντεθεῖσα, ἐπιβάλλει χῶμα· ὃς ἐπαπειλεῖ θάνατον ὁ Κρέων, εἰ μὴ τοῦτο δράσαντα ἐξεύροιεν. ὅτοι τοῖς κόνιν τοῖς ἐπιβεβλημένοις καθαίροντες, ὑδὲν ἧττον ἐφρούρουν. ἐπελθοῦσα δὲ ἡ Ἀντιγόνη καὶ γυμνὸν εὑροῦσα τὸν νεκρὸν, ἀνοιμώξασα, ἑωυτὴν εἰσαγγέλλει· τοῦτον ὑπὸ τῶν φυλάκων παραδεδομένοις Κρέων καταδικάζει, καὶ ζῶσαν εἰς τύμβον καθείρξει. ἐπὶ τούτοις Αἵμων, ὁ Κρέοντος υἱὸς, ὃς ἐμνᾶτο αὐτὴν, ἀγανακτήσας, ἑαυτὸν ἐπισφάζει τῇ κόρῃ ἀπολομένῃ ἀγχόνῃ, Τειρεσίᾳ τοῦτα προθεσπίσαντος. ἐφ' ᾧ λυπηθεῖσα ἡ Εὐρυδίκη, ἡ Κρέοντος γαμετὴ, ἑαυτὴν κατασφάζει.

ΠΕΡΙ ΑΡΜΟΝΙΑΣ ΤΗΣ ΚΑΔΜΟΥ ΓΥΝΑΙΚΟΣ.

Ἁρμονίαν, τὴν τῷ Κάδμῳ συνοικήσασαν, Ἄρεως καὶ Ἀφροδίτης ὁ μῦθος γενεαλογεῖ. Ἀρριανὸς δὲ Ἀστακηνοῦ τε αὐτὴν εἶδε, καὶ Δαρδάνῳ ἀδελφήν· φησὶ γὰρ ὅτι Κάδμος ὑπὸ τοῦ πατρὸς, τὴν ζήτησιν τῆς ἀδελφῆς Εὐρώπης, στελεὶς, καὶ πλανώμενος, πεμπτὸς γέγονεν Ἁρμονίᾳ τῇ τοῦ Δαρδάνου ἀδελφῇ· καὶ ἁρπάσας, καὶ εἰς τὰς νῆας ἐνθέμενος, προσέσχε τῇ Βοιωτῶν γῇ· ἔνθα Θηβαίων ἐκτίσατο καρτερὸς, πλούτῳ τε εὐδοκιμοῦσι, καὶ τῇ ἄλλῃ σοφίᾳ. ὧδε ὧν μῦθός ἐστιν, ὡς ἅμα μὲν λιπαρὸν γῆρας εἰς ὄφεων γένος ἁλλάξαντο· ἐπεὶ καὶ Κάδμος τὸν Ἄρεως ἀνεῖλέ ποτε ἐν Θήβαις δράκοντα, τὸν τῆς Δίρκης φύλακα. δηλοῖ δὲ ὁ λόγος, ὡς ἐξ Ἑλλάδος εἰς τὸν κάλπον τὸν καὶ τὰ Κερωύνια ὄρη ἐλθόντες, ἐκεῖνοι μετέθεντο τοῖς Ἑλληνικὴν χρηστοήθειαν· καὶ μετέπεσον ἐπιεικείας προπάσης Ἕλλησιν, εἰς σκολιὰ ἤθη, καὶ ὅσον ὀφεώδη καὶ βάρβαρα, ὧδε τὸ γῆρας δυσπραγήσαντες εἰς ἤθος μεταβολοῖς. καὶ ἔστιν ἐναλλαγῆναι αὖθις εἰς ὄφεις, ὡς ἔπος εἰπεῖν, τὸ εἰς θηριωδίαν μεταμεφθῆναι. τὸν μὲντοι Κέκροπα φασὶν οἱ μῦθοι ἰχναντίον ἀπὸ ὄφεως εἰς ἄνθρωπον ἐλθεῖν· ἐπειδὴ ἐκεῖνος ἐλθὼν εἰς Ἑλλάδα, καὶ τὸν βάρβαρον Αἰγυπτιασμὸν ἀφεὶς, χρησιμωτέρους ἀνελάβετο τρόπους πολιτικούς.

ΠΕ-

ΠΕΡΙ ΤΗΣ ΑΡΙΑΔΝΗΣ.

Ἀριάδνη θυγάτηρ Μίνωος τοῦ Κρητῶν βασιλέως. αὕτη ἡράθη Θησέως τοῦ Ἀθηνῶν βασιλέως ἐλθόντος ἐπ' ἀναιρέσει τοῦ Μινωταύρου. ἐκ ἧς ὃν Θησέως ἔλαβεν αὐτὴν ὁ Διόνυσος, καὶ ἀνήγαγεν εἰς τὴν Νάξον, καὶ συνεμίγη αὐτῇ· καὶ φορὸς τιμὴν αὐτῆς, στέφανον εἰς τὸν οὐρανὸν δι' ἀστέρων ὑπεζωγράφησεν.

ΠΕΡΙ ΑΓΗΝΟΡΟΣ.

Ἀγήνωρ, Φορονέως υἱός. φησὶν Ἑλλάνικος παῖδας τρεῖς Φορονέως γενέσθαι· οὓς, τοῦ πατρὸς θανόντος, διενείμαντο τὴν Ἀργείαν· καὶ ὁ μὲν φορὸς Ἐρασινῷ τῷ Ποταμῷ, Γελασγῷ ἔλαχε, τῷ δὲ τὴν εἰς Λάρισαν κτίσαντι· Ἰάσονι δὲ, τὰ φορὸς Ἥλιν· Ἀγήνωρ δὲ, ἀναλωθείσης τῆς γῆς, τὴν πατρικὴν εἴληφεν ἵππον· ὅθεν καὶ τῷ αὐτῷ χρόνῳ ὠνομάσθη τὸ Ἄργος τειχῶσ· Ἴασον, Γελασγικὸν, καὶ Ἱππόβωτον. τινὲς δὲ μετὰ τὸν θάνατον τῶν δύο ἀδελφῶν, ἐπισπασθῆναί φασι τὸν Ἀγήνορα, πολλὴν ἐπαγόμενον ἵππον· ἀφ' ἧς κληθῆναι τὸ Ἄργος Ἱππόβωτον.

ΠΕΡΙ ΤΟΥ ΑΡΓΟΥ.

Ἄργος, εἷς τῶν Φρίξου παίδων· ὃς Ἡρόδωρός φησιν ἐκ Χαλκιόπης τῆς Αἰήτου θυγατρός· Ἀκουσίλαος δὲ, καὶ Ἡσίοδος, ἐν ταῖς μεγάλαις Ἠοίαις, φασὶν, ἐξ Ἰοφώσσης τῆς Αἰήτου· καὶ οὗτος μὲν φησιν αὐτὸς τέσσαρας, Ἄργον, Φρόντιν, Μέλανα, Κυτίσωρον· Ἐπιμηθίδης δὲ, ὁ πέμπτον φορσίθησι Πρέσβωνα. διὰ τοῦτο λέγει Ἀεισοφάνης, πότερον ὄρνις εἶ σὺ, ὁ λεγόμενος Τηρεύς· ὥζεν δὲ τὸν πρεῖν τὴν Ἰώ, ἢ ταῶς.

ΠΕΡΙ ΤΗΣ ΑΡΓΟΥΣ.

Ἀργώ, ἡ ναῦς, ἀφ' ἧς καὶ οἱ Ἀργοναῦται· Ἄργος γὰρ ὑποθημοσύνῃσι τῆς Ἀθηνᾶς πεποίηκε τὴν Ἀργώ, ἀλλὰ οὐχ ὥσπερ αὐτῷ ἐκέλευσεν ὁ Πελίας ἀρίστοις γόμφοις παγῆναι, ἵνα ταχέως ἀπολέσῃ τοὺς Ἀργοναύτας. διὰ τοῦτο ὁ Ἀπολλώνιός φησιν Ἀθηνᾶς ὑποθημοσύνῃσι γενέσθαι αὐτήν. Φερεκύδης δὲ ἀπὸ Ἄργου τοῦ Φρίξου υἱοῦ· ταύτην δέ φασι πρώτην ναῦν γενέσθαι μακράν. ἄλλοι δὲ λέγουσι, Δαναὸν διωκόμενον ὑπὸ Αἰγύπτου, πρῶτον κατασκευάσαι· ὅθεν καὶ Δαναΐς ἐκλήθη· ἢ ὅτι ὑπ' Ἄργου ἐναυπηγήθη, ὡς φησιν Ἡγήσανδρος ὁ Σαλαμίνιος, ὑπὸ Ἄργου.

ΠΕ-

ΠΕΡΙ ΄ΑΠΙΔΩΝ.

Α΄Πιδες, θεοὶ ἦσαν τιμώμενοι παρ' Αἰγυπτίοις· σημεῖον ἔχοντες περὶ τὴν ὑρὰν ⸋ τὴν γλῶσσαν, δηλῶν εἶναι αὐτὰς Α΄πιδας. οἷς χρυσωμένοις, διὰ χρόνου, ὡς ἔλεγον, ἐκ τοῦ σέλαος τῆς σελήνης, ἑορτὴν μεγάλην ἦγον· ⸋ ἱερεῖς τινὲς ⸋ περὶ τὸν τεχθέντα βοῦν ἱερῶντο, ⸋ θρεπτιθέντες παιδαισίαν, ὡς εὐωχοῦντες αὐτοῖς. λέγεται δὲ Α΄πις καὶ ὁ παρ' ἐκείνοις βασιλεύς.

ΠΕΡΙ ΤΗΣ ΄ΑΣΤΡΩΝΟΜ Α΄ΡΚΤΟΥ.

Α΄ρκτος, μία τῶν ἄστρων. λόγος ἔχει, Καλλιστὼ τὴν Λυκάονος χόλῳ Ἥρας, διὰ τὸν Διὸς ἔρωτα, μεταπεσεῖν εἰς ἄρκτον· καὶ τοξευθῆναι μὲν ὑπ' Ἀρτέμιδος, ἀναχθῆναι δὲ εἰς ἀστέρας ὑπὸ τοῦ Διός· διὸ καὶ, ἐπεὶ ἄρκτον ὁ μῦθος καὶ ζωονυμίᾳ τὸ τῆς Καλλιστοῦς ὠνόμασεν ἀστεροθέτημα· ὁ δὲ ΄Ωρίων, κυνηγέτης ὑποκεῖται· χαριέντως εἶπεν ὁ Ποιητὴς τὸ,

Ἣ τ' αὐτοῦ στρέφεται, καί τ' Ὠρίωνα δοκεύει.

ἀληθῶς μὲν, διότι τὴν αὐτὸν ἡ ἄρκτος τῷ Ὠρίωνι ποιεῖται κίνησιν· ἀστείως δὲ, ὡς ὡροῦς τὸν μῦθον· διότι δέδιεν ὡς ἄρκτος τὸν κυνηγέτην, καὶ διὰ τοῦτο ὡροῦς τὸ τοῦ Ὠρίωνος ἀποκεύει ἄστρον. λέγει δὲ ὡροσέτι ὁ Ποιητὴς ⸋ κύκλον μὲν αὐτὴν εἶναι τὸ ἄρκτος, διὰ τὸν τοῦ μύθου ἐξουσίαν· ἥτις αὐτὸν ἐξ ἄρκτου κατεστέρισεν· ἐπίκλησιν δὲ τὸ ἅμαξα, δι' ὁμοιότητα τῆς τῶν ἁμαξοειδῶς αὐτὴν συμπληρούντων ἀστέρων θέσεως.

ΠΕΡΙ ΄ΑΡΝΗΣ.

Α΄ρνη ἡρωΐς, Βοιωτοῦ μήτηρ· ἔοικε δὲ ὑπὸ τοῦ πατρὸς Ἄρνη κληθῆναι ἀπὸ πεπυσισμοῦ ἀρνῶν· καθὰ καὶ αὐτὴ παῖδα ὑπὸ Ποσειδῶνος τεκοῦσα, Βοιωτὸν ἐκ τῶν βοῶν ἐκάλεσε. φησὶ γοῦν ΄Ευφορίων·

Βοιωτὸν δ' ὀνόμηνε, (τὸ γὰρ καλέσαντο νομῆες,)
Ὅτι ῥα πατρώῃσι βοῶν ἀπεθήκατο κόπροις.

ὡς ὃν ὁ υἱὸς αὐτῆς ἐκλήθη Βοιωτὸς, ἐκ τῶν βοῶν, ὅτο ⸋ αὐτὴ, ὡς εἰκὸς, Ἄρνη, ἐκ παρωνυμίας ἀρνῶν, ζῶα φιλυμβίου τοῖς παλαιοῖς. φασὶ δὲ ταύτην ὑπὸ τῆς Κωπαΐδος λίμνης κατακοθῆναι.

ΠΕ-

ΠΕΡΙ ΑΡΠΥΙΩΝ.

Ἅρπυιαι θήλειαι δαίμονες πτερωταὶ, τὰ ὄπισθεν μέρη ὀρνίθων ἔχουσαι· ἃς αἱ Μοῦσαι νικήσασαι μελῳδίᾳ, τοῖς πτεροῖς ἐκείνων ἐστεφανώθησαν· πλὴν Τερψιχόρης, ὅτι μήτηρ ἦν Σειρήνων. περὶ δὲ Κρήτην ταῦτα γεγόνασιν· ὅθεν ἡ πόλις Ἀπτέρα τῆς Κρήτης, ὡς μὲν ἐκεῖ τὰ πτερὰ νικηθείσας ἀποβαλεῖν τὰς Σειρῆνας· ἦσαν δὲ αἱ Σειρῆνες, τὰ κάτω μέρη ὀρνίθων ἔχουσαι· τὰ δὲ ἄνω ἀνθρώπων, οἰκοῦσαι ὡς μὲν τὴν Τυρσηνίαν.

ΠΕΡΙ ΑΣΤΑΡΤΗΣ.

Ἀστάρτη, ἄγαλμα Ἀφροδίτης, τιμώμενον ὡς μὲν Σιδωνίοις· τὸ δὲ ἄστρον δὲ τύπος, αὐτὸ τὸ ἄστρον ὁ ἑωσφόρος, ὅπερ Ἀφροδίτην ὀνομάζουσι. τὸ αὐτὸ δὲ ὡς μὲν Μωαβιτῶν ἐτιμᾶτο.

ΠΕΡΙ ΤΗΣ ΑΣΤΕΡΙΑΣ.

Ἀστερία φεύγουσα τὴν μίξιν τοῦ Διὸς, μετέβαλεν ἑαυτὴν εἰς ὄρτυγα· καὶ ἥλατο εἰς τὴν θάλασσαν, καὶ ἐγένετο νῆσος, ἥτις Ἀστερία καὶ Ὀρτυγία ἐκαλεῖτο. ὕστερον δὲ τοῦ Διὸς συγγιγομένου Λητοῖ, καὶ ποιήσαντος αὐτὴν ἔγκυον, Ἄρτεμιν καὶ Ἀπόλλωνα, ζήλῳ τῆς Ἥρας, μήτε ἐπὶ γῆ μήτε ἐπὶ θαλάσσης ὑποδεχομένης τῆς Λητοῦς τοκετὸν ἀπόπεξιν, κελεύει τῷ Ποσειδῶνι Ζεὺς, καὶ ἀνέδωκε ταύτῃ τινὶ νῆσον, τινὶ Ὀρτυγα καὶ Ἀστερίᾳ λεγομένῃ, πρότερον κρυπτομένῃ τοῖς κύμασιν, ἔτι δὲ καὶ τρέμουσαν. καὶ ἐπὶ τοῦ φανῆναι αὐτὴν, Δῆλον ὠνόμασεν. ἐκεῖ ἔνθα ἐλθοῦσα ἡ Λητὼ, καὶ δάφνης καὶ φοίνικος κρατοῦσα ἐκεῖ φανέντων ἁψαμένη, τὴν Ἄρτεμιν γεννᾷ· ἡ δὲ ταύτην μαιεύεται, καὶ τίκτει τὸν Ἀπόλλωνα, καὶ Ἄρτεμιν· καὶ Ἄρτεμις δὲ τὴν Δῆλον κατέλαβεν, Ἀπόλλων δὲ εἰς Λυκίαν ἀπῆλθεν.

ΠΕΡΙ ΑΣΤΤΑΝΑΣΣΗΣ.

Ἀστυάνασσα, Ἑλένης θεράπαινα· ἥτις κρατὴ ἐξεῦρεν Ἀφροδίτην, καὶ ἀκόλαστα σχήματα.

ΠΕΡΙ ΑΣΤΤΔΑΜΕΙΑΣ.

Ἀστυδάμεια, Ἀκάστου γυνή.

ΠΕΡΙ ΆΣΤΥΟΧΗΣ.

Ἀστυόχη, καὶ Ὅμηρον, Ἀσυόχεια, ὡς καὶ Γηνελόπη, Γηνελόπεια· Φύλαντος ἦν θυγάτηρ. ταύτην Ἡρακλῆς ἄγεται, ἀνελὼν τὸν Φύλαντα, ὅτε καὶ Ἐφυρέων Αἰτωλοῖς ἐστράτευε. γίνεται δὲ ἐξ αὐτῆς Τληπόλεμος· ὃς ἐκταφεὶς, πεσιπέπτωκεν ἀκουσίῳ κακῷ· ἰδὼν γὰρ τὸν ἑαυτῷ μὲν πάππον, τῷ δὲ πατρὶ μήτρωον, ἤτοι τὸν πρὸς μητρὸς θεῖον τοῦ Ἡρακλέους, τυτέστι τὸν Λικύμνιον, (ἀδελφὸς γὰρ ἦν Ἀλκμήνης, ὥς φασιν, ὁ Λικύμνιος,) τοῦτον ἐν ἰδὼν ἀμελῶς, φασὶν, ἐν τῷ γήρᾳ χειραγωγοῦμενον, καὶ ἀφεὶς βακτηρίαν ἐπὶ τὸν οἰκέτην, τοῦ μὲν οἰκέτου ἥμαρτεν· κατασοχήσας, τὸν δὲ γέροντα πλήξας, ἔκτεινεν οὐχ ἑκών· διὸ καὶ ἔφυγεν εἰς Ῥόδον, σωαγαγὼν λαόν· καὶ στασιαζομένους τοὺς Ῥοδίους εὐρηκὼς, καὶ ἑνὶ προσκεχωρηκὼς μέρει, ἐκράτησε· καὶ διωκὸς γενόμενος, ἐστράτευσε καὶ τῆς Τροίας καὶ αὐτός.

ΠΕΡΙ ΆΣΦΑΛΙΩΝΟΣ.

Ἀσφαλίων, πλάτεται ὀτρηρὸς θεράπων Μενελάου, προσφυὲς ὄνομα· ὃν ὁ χρὴ σφάλλεσθαι τοῦ δέοντος, πρὸς τὸν δεσπότην· ὥσπερ καὶ Ἐπωνεὺς, πρὸ αὐτοῦ, ὃν ἀληθείαν χρεών.

ΠΕΡΙ ΑΥΓΕΙΟΥ.

Αὐγείας, υἱὸς μὲν Ἠλίου ἦν, τῇ δ' ἀληθείᾳ, Φόρμητος ἐκ τῆς Ἰκλέως Ὑρμίνης· οἱ δ' αὐτὸν θυγατέρα Νυκτέως· οἱ δ', Ἐπόχου φασί· τοῦτον δὲ τῶν ὀφθαλμῶν ἀκλίνας ἀπολάμπειν φασὶν· Ἡρακλεῖ δὲ τὴν τῶν αὐτοῦ βοῶν κόπρον καθήρανti ἐκ ἐδίδου ἀπαιτοῦντι τὸν μισθὸν, ὃς ἦν δεκάτη τῶν βοῶν· λέγων οὐχ ἑκόντα ποιῆσαι τὸ ἔργον, ἀλλὰ ἐπιταγέντα ὑπὸ Εὐρυσθέως· καθίζουσιν δὲ κριτὴν αὐτῆς τῆς δίκης αἱρετὸν Φιλέα, τὸν Αὐγείου υἱόν· ὁ δ' καταψηφίζεται τοῦ πατρός. ἀναγκαῖ ἐπὶ τούτοις Αὐγείας, καὶ ἐκβάλλει τὸν υἱόν. Ἡρακλῆς δ' ἐπισρατευσάμενος πόρρω τὴν Ἦλιν· καὶ μεταπεμψάμενος ἐκ Δουλιχίου τὸν Φιλέα, δίδωσιν αὐτῷ τὴν τοῦ πατρὸς βασιλείαν· καὶ τὸν στρατὸν, διὰ τὴν ἐκ πολέμου ὀλιγανδρίαν, συγκατακλίνει ταῖς τῶν πεπλευτηκότων γυναιξί· καὶ τὸν Ὀλυμπιακὸν διατίθεται ἀγῶνα, πρῶτος αὐτὸς τῶν ἀγωνισμάτων ἅπτεται. πρὸς δ' τούτοις ἱστορεῖται, καὶ ὅτι τῷ ἀρχῷ Πισάται τοῦ ἀγῶνος ἐπεμέλοντο· ἐπεὶ δ' τοῖς Μεσηνίοις αὐτοὶ καὶ Λακεδαιμονίων συνεμάχησαν, καθελόντες ὕστερον αὐτὸς,

τὰς, οἱ Λακεδαιμόνιοι, παρέσχον τὴν τῶ ἀγῶνος ἀρχὴν τοῖς Ἠλείοις· οἱ δὲ Μεσηνίων τοῖς Λάκωσι σωμάχησαν.

ΠΕΡΙ ΤΟΥ ΑΧΕΡΟΝΤΟΣ.

Ἀχέρων, ὁ ἐν Ἅιδου ποταμὸς, ἀπὸ τὸ ἐσερπύσης χαρᾶς τὰς ἐκεῖ κατιόντας· καὶ καθ' ὑπέρθεσιν, Ἀχέρων· καὶ τὸν ἐν Ὀδυσσείᾳ κείμενον μῦθον· φασὶ γὰρ Ἡρακλέα ἐκεῖ διὰ τὸν Κέρβερον καταβάντα, καὶ ἰδόντα τὸ φυτὸν αἴγειρον, τὴν ἀχερωΐδα λεγομένην, ἐκ τῆς εὐφυΐας θαυμάσαντα, στεφανώσασθαί τε καὶ ἀναγαγεῖν, καὶ ἡλίῳ δεῖξαι. ὡς ἄκαρπος δὲ ἡ ἀχερωὶς, τῷ Ἅιδῃ ἀνακεῖται· διὸ καὶ ἱπαὶ καὶ αἴγειροι τὸν τῆς Περσεφόνης πληρῶσι λειμῶνα.

ΑΧΑΙΟΙ ΠΟΘΕΝ ΟΙ ΕΛΛΗΝΕΣ ΩΝΟΜΑΣΘΗΣΑΝ.

Αἴολος ὁ Ἱππότου, γεννᾷ Ζῦθον, ὅς, καὶ Κρεούσης τῆς Ἐρεχθέως θυγατρὸς, Ἴωνα, (ὅτος ὁ Ἴων ὠκησε τὰς Ἀθήνας, ὅθεν καὶ Ἴωνες·) καὶ Ἀχαιόν· ὁ δὲ Ἀχαιὸς φόνον ἐμφύλιον δράσας, παρεγένετο εἰς Θεσσαλίαν· καὶ κυριεύσας τῆς χώρας, τὰς ὑποταγμένας, ἀφ' ἑαυτῦ Ἀχαιὰς προσηγόρευσεν.

ΠΕΡΙ ΑΡΤΙΒΙΟΥ ΤΟΥ ΠΕΡΣΟΥ.

Ἀρτίβιος Πέρσης, ἀνὴρ στρατηγὸς, ἐπὶ τῶν Περσικῶν, τὰ πολέμια γενναῖός τε καὶ προθυμος, καὶ ταχὺς τοῖς ὅπλοις κίνησιν, καὶ πτηνὸς τὼ πόδε· τὸ εἶδος ἐκπληκτικός τε καὶ θεῖος φαινόμενος, ὡς ἄλλος Ἀχιλλεύς. φιλιππότατον δὲ προσέτι φησὶν αὐτὸν, καὶ κυνηγετικώτατον, καὶ ταῖς τῶν πολέμων ἀνοχαῖς ἐπὶ τὰ θηρία χιώμενον Ἡρόδοτος ἱστορεῖ. ὅτος ποτὲ ἐδίδαξεν ἵππον ἀνιστάναι πρὸς ὁπλίτην, καὶ τὸν προσενεχθέντα καταρράζειν, ποσί τε πλήττοντα, καὶ στόματι δάκνοντα.

ΑΧΙΛΛΕΩΣ ΓΕΝΕΑΛΟΓΙΑ.

ΖΕΥΣ ἐκ τῆς Αἰγίνης τῆ Ἀσωπῆ γενομ.

ΑΙΑΚΟΝ, ΜΙΝΩ, ΡΑΔΑΜΑΝΘΥΝ.

ΦΩΚΟΣ, ΤΕΛΑΜΩΝ, ΠΗΛΕΥΣ, ΠΑΣΙΦΑΗΣ ΔΕΥΚΑΛΙΩΝ, ΑΝΔΡΟ-
ΤΕΥΚΡΟΣ, ΑΙΑΣ, ΑΧΙΛ- ΘΕΤΙΔΟΣ, ΜΟΛΟΣ, ΙΔΟ- ΓΕΩΣ. ΓΛΑΥ-
ΤΕΚΜΗΣΣΗΣ, ΛΕΥΣ, ΜΕΝΕΥΣ, ΚΟΣ. ΑΡΙΑ-
ΕΥΡΥΣΑΚΗΣ. ΝΕΟΠΤΟΛΕ- ΜΗΡΙΟΝΗΣ. ΔΝΗ. ΦΑΙ-
ΜΟΣ. ΔΡΑ.

Γεννηθεὶς ὁ Ἀχιλλεὺς ὑπὸ Θέτιδος, παρεδόθη τῷ Χείρωνι, τροφεῖ ἅμα καὶ διδασκάλῳ τῆς τοξείας χρησόμενος. ἦν δ' οὗτος ὁ Χείρων ἱπποκένταυρος, οἰκῶν ἄντρον τι, ἐπὶ πηλίου ὄρους Θετταλίας. ὁ δὴ Χείρων λαβὼν τὸν Ἀχιλλέα, ὑ γάλακτι καὶ ἄρτῳ ἔτρεφεν αὐτόν· ἀλλὰ κηρίοις τε, καὶ μυελοῖς ἐλάφων καὶ ἄλλων ζώων. διὸ καὶ Ἀχιλλεὺς ὠνομάσθη, ὁ μὴ μετασχὼν τοῦ χείλους· χείλος γὰρ, ἡ τροφή. κολακεύειν δὲ αὐτὸν ὁ Χείρων οἷον λέοντα, πτῶκας ἁρπάζειν, καὶ νεβροῖς συμπαίζειν. εἰς ἡλικίαν δὲ ἥκοντα, ὅτε ἡ οἱ παῖδες ἀμυζίδων, καὶ ἀστραγάλων, δέονται, εἶργε μὲν ἁδὲν τοιούτων· ἀκοντίοις δὲ ἤθιζε, καὶ παλτοῖς, καὶ δρόμοις· ἱππάζεσθαί τε καὶ κεχρῆσθαι αὐτῷ ὡς ἵππῳ. ἐπικαθίσας δὲ αὐτὸν ὄπισθεν αὐτοῦ, καὶ τοῦ ἱππίου μέρους, ὅτως ἐγύμναζε, καὶ ἐδίδασκεν αὐτὸν τοῦ τοξικοῦ. καὶ ὅτι μὲν περὶ τοῦ Χείρωνος μυθικῶς πως λέγεται· ἡ δὲ ἱστορία γενέσθαι αὐτὸν ὑπ' Ἀνθρώπου ὁμοίου οἵδε, σοφὸν δὲ καὶ λόγιον, καὶ ἔργα· θήρας τε γὰρ ποικίλας ἤσκει, καὶ τὰ πολεμικὰ ἐπαίδευε, καὶ ἰατρικὴν ἀπέφαινε, καὶ μαντικὴν ἤρμοττε, καὶ δικαίους ἐποίει βιῶναί τε ἐπὶ μέγιστον· φοιτῆσαι δὲ αὐτῷ καὶ Ἀσκληπιὸν, καὶ Τελαμῶνα, καὶ Πηλέα, καὶ Θησέα· θαμίζειν δὲ καὶ Ἡρακλέα, ὅτε μὴ ἀπάγοιεν αὐτὸν οἱ ἆθλοι, μετασχεῖν τε τῆς τοῦ Χείρωνος ὁμιλίας Παλαμήδεα ἅμα, καὶ Ἀχιλλέα, καὶ Αἴαντα. ἀλλ' ἐπὶ τὸν προκείμενον Ἀχιλλέα ἐπανέλθωμεν. ὅτος μὲν δὴ ἐν Σκύρῳ Δηϊδάμειαν, θυγατέρα Λυκομήδους, ἔτι ἔφηβος, γήμας, γόνον Νεοπτόλεμον, ὅτως ὀνομασθέντα διὰ τὴν νεότητα τοῦ Ἀχιλλέως, καθ' ἣν εἰς τὸ πολεμεῖν ὥρμησεν. ἐνταῦθα τῷ Ἀχιλλεῖ διαιτωμένῳ παρεγένετο ἡ Θέτις, ὡς ὁ μῦθος, καὶ ἐθεράπευε τὸν υἱόν, ὥσπερ αἱ θνηταὶ τὼν μητέρων· ὁ δὲ Πολυξένης, τῆς Πριάμου θυγατρὸς, ἐρασθεὶς, ἐδήλωσε τῷ Πριάμῳ συμμα-

μαχῆσαι αὐτῷ, εἰ λάβοι τὸν κόρυν· ὁ δὲ Πρίαμος σιωπᾶσθαι, ὡς τοῖς πολλοῖς ἱστόρηται. καὶ ἐλθόντων ἐπὶ τὸν Θυμβραίου Ἀπόλλωνος ναῶν, Ἀλέξανδρος λάθρα τοξεύει τὸν Ἀχιλλέα· καὶ ὅτω συνέβη ἀποθανεῖν τὸν ἥρωα. οἱ δὲ Τρῶες τὸ σῶμα αὐτῶν τοῖς Ἕλλησιν οὐκ ἐδίδουν, ἕως ἔλαβον πάλιν τὰ δῶρα, ἃ Πρίαμος, ἀκριβῆ ζυγοσταθμήσας τρυτάνης τῷ ζυγῷ ὑπὲρ τοῦ νεκροῦ Ἕκτορος, λάθρα τῶν Ἑλλήνων, τῆς νυκτὸς, τῷ Ἀχιλλεῖ δέδωκεν. Σώστρατος δὲ ἱστορεῖ Ἀλέξανδρον Ἀπόλλωνος ἐρώμενον καὶ μαθητὴν τοξείας, ὑφ' οὗ τόξον ἐλεφάντινον ἔχοντα, τοξεῦσαι Ἀχιλλέα κατὰ γαστρός. Τέλος δὲ ἱστορεῖ Γενθεσίλειαν ἀνελεῖν τὸν Ἀχιλλέα· αἰτησαμένης Θέτιδος τὸν Δία, ἀναστῆναι αὐτὸν καὶ ἀντανελεῖν ἐκείνῃ· Ἄρεα δὲ πατέρα Πενθεσιλείας, δίκην λαχεῖν Θέτιδι· κρατῆσαι δὲ γνώμην Ποσειδῶνα, κατακεῖναι Ἄρην. μὴ δὲ θάνατον Ἀχιλλεύς, ὡς ληροῦσιν, ἔγημε Μήδειαν τὴν Αἰήτου παῖδα, εἰς τὸ Ἠλύσιον πεδίον παραγενόμενος. Αἰήτης δὲ, καὶ Κίρκη, καὶ Πασιφάη, Ἡλίου παῖδες, καὶ Πέρσης τῆς Ὠκεανοῦ, Αἰήτου μὲν παῖδες καὶ Εἰδυίας, Μήδεια καὶ Ἄψυρτος· καὶ τοῦτο πρῶτος Ἴβυκος εἴρηκε, καὶ Σιμωνίδης. τῷ Ἀχιλλεῖ κεκλωσμένον ἦν, ἢ πολυχρόνιον γηρᾶσαι καὶ ἄτιμον, ἢ ὀλιγοχρόνιον καὶ ἔντιμον. λέγεται δὲ καὶ ὅτι ἐκέλευσε τὸ μαντεῖον Θετταλοὺς εἰς Τροίαν πλέοντας, θύειν κατ' ἔτος τῷ Ἀχιλλεῖ, καὶ σφάττειν τὰ μὲν ὡς Θεῷ, τὰ δὲ ὡς ὁμοίᾳ τῷ κειμένῳ. ἐπειδὴ καὶ ὁμωνυμὴ τῆς Θέτιδος, ὡς ὁ μῦθος, διεφοίτα τὸν στρατὸν, ἀνευφημούσης τε, καὶ τὸν υἱὸν βοώσης· ἐβόα δὲ τορὸν, μέγα τε, καὶ ἔναυλον, καθάπερ ἡ ὁμώνυμος τοῖς ὄρεσιν ἠχώ· καὶ τότε μάλιστα καὶ Ἀχαιοὶ σιωπῆσαι ὅτι τέκοι τὸν Ἀχιλλέα ἡ Θέτις, οὐδὲ ἄλλως ἀπιστοῦντες. τὰ δὲ Θετταλικὰ ἐναγίσματα ὅτως ἦν· ναῦς ἐκ Θετταλίας μέλαινα ἱστία ἡρμένη, εἰς Τροίαν ἔπλευ· θεωρὸς μὲν πεσσαρεσκαίδεκα ἀπάγουσα· ταύρους δὲ, λευκόν τε, καὶ μέλανα, χειροήθεις ἄμφω· καὶ ὕλην ἐκ τοῦ Πηλίου· ὡς μηδὲν τῆς πόλεως δέοιντο, καὶ πῦρ ἐκ Θετταλίας ἦγον, καὶ σπονδὰς, καὶ ὕδωρ τοῦ Σπερχειοῦ ἀρυτάμενοι· ὅθεν καὶ στεφάνους ἀμαραντίνους εἰς τὰ κήδη φασὶν οἱ Θετταλοὶ ἐνόμισαν, ἵνα κἂν ἄνεμοι τὸν νῶν ἀπολάβωσι, μὴ σαπρὸν ἐπιφέρωσι, μηδ' ἐξώρους· νυκτὸς μὲν δὴ καθορμίζεσθαι ἔδει· καὶ ὡρίν ἄψασθαι τῆς γῆς, ὕμνον ἀπὸ τῆς νεὼς ᾄδειν εἰς τὸν Θέτιν ὧδε συγκείμενον,

Θέτι κυανέα, Θέτι Πηλέια,
Τὸν μέγαν ἔπεκες υἱὸν Ἀχιλλῆα.

Τὸν

Τῶ, θυατὰ μὴν, ὅσον φύτις ἤνεγκέ τοι,
Τροία λάχε·
Σᾶς δ' ὅσον ἀθανάτω γλυεᾶς πάϊς ἔπασε,
Πόντος ἔχει,
Βαῖνε ϖρὸς αἰπιὰ τόνδε κολωνὸν
Μετ' Ἀχιλλέως ὀ πυρᾶ.
Βαῖν' εὐδάκρυτος μῦ θυηλὰς,
Θέλι κυψέα, Θέτι Γηλέα.

ϖροτελθόντων δὲ τῷ σήματι μῦ τὸν ὕμνον, ἀσπὶς μὴν ὥσπερ ὀ πολέμω ϖεριεδητεῖτο· δρόμοις δὲ ἐῤῥυθμισμένοις σιωηλάλαζον, ἀνακαλῶντες τὸν Ἀχιλλέα. σεφανώσαντες δὲ τὶω κορυφὶω τῦ κολωνῦ, κὴ βόθρυς ἐπ' αὐτῇ ὀρύξαντες, τὸν ταῦρον τὸν μέλανα, ὡς ϖεθνεῶτι, ἔσφαττον. ἐκάλυν δὲ κὴ τὸν Πάτροκλον ἐπὶ τὶω δυῖτα, ὡς ἐ τῦτο εἰς χάριν τῷ Ἀχιλλεῖ ϖράττοντες. σὺτεμόντες δὲ, κὴ ἐναγίσαντες, κατέβαινον ἐπὶ τὶω ναῦν ἤδη· κμὴ θύτερτες ἐπὶ τὸν αἰγιαλὸν, τὸν ἕτερον τ ταύρων Ἀχιλλεῖ πάλιν, καυῦ τε ἐναρξάμβοι, κὴ ϖλάγχνων ἐπ' ἐκείνῃ τῇ θυσίᾳ, (ἐθυον γὰ τὶω θυσίαν τωύτην ὡς θεῷ,) ϖεὶ ὄρθρον ἀϖέπλεον, ἀϖάγοντες τὸ ἱερεῖον, ὡς μὴ ὀ τῇ πολεμίᾳ εὐωχοῖντο. κὴ ταῦτα ϖεὶ Ἑλληνικῦ Ἀχιλλέως. λέγυσι δέ τινες ἐ ἕτερον γεγονέναι Ἀχιλλέα ϖρὸ Σκύθαις, βασιλέα τῶν τόπων· ὃς ἡράσθη τε τῆς Ἀγαμέμνονος Ἰφιγυείας ϖεμφθείσης ἐκεῖ, κὴ ἔμεινεν ἐπιδιώκων· ἀφ' ἧ ἐ ὁ τόπος, Ἀχίλλειον ὠνομάσθη, ὃ μὴν ὀ τῦ Ἑλληνικῦ. οἱ δὲ τῦτο λέγοντες, ϖροφέρυσι μάρτυρα τὸν Ἀλκαῖον λέγοντα· Ἀχιλλεῦ, ὃς τὰς Σκυθικὰς μεδέεις.

ΠΕΡΙ Ἄψυρτου.

Ἄψυρτος, υἱὸς Ἀιήτυ, ὃν συνδιώκοντα ἑλῦσα ὴ ἀδελφὴ Μηδεία διέφθειρε, μελεϊστὶ ταμῦσα, κὴ τῇ θαλάσῃ τὰ τῶν σαρκῶν ἐπιϖεφυρασα τμήματα· ὅθεν αἱ Ἀψυρτίδες νῆσοι ϖρὸς ἀνατολὰς τῆς Ἀδριάδος· ἃς οἱ Κόλχοι ἐπέδραμον, τὰ τῆς Μηδείας ἴχνη μαστεύοντες κὴ ζητῦντες, ὅτε τῷ Ἰάσονι κατ' ἔρωτα ϖκολάθησεν· ἦν ἐ μὴ συλλαβῶν ἐκεῖνοι ἐξισχύσαντες, ἀλλ' εἰς κενὸν μοχθήσαντες, ὤκησαν ἀϖ' ἀμηχανίας ἐκεῖ· ὃ γὰ ἦν αὐτὰς εἰς Κολχίδα νοστῆσαι, εἰ μὴ κὴ τὸν Μήδειαν ἀνακομίσονται· ὅτω γὰ ὁ Ἀιήτης ἠπειλήσατο. Ἠλίου, κὴ Πέρσης τῆς Ὠκεανῦ, Ἀιήτης· ὃ κμὴ Εἰδυίας, Μήδεια, Ἄψυρτος.

Β

ΠΕΡΙ ΒΑΚΧΟΥ.

Βάκχον, ὃ μόνον τὸν Διόνυσον ἐκάλυν, ἀλλὰ καὶ πάντας τοὺς πεδόντας τὰ ὄργια· ὃ μὲν ἀλλὰ καὶ τοὺς κλάδους, οὓς οἱ μῦσαι φέρουσι. μέμνηται δὲ Ξενοφάντης ὁ Σιλλοῖς ὕτως·

Ἐσθὴς δ' ἐλάται πυκινὸν ἐφὶ δῶμα.

ἔστι δὲ καὶ στεφάνης εἶδος, ὡς Νίκανδρος ὁ τῷ ἐφὶ τῶν γλωσσῶν ἱστορεῖ· φησὶ γὰρ ὕτω·

Βακχοῖσι κεφαλὰς περιανθέσιν ἐσέψαντο.

καὶ Βάκχον, κλωνθμὸν, Φοίνικες. Βάκχος δὲ καὶ Βρόμιος καλεῖται, διὰ τὸ τοὺς πατοῦντας τὸν οἶνον, ἐκβλίβειν τοῖς ποσὶν αὐτῶν, καὶ ῥώτους χρῆσθαι· εἶτα καὶ τοὺς ἕως μέθης μὴ ταῦτα χρωμένους ἀφιέναι ταῖς ὁπὶ τοῖς πότοις παιδιαῖς. Βάκχαι δὲ, καὶ Σάτυροι, καὶ Πᾶνες, καὶ Σειληνοὶ, ὀπαδοὶ Βάκχου· καὶ Βασσάραι, αἱ τοῦ Βάκχου τροφοί· διὰ τὸ βάσιν ἐπ' ἀρᾶ ποιεῖσθαι τὸ μανιῶδες, καὶ Λυδαὶ, καὶ Μαινάδες, καὶ Μιμάλλονες, δαιμόνιά τινα τιθῆναι Βάκχου. εἰς ἀμπέλους δὲ ἀλληγορικῶς μεταλαμβάνοντο· τὰς τέχνας καταχεχυμένας, καὶ ἄλλα τινὰ ποιοῦσαι φίλα τῷ Βάκχῳ· κιττῷ, φασὶ, στεφανοῦσθαι, καὶ ἀμπέλῳ, καὶ κατέχουσαι χερσὶν αἱ μὲν ἐγχειρίδια, αἱ δὲ, ὄφεις. τοῦτο δὲ ὡρὸς αἴνιγμα τοῦ καὶ θηριώδεις καὶ φοινικοῦς εἶναι τοὺς μεθύοντας. ἰστέον δ' ὅτι εἰς οἶνον ἀλληγορεῖται ὁ Διόνυσος· ἀφ' οὗ καὶ τὸ διονυσιάζειν, συμποσιακὴ λέξις ἀπὸ Πλάτωνι· οἷον, πάντα τὸν βίον ἐδιονυσίαζεν, ἤγουν ἐφὶ οἶνον ἠχολεῖτο. ἄλλοι δὲ λέγουσι Βρόμιον λέγεσθαι τὸν Διόνυσον, ἀπὸ τὸν βρόμον· ὁ γὰρ τῆς Σεμέλης κεραυνωθέντος, ἡρπάγη ὑπὸ τοῦ Ἑρμοῦ καὶ βέλεσιν τοῦ Διὸς, ἐκ μέσου τοῦ πυρὸς, βρόμῳ καὶ ἤχῳ βροντῆς· ἢ ὅτι μετὰ τυμπάνων καὶ βρόμων, ἤγουν ἤχων, οἱ ὄρεσι σὺν Βάκχαις καὶ Σατύροις καὶ Σειληνοῖς ἐπόμπευον.

ΠΕΡΙ ΒΡΙΜΟΥΣ.

Βριμὼ, καὶ Ὀβριμὼ, ἡ Περσεφόνη. Ἀπολλώνιος·

Βριμὼ νυκτίπολον, φθονίην ἐνέροισιν ἄνασσαν.

Φασὶν Ἑρμῆν ἐραθέντα ἐπὶ κωμηγεσίαν ἐξιέναι θελῆσαι βιαίως μιχθῆναι· ἡ δὲ ἐνεβριμήσατο· ὁ δὲ φοβηθεὶς, ἀπετράπη, καὶ

ἐν-

ἐνλεῦθεν Βριμὼ προστηγορεύθη· ἢ διὰ τὸ φοβερὸν καὶ καταπληκτικὸν τῆς δαίμονος, καὶ φάσματα ἐπιπέμπειν τὰ καλούμενα Ἐκαταῖα· ἐπὶ πολλάκις αὐτὰ μεταβάλλειν τὸ εἶδος, διὰ τὸ Ἔμπουσαν καλεῖσθαι· ἢ ὠδῆς τὸν βρόμον, τὸν τοῦ πυρὸς ψόφον·

Τόσσος γὰρ πέλεται βρόμος.

ἢ γὰρ θεὸς λαμπάδοχος· τὸ δὲ ΒΡΙ ἐπιτάσεώς ἐστιν· ὡς τὸ βριήπυος, ὄβριμος Ἄρης. ἢ Βριμὼ, ἡ μεγάλως ἔχουσα μῆνιν, βεμμηνίς τις οὖσα.

ΠΕΡΙ ΒΕΛΛΕΡΟΦΟΝΤΟΥ.

Βελλεροφόντης ὁ Κορίνθιος, ὁ καὶ Ἱππόνους προσηγορευμένος, ἀνὴρ ὑπάρχων Φρυγίας, ἄκων ἀνελών τινα Βέλλερον, ἢ τὸν ἴδιον ἀδελφὸν Ἡλιάδην, ἢ Πυρήναν, ἢ Ἀλκίμηνον. ἐλθὼν εἰς Ἄργος πρὸς Προῖτον, καθαίρεται. Ἄντεια δὲ, ἡ Σθενέβοια, γυνὴ Προίτου, ἐρωτικῶς ἐπεμάνη Βελλεροφόντῃ. ὡς δὲ οὐκ ἐπείθη συγγενεσθαι αὐτῇ, διαβάλλεται παρ' αὐτῆς Προίτῳ, ὡς πειράζων αὐτοῦ· Προῖτος δὲ αὐτοχειρίᾳ τοῦτον ἀνελεῖν οὐκ ἠθέλησε, κατά τε παλαιὸν ἦθος ἐπικρατοῦν, τὸ μὴ συμφαγόντας ἀλλήλοις παρ' ἀλλήλων θνήσκειν, εἰ μὴ ἄκουσίως συμβῇ. διὰ τοῦτο δὲ Προῖτος ἀνελεῖν Βελλεροφόντου οὐκ ἠθέλησε· πέμπει δὲ αὐτὸν εἰς Λυκίαν πρὸς Ἰοβάτην τὸν πενθερὸν αὐτοῦ, γράμματα δοὺς κατ' αὐτοῦ περιέχοντα τὴν τῆς αἰτίας διαβολήν. καὶ Ἰοβάτης ὁμοίως ἡμέρας ἐννέα σωφρονισασάμενος αὐτὸν, τῇ δεκάτῃ τὰ γράμματα δεξάμενος, ἐπειδὴ μηδ' αὐτὸς εἶχεν αὐτὸν ἀνελεῖν, διὰ τὸ συμφαγεῖν μετ' αὐτοῦ, κελεύει τοῦτον ἀπελθεῖν, καὶ πολεμῆσαι Χιμαίρᾳ, εἶτα Σολύμοις, εἶτα Ἀμαζόσιν. οἱ θεοὶ δὲ τούτῳ ἐπιπρωμήσιον ἵππον, ὃν φασι Πήγασον, ἀπέστειλαν· ᾧ ἐποχηθεὶς, τὴν Χίμαιραν μὴ ἀνεῖλε, μόλιβδον τῷ αὐτοῦ δόρατι ἐπιτιθεὶς, καὶ ἐμβαλὼν τῷ ἐκείνης πυρπνέοντι στόματι, ἀφ' οὗ πυρὸς ὁ μόλιβδος σωτακεὶς, ἐκείνην ἀπέκτεινεν· ἣν γὰρ προϊδόντα τινὰ τὸ πῦρ τῆς Χιμαίρας φυλάξασθαι, καθά φησι Λυσίας ὁ ῥήτωρ. μυθικῶς ὅτως ἂν ἐκείνην ἀνεῖλε, τούς τε Σολύμους, καὶ τὰς Ἀμαζόνας πολέμῳ. ὑποτρέφοντα δὲ ἐνέδρᾳ Λυκίων ἔμελλεν αὐτὸν ἀνελεῖν· ὡς δὲ καὶ τοὺς ἐν ἐνέδρᾳ ἀνεῖλεν, Ἰοβάτης γαμβρὸν ἔσχεν ἐπὶ Φιλονοΐᾳ τῇ θυγατρὶ αὐτοῦ· καὶ τελευτῶν αὐτῷ τὴν βασιλείαν καταλιμπάνει. Βελλεροφόντης δὲ, ὥς φασί τινες, ἐπαρθεὶς τοῖς κατορθώμασιν, ἠθέλησε σὺν τῷ Πηγάσῳ τὸν οὐρανὸν ἐπολεῦσαι· Ζεὺς δὲ οἶστρον τῷ Πηγάσῳ βαλὼν, ἐπε-

σε

σε τὸν Βελλεροφόντιν ἀποστρεῖσαι τῶν ἑαυτῦ νώτων, καὶ καταβαλεῖν αὐτὸν εἰς γῆν. καὶ δὴ περὶ τὸ Ἀλήϊον πεδίον καπνεχθέντος τῦ Βελλεροφόντυ, καὶ παραπορευομένυ χωλὸς ἀπὸ τῆς πτώσεως, ὁ Πήγασος ἄνω πετεπωχεῖτο καὶ κάτω. ἡ γῦν Ἡμέρα τῦτον περὶ τῦ Διὸς αἰτεῖται, ὡς ἂν ἐποχεμένυ αὐτῷ τὸν ἡμερήσιον κύκλον βαδίζῃ. ταῦτα μὲν εἰσὶ τὰ περὶ Βελλεροφόντυ μυθικῶς λεγόμενα· τὰ δὲ περὶ τῆς Χιμαίρας τάδε· ὅτι ὄν Γαταίροις ὄρος ἐστὶν ὂν ᾧ θηρίον Ἀμισοδάρυ· ὃ ἔμπροσθεν μὲν ἦν λέων, ὄπιθε δὲ δράκων, μέση δ' χίμαιρα· ἐξ ἧς πῦρ ὂν τῦ στόματος ἀνεδίδοτο, καὶ ἐλυμαίνετο τὴν χώραν καὶ πάντας τὺς παριόντας. ὕστερον δὲ ἐλθὼν ὁ Βελλεροφόντης, ἐπεχνάσατο, καὶ τῷ δόρατι περιθεὶς σφαῖραν μολίβδυ, ἐνέβαλεν εἰς τὸ στόμα τῆς χιμαίρας. ἐλύθη δὲ ὑπὸ τῦ πυρὸς ὁ μόλιβδος καὶ ἐχώνευσε τὰ σπλάγχνα αὐτῆς, καὶ ὕτως ἀπεκτάνθη ἡ Χίμαιρα. ἀλλὰ ταῦτα μὲν μυθώδη· τὸ δ' ἀληθὲς ὕτως ἔχει· Βελλεροφόντης ἦν Φρύγιος ἀνὴρ, τὸ γένος Κορίνθιος, καλὸς κἀγαθός· ὃς πλοῖον κατασκευάσας μακρὸν, ἐληίζετο τὰ παραθαλάσσια χωρία· ὄνομα δὲ ἦν τῷ πλοίῳ Πήγασος, ὡς καὶ νῦν ἕκαστον σχεδὸν τῶν πλοίων ὄνομα ἔχει· μᾶλλον δὲ δοκεῖ πλοίῳ, ἢ ἵππῳ, ὄνομα εἶναι Πήγασος. Βασιλεὺς δὲ Ἀμισόδαρος ᾤκει ἐπὶ Ξάνθῳ τῷ ποταμῷ· ὄρος δὲ ἦν ὑψηλὸν παρ' αὐτῷ, ᾧ ὄνομα Τελμισσός· παρὸς ὁ δὴ ὄρος παροβάσεις εἰσὶ δύο ἔμπροσθεν μὲν πόλεως τῶν Ξανθίων, τελευτὴ δὲ ὄπιθεν τῆς Καείας, τὰ δ' ἄλλα κρημνός. ὂν δὲ τῷ μέσῳ αὐτῶν χάσμα βαθὺ τῆς γῆς μέγα, ἐξ ὃ δὴ καὶ πῦρ ἀναδίδοται. ἐπὶ τύτοις δέ ἐστιν ἕτερον ὄρος, ᾧ ὄνομα Χίμαιρα· τότε δὲ ἦν, ὡς λέγυσιν οἱ προσχώριοι, καὶ μὲν τὴν παροβάσιν οἰκῶν, λέων ἔμπροσθεν, ὄπιθεν δὲ δράκων, οἱ δὴ καὶ ἔσινον τὺς νομέας, καὶ τὺς ὑλοτόμυς. τότε δὴ καὶ Βελλεροφόντης ἐλθὼν, τὸ ὄρος ἐνέπρησε, καὶ ἡ Τελμισσὸς κατέκαη, καὶ τὰ θηρία ἀπώλετο. ἔλεγον ὖν οἱ προσχώριοι, Βελλεροφόντιν ἀφικόμενον μὲν Γήγασι, τὴν Ἀμισοδάρυ χίμαιραν ἀπολέσαι· τύτυ ὖν γενομένυ, προσανεπλάσθη ὁ μῦθος. ἡ δὲ ἀληθεία Γήγασον οἶδε τὸν συγκεκραμένον θυμὸν, ὃς ἔχει συγκεκραμένον τὸ ἄλογον μέρος τῷ λογικῷ. Βελλεροφόντιν δὲ, τὸν ἀναιρῦντα τὰ θανάσιμα, καὶ τὸ ὂν τῇ ἔρᾳ βάλλειν, τὰ βάλλοντα εἰς τὴν γῆν. καὶ ἄλλως, βέλλερα τὰ καλὰ λέγονται· Βελλεροφόντης ὖν, ὁ προνοούμενος πάντων τὰ καλά· τὴν δὲ χίμαιραν, τὸν καθόλυ κακίαν, ἡ ἐχθύνησε τὴν μερικήν· καὶ τὸν λέοντα, φανερὸν καὶ ὀξὺν θυμόν· τὸν

δράκοντα δὲ, θυμοῦ ποικιλώτερον. ἢ, τὸν Χίμαιραν, τὸν μεικτὸν θυμοῦ, καὶ μέσον, καὶ κεκραμμένον. ὅτι δὲ ὁ Βελλεροφόντης καὶ Βελλεροφῶν τετρασυλλάβως λέγεται, ποιητὴς ὁ Περδίκης δηλοῖ· δῆλον δὲ, ὡς ἐκ τοῦ Βελλεροφόων καὶ σιωπήσεται, ὡς Ξενοφόων Ξενοφῶν· δῆλον δὲ ὅτι καὶ Βελλεροφόντιον τὸν ἱσόρροπον λίνες καλοῦσι, καὶ Βέλλερον, ἀπὸ Λεοφόντιον· ἀνελόντα δὲ Βέλλερον δωδεκάτιον Κορινθίων, μεταθέσει τὸ ὄνομα.

ΠΕΡΙ ΤΟΥ ΤΗΣ ΒΕΡΕΝΙΚΗΣ ΠΛΟΚΑΜΟΥ.

Βερενίκη γυνὴ ἦν τοῦ ἐν Ἀλεξανδρείᾳ Πτολεμαίου τοῦ Εὐεργέτου καλουμένου. τοῦ δὲ ἀνδρὸς αὐτῆς τοῦ Πτολεμαίου ὄντος ἐν τῷ πολέμῳ, ηὔξατο, ὅτι, εἰ σωσθείη ἄτρωτος, τὸν πλόκαμον ἀποκείρασα τὸν ἑαυτῆς, ἀναθήσει ἀνάθημα ἐν τῷ ἱερῷ· καὶ ἀνέθηκεν ἡ Βερενίκη. ἦν δέ τις ἐπὶ τοῦ αὐτῆς χρόνων ἀστρονόμος Κώνων καλούμενος, ὃς πρὸς κολακείαν αὐτῆς ἔφησεν, ὅτε οἱ Θεοὶ τὸν πλόκαμον τοῦτον ἐν ἄστροις ἀνέθηκαν· καὶ οὕτω κατεστέρισε τῆς Βερενίκης τὸν πλόκαμον. τοῦτο δὲ καὶ μυρίοι ἕτεροι πεποιήκεσαν σοφώτατοι ὄντες· καὶ πολλὰς ἄνδρας τε καὶ γυναῖκας πρὸς κολακείαν, ἢ μυθικῷ τινι τρόπῳ, ἐν τοῖς ἄστροις κατεστέρισαν.

ΠΕΡΙ ΒΗΛΟΥ.

Βῆλος, υἱὸς Διὸς, βασιλεὺς Βαβυλῶνος· ἀφ' οὗ καὶ αἱ πύλαι Βαβυλῶνος, Βηλίδες ὠνομάσθησαν· ἢ καὶ αὐτὸς ὁ Ζεὺς, κατά τινας, Βῆλος λέγεται· διὸ καὶ Ἡρόδοτος ἱερὸν λέγει Βήλου Διὸς εἶναι ἐν τῇ Περσικῇ Βαβυλῶνι. τινὲς δὲ Βαβυλῶνα κτίσμα εἶναι, Βαβυλῶνος, ἀνδρὸς σοφωτάτου, παιδὸς Μήδου, καὶ Σεμιράμιδος, λέγουσιν· ἀλλ' εἶναι ἀρχαιοτέραν τινὰ πόλιν τῆς Σεμιράμιδος ἔτεσι χιλίοις ὀκτακοσίοις, βασιλίσσης γενομένης μετὰ ταῦτα σοφῆς τε καὶ σωφρονεστέρας· σωφρονεστέραν δὲ αὐτῆς τινὰ Νίτωκριν, Βαβυλῶνος καὶ αὐτὴν βασιλεύσασαν. ἄλλοι δὲ ὧδε τῆς Βαβυλῶνος τοιαῦτά τινα ἱστοροῦσιν, ὅτι Νίνου τοῦ Σύρων βασιλέως τὴν Νινευὶ κτίσαντος, ἡ τούτου γυνὴ τὸν ἄνδρα ὑπερβαλλομένη, Βαβυλῶνα ἐν τῷ πεδίῳ κτίζει, ἐξ ὀπτῆς πλίνθου καὶ ἀσφάλτου, καὶ λίθων λαξευτῶν, τειχήρεων μὲν τὸ πλάτος, ἑξαπήχεων δὲ τὸ μῆκος· καὶ περίμετρον αὐτῇ διεγράψατο σταδίων πϛ΄· τὸ δὲ τεῖχος εἰς ὕψος ἀνέτεινε πεντήκοντα πήχεων· οὗ τὸ πάχος εἰς τεσσαράκοντα πήχεως διέστησεν, ὡς καὶ τέθριππα ἐπ' αὐτοῦ ἐναντιδρομεῖν ἀλλήλοις. καὶ πύργους ταῖς πύλαις ἐπέστησεν ὑψηλοὺς, χαλκᾶς τε

πύ-

πύλας ποιήσασα, εἰς ὕψος τε ἀναπεπομφυίας πολὺ, καὶ εἰς πλάτος ἀξιόλογον. ἔκτισε δὲ καὶ δεξαμενὴν μεγάλην, ἣ κῆπον ἐπήγειρε θαυμαστὸν, ἐπιλεγόμενον κρεμαστὸν, ὃς τετράπλευρος μὲν ἦν, ἑκάστην δὲ πλευρὰν εἶχε τετράπλεθρον· καὶ ἦν ἓν τῶν ἑπτὰ κοσμικῶν θεαμάτων.

ΠΕΡΙ ΒΟΡΕΟΥ.

Βορέας, βασιλεὺς ἦν Θρᾴκης· οὗτος ἥρπασέ ποτε Ὠρείθυιαν τὴν τοῦ Ἐρεχθέως βασιλέως Ἀττικῆς· εἰ καὶ ὁ μῦθος, διὰ τὴν ὁμωνυμίαν, ἀπανασήσας τῆς γῆς τὸν ἄνθρωπον ἐξηνέμωσε· καθὰ καὶ Αἰδωνεὺς βασιλεὺς μὲν ἦν, ὡς οἱ ἀκριβέστεροί φασιν, Ἠπείρου τῆς ἐν Μολοσσοῖς, ὡρὸς ὃν καὶ Περσεύθης ἦλθε, καὶ Θησεὺς, διὰ τὸν Γερσεφόνην· ἀλλὰ δὴ καὶ ὁ Ἡρακλῆς, διὰ τὸν Κέρβερον κύνα πολλοῦ ἄξιον. ὅμως δὲ καὶ ἐκεῖνος ὁ Αἰδωνεὺς δι' ὁμοιότητα κλήσεως, εἰς τὸν Ἅιδου μεταλαμβάνεται, καὶ εἰς τὸν ὑπὸ γῆν τοῖς μυθογράφοις μετατίθεται Πλούτωνα. Ἑρμείας δὲ ὁ Πλατωνικὸς βασιλικὸν παῖδα τὸν Ὠρείθυιαν καὶ κρημνοῦ ὑπονοεῖ ὠσθῆναι ἀνέμῳ Βορρᾷ· καὶ τούτῳ τῷ τρόπῳ λεχθῆναι ἁρπασθῆναι αὐτὸν ὑπὸ τοῦ Βορρᾶ.

ΠΕΡΙ ΒΡΙΑΡΕΩ.

Βριάρεως, κατὰ μὲν Ἡσίοδον, Οὐρανοῦ καὶ Γῆς παῖς ἐστι· ὁ αὐτὸς δὲ Βριάρεως, καὶ Αἰγαίων, καὶ Γύγης, σιωνύμως· κατὰ δὲ Εὐμηλον, Γῆς καὶ Πόντου. οὗτος καὶ Κόττῳ ἑκατὸν χεῖρας ἐχθρικὸς, μετὰ τῶν Θεῶν ἐπολέμησαν ὡρὸς τοὺς Γίγαντας. Ἴων δέ φησιν τὸν Βριάρεων ὑπὸ τοῦ πελάγους ἀναληθέντα ὑπὸ Θέτιδος ἀναχθῆναι, φυλάξοντα τὸν Δία θαλάσσης ὄντα παῖδα. ἄλλοι δὲ θαλάσσιον θηρίον φασὶ τοῦτον· τὸ δ' ἀληθὲς οὕτως ἔχει· τῇ πόλει ἐν ᾗ ὠκουν Κόττος καὶ Βριάρεως ὄνομα Ἑκατονταχειρία· ἦν δὲ πόλις τῆς νῦν καλουμένης Ὀρεσιάδος. ἔλεγον δὲ οἱ πολῖται, ὅτι Κόττος, καὶ Βριάρεως, καὶ Γύγης, οἱ ἑκατοντάχειρες, βοηθήσαντες τοῖς Θεοῖς, αὐτοὶ ἐξήλασαν τοὺς Γίγαντας ἐκ τοῦ Ὀλύμπου.

ΠΕΡΙ ΤΗΣ ΒΡΙΖΟΥΣΗΣ.

Βριζὼ λέγεται εἶναι μάντις ἐν Ὑπνῳ· ἧς αἱ Δηλιάδες, ἦγον αἱ κατὰ τὸν Δῆλον νῆσον γυναῖκες, θύουσαι, φοροφέρουσαι σκάφας πλήρεις ἁπάντων ἀγαθῶν, διὰ τὸ εὔχεσθαι αὐτὸν καὶ ὑπὲρ πλοίων σωτηρίας.

ΠΕΡΙ ΒΙΑΝΤΟΣ.

ΒΊας, ἀδελφὸς Μελάμποδος.

ΠΕΡΙ ΒΡΟΝΤΟΥ.

ΒΡόντης υἱὸς Οὐρανοῦ καὶ Γῆς· οὗτος μυθεύεται τὰς τοῦ Διὸς κεραυνὰς χαλκεύειν μετὰ τοῦ ἰδίου ἀδελφοῦ Σπρόπου.

ΠΕΡΙ ΒΑΚΙΔΩΝ.

ΒΆκιδες τρεῖς ἐγένοντο· ὧν ὁ πρεσβύτατος, ἐξ Ἐλεῶνος τῆς Βοιωτίας· ὁ δὲ δεύτερος, Ἀλτικὸς, καὶ μάντις, ὃν καὶ Ἀεισοφάνης μέμνηται· καὶ ὁ τρίτος Ἀρκὰς, ἀπὸ πόλεως Καρύης, ὃς καὶ Κύδας ἐκαλεῖτο, καὶ Ἀλήτης, ὡς φησι Φιλήτας ὁ Ἐφέσιος. Θεόπομπος δὲ ἐν τῇ ἐννάτῃ τῶν Φιλιππικῶν, ἄλλα τε πολλὰ περὶ τούτου τοῦ Βάκιδος ἱστορεῖ παράδοξα, καὶ ὅτι ποτὲ τῶν Λακεδαιμονίων τὰς γυναῖκας μανείσας ἐκάθηρεν, Ἀπόλλωνος τούτοις τοῦτον καθαρτὴν δόντος.

ΠΕΡΙ ΒΆΤΤΟΥ.

ΒΆττος βασιλεὺς Λίβυς, ὃς δοκεῖ παροιμίαν δοῦναι τῷ βαττολογεῖν. οὗτος Κυρήνην ἔκτισεν, ἐλθὼν ἀπὸ Θήρας τῆς πρὸς Κρήτην νήσου· ὃν τιμήσαντες Λίβυες, ἐχαρίσαντο αὐτῷ τὸ κάλλιστον τῶν λαχάνων, τὸ σίλφιον· καὶ ὃν νομίσμασιν αὐτὸν ἐχάραξαν, τῇ μὲν βασιλείαν, τῇ δὲ σίλφιον, σημεῖα τῆς πόλεως δεχόμενον. ἄλλως· Βάττος ὁ Λιβύη Κυρήνην ἔκτισε, κατὰ τὸν δοθέντα αὐτῷ παρὰ τοῦ Ἀπόλλωνι χρησμόν· καὶ οἱ πολῖται οἱ Κυρηναῖοι ἀνταπόδοσιν εὐεργεσίας βουλόμενοι χαρίσασθαι τῷ βασιλεῖ, ἐποίησαν εἰκόνα· ὡς δέ τινες, δακτύλιον· ἐν ᾧ ἡ πόλις αὐτῶν προσφέρει τῷ βασιλεῖ τὸ σίλφιον, τιμιώτατον βοτάνιον· ἐκ τοῦ φύλλου δὲ αὐτοῦ, καὶ ὁ καρπὸς, καὶ ὁ κλάδος, καὶ ὁ ὀπὸς, καὶ ἁπλῶς τὸ πᾶν αὐτοῦ πολλῆς τιμῆς ἄξιόν ἐστι. καὶ οἱ Ἀμπελιῶται δὲ, ἔθνος Λιβύης, εἰς Δέλφους ἀνέθεσαν κανοῦν σιλφίου, ὥς φησιν Ἀλεξανδρίδης.

ΠΕΡΙ ΒΉΡΟΥ.

ΒῆΡος, στρατηγὸς Ῥωμαίων· οὗτος οὐκ ἦν κατεσπουδασμένος, ἀλλὰ μέθης νόσῳ ἀνεπιμελὴς ὢν τοῦ ἐπιπλέοντος, καὶ ἀπ' αὐτοῦ θράσει ἀπερισκέπτῳ ἐσαεὶ εἶχετο.

ΠΕ-

ΠΕΡΙ ΒΑΣΙΛΙΚΟΥ ΤΟΥ ΣΟΦΙΣΤΟΥ.

ΒΑσιλικὸς, σοφιστής· ϖερὶ τῶν διὰ τῶν λέξεων σχημάτων, ϖερὶ ῥητορικῆς ϖαρασκευῆς, ἤτοι ϖερὶ ἀσκήσεως· ϖερὶ μεταποιήσεως ἔγραψε, καὶ ϖερὶ ἄλλων πολλῶν ῥητορικῶν.

ΠΟΙΗΤΑΙ.

ΠΕΡΙ ΒΑΚΧΥΛΙΔΟΥ.

ΒΑκχυλίδης Κεῖος, ἀπὸ Κέω πόλεως Ἰουλίδος, συγγενὴς Σιμωνίδου τοῦ Λυρικοῦ· ἢ αὐτὸς Λυρικός.

ΠΕΡΙ ΒΑΤΤΩΝΟΣ.

ΒΑ΄ττων κωμικός· δράματα αὐτοῦ Σωσεξαπατῶν, Ἀνδροφόνος, Εὑρυγέται.

ΦΙΛΟΣΟΦΟΙ.

ΠΕΡΙ ΒΑΡΩΝΟΣ.

ΒΑρωὶ καὶ Δημοὶ, ὀνόματα σοφῶν γυναικῶν· ἐξένισεν ἡ Βαρῶνι τῷ Δημοῖ.

ΠΕΡΙ ΒΩΛΟΥ.

ΒΩ΄λος Δημοκειτικὸς φιλόσοφος, σωτέθηκε τέχνῃ ἰατρικῇ· ἔχει δὲ ἰάσεις φυσικὰς ἀπό τινων βοηθημάτων τῆς φύσεως.

ΠΕΡΙ ΒΙ΄ΑΝΤΟΣ.

ΒΙ΄ας Τευτάμα, Πριηνεὺς, εἷς τῶν ἑπτὰ σοφῶν. τοῦτον λέγουσιν, Ἀλυάττου πολιορκοῦντος Πριήνην, πιήναντα δύο ἡμιόνους, ἐξελάσαι εἰς τὸ στρατόπεδον· τὸν δὲ Ἀλυάττην σωισθέντα, καταπλαγῆναι μέχρι τῆς ἀλόγων διατάσεων αὐτῶν τῷ εὐθηνείᾳ, καὶ ἐβουλήθη σπείσασθαι, καὶ εἰσέπεμψεν ἄγγελον. Βίας δὲ σωρὸς ψάμμου χέας, καὶ ἄνωθεν σῖτον πυρίχεας, ἔδειξε τῷ ἀνθρώπῳ· καὶ τίλος μαθὼν ὁ Ἀλυάττης, εἰρήνην ἐσπείσατο πρὸς τοὺς Πριηνέας. θάττον δ' αὐτῷ πέμψαντι πρὸς τὸν Βίαντα ἵνα ἥκῃ παρ' αὐτὸν, ἐγὼ δὲ, φησὶν, Ἀλυάττῃ κελεύω κρώμμυα ἐσθίειν, ἴσον τῷ κλαίειν. λέγεται δὲ καὶ δίκας δεινότατος γεγονέναι εἰπεῖν· ἐπ' ἀγαθῷ μὲν

μβύτοι τῇ τῶν λόγων ἰσχύϊ προσεχρῆτο. ὅθεν καὶ Δημόδικος ὁ Ἀλείειος τοῦτο αἰνίττεται λέγων· ἢν τύχῃς κείνων, δικάζευ τῷ Γερηνίῳ δίκῃ. καὶ Ἱππώναξ· ἃ δὲ δικάζεαι Βίαντος τοῦ Γερηνέως κρεῖσσον. τοῦτον δὲ καὶ ἐπλεύτα τὸν τρόπον· δίκῃ γὰρ ὑπέρ τινος λέξας ἤδη ὑπέργηρως ὑπάρχων, μὴ τὸ καταπαῦσαι τὸν λόγον, ἀπέκλινε τῷ κεφαλῷ εἰς τὰς τοῦ τῆς θυγατρὸς υἱοῦ κόλπους· ἐπύντος δὲ τοῦ ἐξ ἐναντίας, τῶν δικασῶν τῷ ψῆφον ἐνεγκόντων τῷ ὑπὸ τοῦ Βίαντος βοηθουμένῳ, λυθέντος τοῦ δικαστηρίου, νεκρὸς ὂν τοῖς κόλποις εὑρέθη· καὶ αὐτὸν μεγαλοπρεπῶς ἔθαψεν ἡ πόλις· καὶ ἐπέγραψαν·

Κλεινῆς ὦ δαπέδοισι Γερήνης φύντα καλύπτει
Ἥδε Βίαντα πέτρα, κόσμον Ἴωσι μέγαν.

ΠΕΡΙ ΒΩΛΟΥ ΤΟΥ ΠΥΘΑΓΟΡΕΙΟΥ.

Βῶλος, Μενδήσιος, Πυθαγόρειος· ἔγραψε περὶ τῆς ἀναγνώσεως τῶν ἱστοριῶν εἰς ἐπίσασιν ἡμᾶς ἀγαγόντων· περὶ θαυμασίων φυσικὰ δυσαμερά· ἔχει δὲ περὶ συμπαθειῶν καὶ ἀντιπαθειῶν λίθων καὶ στοιχείων· περὶ σημείων τῶν ἐξ ἡλίου καὶ σελήνης, καὶ ἄρκτου, καὶ λύχνου, καὶ ἴριδος.

ΠΕΡΙ ΒΙΩΝΟΣ.

Βίωνες, γενόμενοι, δέκα· πρῶτος, ὁ Φερεκύδει τῷ Συρίῳ συνακμάσας, οὗ φέρεται βιβλία δύο· ἔστι δὲ Προικοννήσιος. δεύτερος, Συρακούσιος, τέχνας ῥητορικὰς γεγραφώς. τρίτος, Δημοκρίτειος μαθηματικός, Ἀβδηρίτης, Ἀτθίδι γεγραφὼς καὶ Ἰάδι. οὗτος πρῶτος εἶπεν εἶναι τινὰς οἰκήσεις, ἔνθα γίνεται ἐξ μηνῶν τοῦ νύκτα, καὶ ἐξ τοῦ ἡμέραν. τέταρτος, Σολεύς, Αἰθιοπικὰ γεγραφώς. πέμπτος, ῥητορικός· οὗ φέρεται ἐννέα βιβλία, Μισῶν ἐπιγραφόμενα. ἕκτος, μελικὸς ποιητής. ἕβδομος, Μιλήσιος ἀνδριαντοποιός, οὗ μέμνηται καὶ Πολέμων. ὄγδοος, ποιητὴς τραγῳδίας τῶν Ταρσικῶν λεγομένων. ἔνατος, ἀγαλματοποιὸς Κλαζομένιος, ἢ Χῖος, οὗ μέμνηται καὶ Ἱππώναξ. δέκατος, ὁ Βορυσθενίτης φιλόσοφος, τὰ μὲν ἄλλα πολύτροπος καὶ σοφιστὴς ποικίλος, καὶ πλείσας ἀφορμὰς δεδωκὼς τοῖς βυλομένοις καθιππάζεσθαι φιλοσοφίας· ἔν τισι δὲ καὶ πότιμος· καὶ ἀπολαῦσαι τύφου δυνάμενος· πλεῖστά τε καταλέλοιπεν ὑπομνήματα, ἀλλὰ καὶ ἀπαφθέγματα χαριέντως πραγματείαν ἔχοντα.

ΠΕ-

ΠΕΡΙ ΤΟΥ ΒΟΥΘΟΊΝΑ.

ΒΟυθοίνας ἐκλήθη ὁ Ἡρακλῆς διὰ τοιαύτην αἰτίαν· τὴν Δρυόπιδα γὴν παρὴν βαστάζων καὶ τὸν υἱὸν αὐτῆ Ὕλλον· εἶτα πεπεινακότος τῆ Ὕλλε, ἐ αἰτοῦντος τροφὴν τὸν πατέρα, ἀροτειῶντα, λεγόμενον Θεοδάμαντα, εὗρεν ὁ Ἡρακλῆς, κὴ ἠτήσατο αὐτὸν δοῦναι αὐτῷ ἄρτον· ὁ δὲ οὐκ ἔδωκε, ἀλλὰ κὴ ὕβρισε τὸν Ἡρακλέα· εἶτα ὁ Ἡρακλῆς ἕνα τῶν ἀροτειώντων βοῶν λαβὼν, ἔσφαξε, καὶ ἐθοινήθη καὶ αὐτὸς, κὴ ὁ υἱὸς αὐτῆ· ἐ ἐκλήθη διὰ τὴν αἰτίαν ταύτην Βουθοίνας· ἐπειδὴ ὅλον ἐθοινήθη τὸν βοῦν, ἔνθεν αὐτῷ τῷ Ἡρακλεῖ γέγονεν ὁ ϖρὸς τοὺς Δρύοπας πόλεμος· τῆ γὰ Θεοδάμαντος ἀνελθόντος εἰς τὴν πόλιν, κὴ εἰπόντος ὡς πολέμιος ἦλθεν εἰς τὴν χώραν ἡμῶν, λέγων ϖερὶ τῆ Ἡρακλέους, ἐξῆλθον κατ' αὐτῆ· καὶ νενίκηκε πάντας ὁ Ἡρακλῆς.

Γ

ΠΕΡΙ ΓΑΓΓΟΥ ΤΟΥ ΔΕΚΑΠΗΧΕΩΣ.

ΓΑγγης, βασιλεὺς Αἰθιόπων, ὃν ἀπέκτεινεν Ἀλέξανδρος, δεκάπηχυν τὸ μῆκος· τὴν δὲ ὥραν, οἷος ὕϖω λίς ἀνθρώπων. Ποταμῆ δὲ Γάγγα παῖς, ὡς ὁ μῦθος.

ΠΕΡΙ ΓΑΝΥΜΗΔΟΥΣ.

ΓΑνυμήδης υἱὸς ἦν Τρωός· ὃν χρυσῆν τινα ἄμπελον Ζεὺς ἐχαρίσατο ἀντὶ Γανυμήδους. Πείσαντος δὲ ϖῶ διαδοχῆς ἐλθεῖν εἰς αὐτὸν, ϖέμϖει ἐπὶ συμμαχίᾳ τὸν υἱὸν, φάμενον, ἐπὶ τῇ μητρὶ κεῖσθαι τὴν εἰς πόλεμον ἐξέλευσιν αὐτῆ· ἵνα δηλοῖ ὁ λόγος, ὡς διὰ γυναικὸς δωροδοκίαν ὁ Εὐρύπυλος συνεμάχησεν. τῆ δὲ Γανυμήδους ἡ ἁρπαγὴ, ἄωρον αἰνίττεται τῆ παιδὸς θάνατον, ὁποῖα πολλὰ οἱ μῦθοι πλάττουσι. τινὲς δέ φασιν ἀπὸ τῆ Ταντάλου αὐτὸν ἁρπαγῆναι, ἐ ὑϖὸ κυνηγεσίῳ πεσεῖν, ἐ ταφῆναι ὑϖὸ τῷ Μυσίῳ Ὀλύμϖῳ. οἱ δὲ ἱστοροῦσιν, ὑϖὸ Μίνωος ἁρπαγῆναι, ἐ τὸν τῆς ἁρπαγῆς τόϖον Ἁρπαγίῳ κληθῆναι. φασὶ δὲ, ἐ ὅτι βιαζόμενος, καϖνεμήνισεν ἑαυτόν. τῷ δὲ πατρὶ ἐϖέμφθη πλάσ-

πλάσμα, ὅτι θύελλα καὶ νέφος ὑφήρπασεν αὐτὸν οἰνοχόον τῷ Διΐ· ὅτι δὲ ἐν ἄνδρες ᾠνοχόουν, δηλοῖ ἐν τοῖς μνησήρων κῶροι. ἄλλως δὲ ἀκριβέστερον φάναι· ᾠνοχόουν παρὰ τοῖς παλαιοῖς εὐγενέστατοι παῖδες, ὡς ὁ τοῦ Μενελάου υἱός· παρὰ Ῥωμαίοις δέ, φασί, παῖδες τοιούτῳ τινὶ λειτουργίαν ἐξετέλουν ἐν ταῖς δημοπλέσι θυσίαις· ἦκεν ἐν ὁ μῦθος ὅτι τὸν Γανυμήδην ποιεῖ Διὶ κιρνῶντα. Σαπφὼ δὲ ἡ καλή, τὸν Ἑρμῆν οἰνοχοεῖν φησι Θεοῖς, ἐμφαίνουσα τῷ μύθῳ εὐλόγως χρῆναι προβαίνειν τὰ συμπόσια· καὶ μὴν ἐν δίκαιον, ἣν ἡ Οὐρανικὴ Θέμις ἐμφαίνει συμπαρεῖναί τισι τοῖς οὐρανίοις δαιτυλεῦσιν. ἡ δ' αὐτὴ Σαπφὼ, ἐν τὸν Λάριχον ἀδελφὸν αὐτῆς ἐπαινεῖ, ὡς οἰνοχεύοντα τῷ Πρυτανείῳ τῆς Μιτυλήνης. καὶ Εὐριπίδης δὲ, ὃν κατάχρυσον ὁ Δίφιλος εἶπε, λέγεται οἰνοχοεῖν Ἀθήνηισι τοῖς καλλιμβόοις ὀρχησταῖς. μυθεύεται δὲ οἰνοχόος Θεοῖς Ἥβη. τοῦτο δὲ ἴσως διὰ τὸ ἡβητηρία καλεῖσθαι τὰ συμπόσια· εἰ καί ποτε ἄστεμφον σωφρονιστὴν ἡ τοιαύτη λέξις δηλοῖ. ὅτι δὲ παρὰ τοῖς Ἐφεσίοις οἱ ἐν τῇ τοῦ Ποσειδῶνος ἑορτῇ οἰνοχοοῦντες ἠίθεοι Ταῦροι ἐκαλοῦντο, ἐν τοῖς τοῦ Ἀθηναίου καὶ αὐτὴ κεῖται.

ΠΕΡΙ ΓΑΡΓΙΤΤΟΥ ΤΟΥ ΚΥΝΟΣ.

Γαργίττος, ὄνομα κυνὸς Γηρυόνου, ἀδελφὸς τοῦ Κερβέρου· ὃς τὰς βοῦς φυλάττων, ἀνῃρέθη ὑφ' Ἡρακλέους, ἐν ἔχει μνῆμα ἐν Ἰβηρίᾳ. γνώριμος δὲ ἐν Τελακὼ ἡ Γαιωνικὴ ἀνθρώπων. Πάνης δὲ αὐτὴν, ὁ Παιωνίας Σατράπης, δῶρον ἔδωκεν Ἀλεξάνδρῳ τῷ Βασιλεῖ. ὁ μὲν δὴ ὁ Μάγνης ὁ κύων, τὸ Ἱππάμωνος κτῆμα, ᾧ Λήθαργος ἐπώνυμον, οὐκ ἀνώνυμος· ὃς τῷ δεσπότῃ σωτήθαπται, καθάπερ μηνύει τὸ ἐπίγραμμα·

Ἀνδρὶ μὲν Ἱππάμων ὄνομ' ἦν, ἵππῳ δὲ Πόδαργος,
Καὶ κυνὶ Λήθαργος, ἐν θεράποντι Βάθις.

τὰ μὲν δὴ τοῦ Ἀκταίωνος κυνῶν ὀνόματα, καὶ τὴν Αἰσχύλου δόξαν, Κόραξ, Ἅρπυια, Χάρων, Λυκιτᾶς.

ΠΕΡΙ ΓΕΩΡΓΙΑΣ, ΠΩΣ ΕΥΡΕΘΗ.

Καθὼς μυθεύεται, ἡ Δημήτηρ ἔσχε θυγατέρα τὴν Περσεφόνην, ἣν ἥρπασεν ὁ Πλούτων. ἐφ' ᾗ δὴ ἡ Δημήτηρ, καὶ ζητοῦσα τὴν θυγατέρα, ἦλθεν εἰς τὴν Ἀττικήν· καὶ κατέλυσε παρὰ Τριπτολέμῳ τινὶ, ἐν κώμῃ Ἐλευσῖνι ὕστερον καλουμένῃ. μανθάνει δὲ αὐτὴ παρὰ Τριπτολέμου, ὅτι ὁ Πλούτων ἥρπασε τὴν

Περ-

Περσεφόνῃ· καὶ ὑπὲρ ταύτης τῆς εὑρεσίας δίδωσι τῷ Τριπτολέμῳ τὰ σπέρματα· λέγω δὲ σῖτον καὶ κριθήν· ὀπιλαμένη μὴ φθονῆσαι, ἀλλὰ ἐλθεῖν καὶ σκορπίσαι τὰ σπέρματα πᾶσιν ἀνθρώποις, ἵνα μάθωσι τὸ σπείρειν καὶ γεωργεῖν καὶ ἐσθίειν τὰς ἡμέρους καρπούς· πάλαι γὰρ οἱ ἀγροῖκοι ἤσθιον τὰς βαλάνους ἐκ τῶν φηγῶν· ἔνθεν ἀπὸ τῆς φηγοῦ ἐς τὸ φαγεῖν εἴρηται. λέγεται δὲ ὅτι Τριπτόλεμος λαβὼν ἅρμα δρακόντων πτερωτῶν, συμπλαβὼν καὶ τὸν Κελεόν, ὅτως ἐπλανᾶτο φιλοτιμούμενος τὰ σπέρματα.

ΠΕΡΙ ΤΟΥ ΓΗΡΥΟΝΟΥ.

Γηρυόνης γέγονε Χρυσαόρου παῖς, ἐκ Καλλιρρόης τῆς Ὠκεανοῦ. ἦν δὲ τριπλοκέφαλος τὸ σῶμα ὁ Γηρυόνης, διὰ τὸ εὐδέναι τά τε ἐσόμενα, τά τε ἐνεστῶτα, καὶ τὰ παρεληλυθότα. Στησίχορος δὲ, ἐξ ἓξ χειρας φησὶ καὶ ἐξ πόδας ἔχειν, καὶ ὑπόπτερον αὐτὸν εἶναι. ᾠκεῖ δὲ τὸν τάφον ἐκείνου δύο δένδρα μυθεύεται ἐσῶλα ὅτι καταλείβεται αἵματος.

ΠΕΡΙ ΓΛΑΥΚΟΥ.

Γλαῦκος, Ἀθηναῖος ἦν ἁλιεὺς, ὃς ἐμμανὴς γενόμενος, ἤλατο εἰς τὴν θάλασσαν· ἰχθῦν γὰρ ἁλιεύσας, καὶ ῥίψας νεκρὸν εἰς γῆν, ἴδε προσεγγίσαντα βοτάνην καὶ ἀναζήσαντα. φαγὼν δὲ καὶ αὐτὸς, γέγονεν ἀθάνατος, ἀλλ' ὑπ' ἀγήρως· καὶ ἤλατο εἰς τὸν θάλασσαν. μαντεύεται δὲ, ὡς παρ' Ὁμήρῳ Πρωτεὺς, καὶ παρὰ Πινδάρῳ, Τείτων, τοῖς Ἀργοναύταις. τὸν δὲ βοτάνην, ἧς ἐγεύσατο, φασί τινες, ἀείζωον εἶναι. καὶ Γλαύκη, ὄνομα Νηρηίδος λέγεται, διὰ τὸν ὄψιν τῶν ὑδάτων.

ΠΕΡΙ ΓΛΑΥΚΟΥ ΤΟΥ ΜΙΝΩΟΣ.

Γλάυκου τοῦ Μίνωος ἀποθανόντος ἐπὶ τῷ μέλιτι, ὁ Μίνως ἐν τῷ τύμβῳ κατώρυξε τὸν τοῦ Κοιράνου Πολύειδον, ὃς ἦν ἐκ τοῦ Ἄργους· ὃς ἰδὼν δράκοντα ἑτέρῳ δράκοντι πόαν ἐπιθέντα πεθνεῶτι, καὶ ἀναστήσαντα αὐτὸν, καὶ ὅτως τὸ αὐτὸ ποιήσας εἰς τὸν Γλαῦκον, ἀνέστησεν. ὅτως ὁ μῦθος διαλαμβάνει· ἡ δὲ ἱστορία ὅτως ἔχει· Γλαῦκος πιὼν μέλι, ἐτελεύτη. χολῆς δὲ αὐτῷ πλείονος κινηθείσης, ἐλειποθύμησεν ὁ Γλαῦκος. ἀφίκοντο δ' ὧν οἵ τε δὴ ἄλλοι ἰατροὶ, ἀπ' ὀχήματα λῃψόμενοι, ἀλλὰ δὴ καὶ Πολύειδος· ὃς ἰδὼν τὸν πόαν, ἣν ἔμαθε παρά τινος ἰατροῦ, ᾧ ἦν ὄνομα Δράκων, καὶ ταύτῃ τῇ βοτάνῃ χρησάμε-

νος, ὑγιᾶ ἐποίησε τὸν Γλαῦκον. ἔλεγον δέ τινες, ὅτι Πολύειδος τὸν Γλαῦκον, ὑπὸ μέλιτος θανόντα, ἀνέστησεν.

ΠΕΡΙ ΓΛΑΥΚΟΥ ΤΟΥ ΘΑΛΑΤΤΙΟΥ.

Ὁ Γλαῦκος δέ τινος ἄδεται ὅτι πόαν φαγὼν ποτὲ, ἀθάνατος ἐγένετο, καὶ νῦν ἐν τῇ θαλάσσῃ οἰκεῖ. ἡ δὲ ἱστορία ἔχει ὧδε· Γλαῦκος ἦν ἀνὴρ ἁλιεύς, Ἀνθηδόνιος τὸ γένος. ἦν δὲ κολυμβητὴς, ἐν τούτῳ ὑπερφέρων πάντων τῶν κολυμβητῶν. κολυμβῶντος δὲ ἐν τῷ λιμένι, ὁρώντων αὐτὸν τῶν ἐν τῇ πόλει, αὐτὸς διακολυμβήσας εἰς τινα τόπον, καὶ μὴ ὀφθεὶς τοῖς οἰκείοις ἐπὶ ἡμέρας ἱκανάς, διακολυμβήσας, πάλιν, ὤφθη αὐτοῖς. πιθανομένων δὲ τῶν οἰκείων πᾶ διέτελεν, αὐτὸς ψευδόμενος ἔφη, ἐν τῇ θαλάττῃ. ὡς συγκλείων εἰς αὐτὸν ἰχθύας, ὁπότε χειμὼν γένοιτο, ὡς μηδεὶς τῶν ἄλλων ἁλιέων ἰχθῦς δύναιτο λαμβάνειν, ἔλεγε τοῖς πολίταις, τίνας βόλοιντο τῶν ἰχθύων ἀποκομισθῆναι αὐτοῖς· καὶ κομίζων ἃς ἂν ἤθελον, Γλαῦκος θαλάσσιος ἐκλήθη. ὡς περιτυχὼν θηρίῳ θαλαττίῳ, ἀπώλετο. μὴ ἐλθόντος δὲ αὐτῷ ἐκ τῆς θαλάττης, ἐμύθευσαν οἱ ἄνθρωποι, ὡς ἐν θαλάσσῃ οἰκεῖ, κἀκεῖ διατρίβει.

ΠΕΡΙ ΤΩΝ ΓΙΓΑΝΤΩΝ ΤΩΝ ΣΠΑΡΕΝΤΩΝ ΚΑΙ ΦΥΤΕΝΤΩΝ ΑΘΗΜΕΡΟΝ.

Ἐν Θήβαις τῆς Βοιωτίας λέγεται ὅτι Κάδμος, ἀποκτείνας τὸν ἐν Λέρνῃ δράκοντα, καὶ τοὺς ὀδόντας ἐκλεξάμενος, ἔσπειρεν εἰς τὴν ἰδίαν γῆν, ὡς ἀνεδόθησαν ἔνοπλοι ἄνδρες. ἐξεφύησαν δὲ ἀπὸ μηρῶν ἕως ἄνω. ὡς ὕπνος ἱσάμενοι ἐπολέμησαν ἀλλήλοις καὶ τοῖς ἄλλοις. ἡ δὲ ἱστορία ὧδε διαλαμβάνει· Κάδμος, τὸ γένος ἦν Φοίνιξ. ἀφίκετο δὲ εἰς Θήβας πρὸς τὸν ἀδελφὸν Φοίνικα, ἀμιλληθησόμενος περὶ τῆς βασιλείας, ἔχων ἄλλα τε πολλὰ ὡς βασιλεύς, ἀλλὰ δὴ ὡς ὀδόντας ἐλεφάντων· ἦν δὲ ὁ βασιλεὺς τῶν Θηβῶν, Δράκων, Ἄρεως παῖς· ὃν ὁ Κάδμος ἀποκτείνας, ἐβασίλευσεν. οἱ δὲ φίλοι τοῦ Δράκοντος, ἐπολέμησαν αὐτῷ. ἀπέστησαν δὲ καὶ Κάδμῳ, καὶ οἱ παῖδες τοῦ Δράκοντος. ἐπεὶ δὲ οἱ μὲν φίλοι ὡς οἱ παῖδες ἥττους ἐγένοντο, ἁρπάσαντες τὰ χρήματα τοῦ Κάδμου, καὶ τοὺς ἐλεφαντίνους ὀδόντας, ἔφυγον ὅθεν ὡρμῶντο, ἄλλοι δ' ἄλλαχῇ διεσπάρησαν· οἱ μὲν εἰς τὴν Ἀττικὴν, οἱ δὲ εἰς τὴν Πελοπόννησον, ἄλλοι εἰς Φωκίδα, ἔτεροι δὲ εἰς Λοκρίδα. ἀφ' ὧν χωρῶν ἐρχόμενοι, ἐπολέμουν τοῖς Θηβαίοις. καὶ ἦσαν ἀρ-

γα-

γαλέοι πολεμισταί. ἐπεὶ οὖν τὰς ἐλεφαντίνας ὀδόντας, ὃς εἶχεν ὁ Κάδμος, ἁρπάσαντες ἔφυγον, ἔλεγον οἱ Θηβαῖοι, ὅτι τοιαῦτα δεινὰ ὁ Κάδμος ἐπήγαγεν ἡμῖν, ἀποκτείνας τὸν Δράκοντα· ὧν τῶν ἐκείνου ὀδόντων, πολλοὶ καὶ ἀγαθοὶ ἄνδρες σπαρτοὶ πολεμοῦσιν ἡμῖν· τούτου δὴ τοιούτου συμβάντος ὁ μῦθος παροσανεπλάσθη.

ΠΕΡΙ ΓΟΡΓΟΝΩΝ.

Γοργόνες, τρεῖς γυναῖκες, αἱ τοσοῦτον εἶχον τὰ πρόσωπα φρικτὰ καὶ φοβερά, ὡς τοὺς ὁρῶντας θηρίσκειν. ἡ Γοργὼ, ἡ Γοργόνη, καὶ ἡ Γοργώς· διὰ γὰρ τῆς γοργότητος ἀπελίθου φερωνύμους τοὺς ὁρῶντας.

ΠΕΡΙ ΓΥΓΟΥ.

Γύγην, οἱ Ἕλληνες ἐμυθεύοντο τῇ τροφῇ τῆς σφενδόνης ἣν ἐφόρει, ἀφανίζεσθαι καὶ μὴ ὁρᾶσθαι παρόντα, καὶ εἰς ὄψιν ἔρχεσθαι· ὃν καὶ Πλάτων ὁ φιλόσοφος ἐν πολιτείᾳ εἰσφέρει μυθικῶς οὕτω λέγων, ὅτι Γύγης τις ὢν ποιμὴν ὑπὸ τὸν Λυδίαν. ὕστος ποιμαίνων ἔν τινι ὄρει τὰ πρόβατα, περιέτυχε σπηλαίῳ τινί. καὶ εἰσελθὼν ἐν αὐτῷ, εὗρεν ἵππον χαλκῆν, καὶ ἔνδον τῆ χαλκῆ ἵππῳ νεκρὸν ἄνθρωπον φοροῦντα δακτύλιον. ᾧ δακτυλίῳ ἡ κεφαλὴ στρεπτὴ ἦν, καὶ ἐστρέφετο· ὅτις σφενδόνη ἐκαλεῖτο. ἔλαβεν οὖν ὁ Γύγης τὸν δακτύλιον, καὶ ἐξῆλθεν. καὶ ἦνίκα μὲν ὑπὸ τῇ τάξει ὁ δακτύλιος, ἑωρᾶτο ὑπὸ πάντων· ἦνίκα δὲ ὑπὸ τὸν σφενδόνιον τῆ δακτυλίῳ ἔστρεφεν, ἀφανὴς ἐγίνετο ἐν πᾶσιν. ὁ οὖν Πλάτων εἰσφέρει τὸν μῦθον τοῦτον· ὅτι, φησὶν, ὁ δίκαιος ἀνὴρ, κἂν τῷ Γύγου λάβῃ τὸν δακτύλιον, ἵνα μὴ ὁρᾶται ὑπό τινος, οὐδὲ ὅτου ὀφείλει ἀδικεῖν. δεῖ γὰρ τὸ καλὸν δι' αὐτὸ τὸ ἀγαθὸν ἐπιτηδεύεσθαι· καὶ μὴ δι' ἄλλο τι. ἔχων οὖν ὁ Γύγης τοῦτον τὸν δακτύλιον, ἐλθὼν ἐπὶ τὰ βασίλεια τῶν Λυδῶν, καὶ ἀντιστρέψας τὸν σφενδόνιον, ἐγένετο ἀφανής. καὶ εἰσελθὼν ἀπέκτεινε τὸν βασιλέα, καὶ ἔλαβε τὸν βασιλείαν· διὸ καὶ Γύγου δακτύλιος, ἐπὶ τῶν πολυμηχάνων, καὶ πανούργων λέγεται. ὁ δὲ Ἡρόδοτος ἄλλως ἱστορεῖ τὰ περὶ τὸν Γύγην· ὅτι ἐπιτροπῇ τῆς δεσπόινης ἀπέκτεινε τὸν Κανδαύλην ὁ Γύγης, καὶ ἐβασίλευσεν.

ΠΕΡΙ ΓΕΣΙΟΥ ΤΟΥ ΙΑΤΡΟΥ.

Γέσιος ἰατροσοφιστὴς, Πετραῖος τὸ γένος, ἐπὶ Ζήνωνος. καθελὼν δὲ Δόμνον τὸν ἑαυτοῦ διδάσκαλον Ἰουδαῖον ὄντα, καὶ

τὺς ἑταίρυς εἰς ἑωυτὸν μεταστησάμυος ὀλίγυ πάντας, παντυχῆ ἐγνωρίζετο καὶ μέγα τὸ κλέος ἔσχεν. ὅτος κατόρθωσε τέχνῃ ἰατρῶν τῶν καθ' ἑωυτὸν πάντων.

ῬΗΤΟΡΕΣ.

ΠΕΡΙ ΓΑΙΑΝΟΥ ΤΟΥ ῬΗΤΟΡΟΣ.

ΓΑϊανὸς Ἀράβιος ῥήτωρ καὶ σοφιστὴς, μαθητὴς Ἀψίνυ τοῦ Γαδαρέως, ἐπὶ Μαξίμυ καὶ Γορδιανῷ. ἔγραψε περὶ σωτάξεως βιβλία πέντε, τέχνῃ ῥητορικῇ, μελέτας. ἐσοφίστευσεν ἐν Βηρυτῷ.

ΠΕΡΙ ΓΕΝΕΘΛΙΟΥ.

ΓΕνέθλιος, Παλαισῖνος σοφιστὴς, ἀπὸ Πετρῶν· μαθητὴς Μεναικμανῦ καὶ Ἀγαπητῦ, ἀντιταιδεύσας καὶ τὰς Ἀθήνας Καλλινίκῳ τῷ διασήμῳ, δεξιὸς τὴν φύσιν· τελευτᾷ νέος ἐτῶν ὀκτὼ πρὸς τοῖς εἴκοσι. ἔγραψε λαλιὰς, ἤτοι διαλέξεις, καὶ μελέτας. ὧν ἔστιν ὁ ἀπολις ἑωυτὸν ἀποκηρύττων καὶ τὴν τῶν Θηβῶν κατασκαφήν· προπεμπτικὸν πρὸς τὺς ἑαυτῦ ἑταίρυς Δαδοῦχον καὶ Ἀσκληπιάδην· παννυχικὺς πέντε.

ΠΕΡΙ ΓΟΡΓΙΟΥ.

ΓΟργίας Χαρμαντίδυ Λεοντῖνος ῥήτωρ, μαθητὴς Ἐμπεδοκλέυς. ὅτος τῇ ῥητορικῷ εἶδεν τῆς παιδείας δυνάμιν φραστικὴν καὶ τέχνην ἔδωκεν, εἰς ὃν ἀναφέρειν ἠξιῦνται, ὥσπερ εἰς πατέρα, τὴν τῶν σοφιστῶν τέχνην· τροπαῖς τε γὰρ καὶ μεταφοραῖς καὶ ἀλληγορίαις καὶ ὑπαλλαγαῖς, καὶ καταχρήσεσι καὶ ὑπερβάσεσι, καὶ ἀναδιπλώσεσι καὶ ἐπαναλήψεσι, καὶ ἀποστροφαῖς καὶ παρισώσεσιν ἐχρήσατο· ὑφ' ἡμῶν δὲ καὶ ὁρμῆς τοῖς σοφισταῖς ἦρξε, καὶ παραδοξολογίας, καὶ πνεύματος, καὶ τοῦ τὰ μεγάλα μεγάλως ἑρμηνεύειν, ἀποσάσεών τε, καὶ προβόλων, ἐφ' ὧν ὁ λόγος ἠϊόνων ἑαυτῦ, καὶ σοβαρώτερος. περιεβάλετο δὲ καὶ ποιητικὰ ὀνόματα ὑπὲρ κόσμυ, καὶ σεμιότητος. ἀπεχεδίαζε δὲ καὶ ῥᾴστα. διαλεχθεὶς ὁ Ἀθήνησιν ἤδη γηράσκων, ὑπὸ πάντων ἐθαυμάσθη· διδάσκαλος ὁ λῶν Πώλυ Ἀκραγαντίνυ καὶ Περικλέυς, καὶ Ἰσοκράτυς, καὶ Ἀλκιδάμαντος τοῦ Ἐλάτυ, ὃς ὠὴτῦ καὶ τὴν σχολὴν διεδέξατο, ἀδελφὸς ὁ λῶν τοῦ ἰατροῦ Ἡροδίκυ, Κειτίς τε καὶ Ἀλκιβιάδυ τέων ὄντων· Θουκυδίδυ δὲ καὶ Περικλέυς, ἤδη γηράσκοντων. ἐμπρέπων δὲ ὁ

Γορ-

Γοργίας καὶ ταῖς τῶν Ἑλλήνων παννυχίσι, τὸν μὲν λόγον τὸν Πυθικὸν ἀπὸ τοῦ βωμοῦ ἤρξησεν, ἐφ' οὗ καὶ χρυσοῦς ἀνεπέθη ἐν τῷ τοῦ Πυθίου ἱερῷ. ὁ δὲ Ὀλυμπιακὸς λόγος ὑπὲρ τοῦ μεγίστου αὐτῷ ἐπολιτεύθη. σατιάζησαν γὰρ τὴν Ἑλλάδα ὁρῶν, ὁμοιόας σύμβολα αὐτοῖς ἐγένετο, τρέπων ἐπὶ τὰς βαρβάρους, καὶ πείθων ἆθλα ποιεῖσθαι τῶν ὅπλων μὴ τὰς ἀλλήλων πόλεις, ἀλλὰ τὴν τῶν βαρβάρων χώραν. ὁ δὲ ἐπιτάφιος, ὃν διῆλθεν Ἀθήνησιν, εἴρηται μὲν ἐπὶ τοῖς ἐκ τῶν πολέμων πεσοῦσιν, ὃς οἱ Ἀθηναῖοι δημοσίᾳ σφῶν ἐπαίνοις ἔθαψαν, σοφία δὲ ὑπερβαλλούσῃ σύγκειται. παροξύνων τε γὰρ τοὺς Ἀθηναίους ἐπὶ Μήδους τε, καὶ Πέρσας, καὶ τὸν αὐτοῦ νῦν τῷ Ὀλυμπιακῷ ἀγωνιζόμενος, ὑπὲρ ὁμοιόας μὲν τῆς ὥρας τοὺς Ἕλληνας ὑδὲν διῆλθεν, ἐπειδὴ ὥρας Ἀθηναίους ἐῶν ἀρχῆς ἐρῶντας· ἣν δὲ καὶ ἦν κτήσασθαι, μὴ τὸν δραστήριον αἱρεμένους. ἐνδιέτριψε δὲ τοῖς τῶν Μηδικῶν τροπαίων ἐπαίνοις, ἐνδεικνύμενος αὐτοῖς, ὅτι τὰ μὲν τῶν βαρβάρων τρόπαια ὕμνους ἀπαιτεῖ· τὰ δὲ τῶν Ἑλλήνων, θρήνους. λέγεται δὲ ὁ Γοργίας, εἰς ὀκτὼ καὶ ἑκατὸν ἐλάσας ἔτη, μὴ καταλυθῆναι τὸ σῶμα ὑπὸ γήρως, ἀλλ' ἄρτιος καταβιῶναι, καὶ τὰς αἰσθήσεις ἠβῶν. ἐρωτηθεὶς δέ τινι διαίτῃ χρώμενος, ἔτι βιώσοι, φάναι, ὡς ὑδὲν πώποτε ἡδονῆς ἕνεκα ἔπραξε.

ΦΙΛΟΣΟΦΟΙ.

ΠΕΡΙ ΓΛΑΥΚΩΝΟΣ.

ΓΛαύκων Ἀθηναῖος φιλόσοφος. φέρονται αὐτοῦ ἐν εἰ διάλογοι ἑννέα· Φαίδυλος· Εὐριτίδης· Ἀμυντιχος· Εὐθίας· Λυσιθείδης· Ἀριστοφάνης· Κέφαλος· Ἀναξίφημος· Μενέξενος. φέρονται δὲ ἄλλοι δύο καὶ τριάκοντα, οἱ νοθεύονται.

Δ

ΠΕΡΙ ΔΑΙΔΑΛΟΥ.

ΔΑίδαλον μυθεύονται ποιῆσαι βοῦν ξυλίνην, καὶ ἐγκλεῖσαι Πασιφάην εἰς αὐτὴν ἐραθεῖσαν ἰδίᾳ νεμομένῳ· ὕστερον δὲ τὸν ταῦρον ἐπιβάντα, μιγῆναι τῇ γυναικί· τὴν δὲ κυῆσαι παῖδα

ἔχον-

ἔχοντα μὴν σῶμα ἀνδρὸς, κεφαλὴ δὲ βοὸς. διό φασιν ὅτι Μίνως Δαίδαλον καὶ Ἴκαρον καθεῖρξεν εἰς εἰρκτὴν, υἱὼ αὐτοῦ ὄντας. Δαίδαλος δὲ ποιήσας πτέρυγας προσθετὰς, ἐξῆλθε μετὰ τοῦ Ἰκάρου. τὸ δ' ἀληθὲς ὕστερον ἔχει. Μίνωά φασιν ἀληθέντα τὰ αἰδοῖα, θεραπευθῆναι ὑπὸ Κριδοῦ τοῦ Παυδίονος· κατ' ἐκεῖνον δὲ τὸν τῆς θεραπείας καιρὸν, ἠκολούθει τῷ Μίνωι νεανίας εὐειδὴς, ὀνόματι Ταῦρος· ᾧ Πασιφάη ἔρωτι ἁλοῦσα, μίγνυται αὐτῷ, καὶ γίνεται παῖδα. Μίνως δ' ἐπιλογισάμενος τὸν χρόνον τῆς ἀληθείας τῶν αἰδοίων, ἐγνὼς ὡς οὐκ ἔστιν ἐξ αὐτοῦ ὁ παῖς, διὰ τὸ μὴ συγκοιμᾶσθαι αὐτὸν τῇ Πασιφάῃ, ἔγνω ὡς ὂν τοῦ Ταύρου ἐστὶ τὸ κυηθὲν, ἀποκτεῖναι μὴν οὐκ ἤθελε τὸν παῖδα, διὰ τὸ δοκεῖν ἀδελφὸν εἶναι τῶν ἑαυτοῦ παίδων· ἀποπέμπει δὲ αὐτὸν εἰς ὄρος, ὡς ὂν θεράποντος μοίρα ὑπάρχειν τοῖς ποιμέσιν. ὁ δὲ, οὐχ ὑπεστάσσετο τοῖς βουκόλοις. πυθόμενος δὲ ὁ Μίνως τὰ κατ' αὐτὸν, ἐκέλευσεν αὐτὸν σφᾶς τῶν πολιτῶν κρατηθῆναι· καὶ, εἰ μὴν ἔποιτο, λελυμένον ἐλθεῖν· εἰ δὲ μὴ, δέσμιον. αἰσθόμενος δὲ ὁ νεανίας, ἀφίσταται εἰς τὰ ὄρη, καὶ ἁρπάζων βοσκήματα, ὕστερον διέζη. πέμψαντος δὲ Μίνωος καὶ ἕτερον ὄχλον πλείονα διὰ τὸ συλλαβεῖν αὐτὸν, ὁ νεανίας ὄργυμα ποιήσας βαθὺ, καθεῖρξεν ἑαυτὸν εἰς ἐκεῖνο. ἔνθα ὄντος τοῦ Ταύρου, ἔνθα ποτε σφᾶς τοῦ Μίνωος ἐκρατήθη τις ἀδικῶν, σφᾶς τὸν Ταῦρον ἐπέμπετο, ὡς ὁ Ταῦρος αὐτὸν τιμωρήσαιτο. ὁ λαβὼν ὃν ποτε Μίνως τὸν Θησέα πολέμιον, ἐπὶ τὸν Ταῦρον ἀπέστειλεν, ὡς ἀποθανούμενον. γνοῦσα δὲ τοῦτο ἡ Ἀριάδνη, προεισπέμπει ξίφος εἰς τὴν εἰρκτὴν, δι' οὗ ὁ Θησεὺς ἀναιρεῖ τὸν Μινόταυρον. τὸν δὲ Δαίδαλόν φασι ὄντα ἐν εἰρκτῇ, καθέντα ἑαυτὸν διὰ θυείδος, ὁ σκαφίδι ἐμβάντα, εἰς θάλασσαν πλεῦσαι. αἰσθόμενος δὲ ὁ Μίνως, πέμπει πλοῖα διώξοντα. ὡς ἤσθοντο δὲ Ἴκαρός τε καὶ Δαίδαλος διωκόμενοι, ἀνέμῳ λάβρῳ καὶ σφοδρῷ ὄντος, πετώμενοι, ἤγγιον πλέοντες, ὑπὸ τῷ πελάγει περιλέπονται. ὁ μὴν Δαίδαλος σώζεται εἰς τὴν γῆν· ὁ δ' Ἴκαρος, πλάτῃ ὑπὸ τῷ πελάγει· ὅθεν ἀπ' ἐκείνου Ἰκάριον πέλαγος ἐκλήθη. ἐκβληθεὶς δ' ὁ Ἴκαρος ὑπὸ τῶν κυμάτων, σφᾶς τοῦ πατρὸς ἐτάφη. σφὶ δὲ τοῦ θρυλλουμένου σφὶ Δαιδάλου, ὡς ἀγάλματα κατεσκεύαζε πορευόμενα. ὕστερον ἡ ἱστορία ἔχει. οἱ τότε ἀνδριαντοποιοὶ, καὶ ἀγαλματοποιοὶ, κατεσκεύαζον ἀνδριάντας, συμπεφυκότας ἔχοντας τὰς πόδας· Δαιδάλου δὲ ἐποίει διαβεβηκότας τὸν ἕνα πόδα. οἱ δ' ἄνθρωποι ἔλεγον· ὁδοιπορῶν ἦστο τὸ ἄγαλμα, ὃ εἰργάσατο Δαίδαλος, ἀλλ' οὐχὶ ἑστηκὸς,

κὸς, ὡς ἐν νιῷ λέγομεν. εἰσὶ δὲ ἐν μαχόμενοι ἄνδρες γεγραμμένοι, καὶ τρέχοντες ἵπποι, καὶ χειμαζομένη ναῦς. Ἀρριανὸς δὲ δημιουργόν τινα ἱστορεῖ ἐνθάδε Βιθυνοῖς Δαίδαλον καλούμενον, ὃ ἔργον ἐν Νικομηδείᾳ γλυπτὸν θαυμαστὸν ἄγαλμα στρατιᾶ Διός.

ΠΕΡΙ ΔΑΚΤΥΛΩΝ ΤΩΝ ΚΑΛΟΥΜΕΝΩΝ ΙΔΑΙΩΝ.

Δακτύλους τοὺς καλουμένους Ἰδαίους Προμαχίδης λέγει, ὅτι νύμφη τις Ἀγχιάλη Οἰαξίδος γῆς δραξαμένη, ἐποίησεν· ἐν ὅτι διὰ τὸ ῥιφῆναι αὐτοὺς διὰ τῶν χειρῶν, Δάκτυλοι ἐκλήθησαν. οἱ δὲ τοὺς Ἰδαίους Δακτύλους ἐξ ἐν πέντε φασὶν εἶναι· καὶ τοὺς μὲν δεξιοὺς, ἄῤῥενας· τοὺς δὲ ἀριστερούς, θηλείας. Φερεκύδης δέ, τοὺς μὲν δεξιοὺς εἴκοσί φησιν εἶναι· τοὺς δὲ δώνυμους, τεσσαράκοντα δύο. γόητες δὲ ἦσαν ἐν φαρμακεῖς, ἐν δημιουργοὶ σιδήρου. λέγονται καὶ θρῶτοι καὶ μεταλλεῖς γλυπτοί. ὠνομάσθησαν δὲ Ἰδαῖοι ἀπὸ τῆς μητρὸς Ἴδης· ἀριστεροὶ μέν, ὡς φησι Φερεκύδης, οἱ γόητες αὐτῶν· οἱ δὲ ἀναλύοντες, δεξιοὶ, ὡς Ἑλλάνικος. οἱ δέ φασιν, ὅτι Ἰδαῖοι δάκτυλοι ἐκλήθησαν, ἐπειδὴ ἐντὸς Ἴδης ἐντυχόντες τῇ Ἥρᾳ, οἱ δὲ, τῇ Ῥέᾳ, ἐδεξιώσαντο τὴν θεὸν, καὶ τῶν δακτύλων αὐτῆς ἥψαντο. ὡς δὲ Μνασέας ἐν θρώτῳ φησὶ Ἀσίας λέγει· Δάκτυλοι λέγονται ἀπὸ Δακτύλου τοῦ πατρός· καὶ Ἰδαῖοι, ἀπὸ τῆς μητρὸς Ἴδης. ὁ δὲ τὴν Φορωνίδα σωθεὶς, γράφει ὕστως·

—— Ἔνθα γόητες
Ἰδαῖοι, Φρύγες ἄνδρες ὀρέστεροι, οἰκί' ἔχουσιν·
Κέλμις, Δαμναμενεύς τε μέγας, καὶ ὠκέρβιος Ἄκμων,
Εὐπάλαμοι θεράποντες ὀρείης Ἀδρηστείης.
Οἳ θρῶτοι τέχνῃσι πολυμήτιος Ἡφαίστοιο
Εὗρον ἐν ὑρείῃσι νάπαις, ἰόεντα σίδηρον.

ΠΕΡΙ ΤΗΣ ΔΑΙΜΟΝΩΝ ΛΙΧΝΕΙΑΣ.

Πάντες οἱ Δαίμονες νίσαις χαίροντες, λίχνοι εἰσί· μάλιστα δὲ κωμωδεῖται ὁ Ἑρμῆς· διὸ λέγεται δειλακείων, ὡς κρεαδίων ἐπιδεικνυμένων αὐτῷ καπεχομένῳ εἰς τὰ κρέατα· ἀπατηλοὶ δὲ, διὰ πάντας· ἐξαιρέτως δὲ, διὰ τὸν Ἀπόλλωνα, ὅτι ἀπατηλὸς ἔλεγε χρησμός.

ΠΕΡΙ ΤΗΣ ΔΑΝΑΗΣ.

Δανάη, θυγάτηρ Ἀκρισίου Ἀργείων βασιλέως καὶ Εὐρυδίκης, τῆς Εὐρώπης θυγατρὸς, γέγονεν· ἣν Ἀκρίσιος ὁ πατὴρ σι-

δη-

δηξῦν ποιήσας θάλαμον ἐνέκλεισεν, ὅπως τύτῳ τῷ τρόπῳ μένῃ παρθένος. χρωμένῳ γὰ αὐτῷ ὡὲὶ ἄρσενος παιδὸς, ἔχρησεν ὁ Θεὸς ἐν Πυθοῖ, ὅτι αὐτῷ μὴ ἔκ ἔσται παῖς ἄρσην, ἀπὸ δὲ τῆς θυγατρός· πρὸς ἣ αὐτὸν δεῖ ἀναιρεθῆναι. ὁ δὲ παρελθὼν εἰς Ἄργος, τὸν χαλκῦν ποιεῖ θάλαμον ἐν τῇ αὐλῇ τῆς οἰκίας κ᾽ γῆς, ἔνθα τὴν Δανάην εἰσάγει μ᾽ τῆς τροφῆς· ἐν ᾧ αὐτὴν ἐφύλασσεν, ὅπως ἐξ αὐτῆς παῖς μὴ γήηται. ἐραθεὶς δὲ ὁ Ζεὺς τῆς παιδὸς, ἐς εἰς χρυσὸν, ὡς λεγόσι, μεταστρέψας, ἀχθεὶς διὰ τῆ ὀρόφε, ἐμίγη αὐτῇ. τῷ δὲ γίνεται Περσεὺς, κὴ ἐκτρέφει αὐτὸν ἡ Δανάη, ἐ ἡ τροφὸς, κρύπτουσαι Ἀκρίσιον. ὅτε δὲ Περσεὺς τελειὸς, ἢ τετραετὴς, ἐγλύετο, ἤκουσεν αὐτῆ τῆς φωνῆς παίζοντος ὁ Ἀκρίσιος. κὰ διὰ τῶ θεραπόντων μετακαλεσάμενος τὸν Δανάην σιὼ τῇ τροφῷ, τὸν μὲ ἀναιρεῖ, Δανάην δὲ κατάγει σιὼ τῷ παιδὶ ἐπὶ τὸν τῆ ἐρκίε Διὸς βωμόν. μόνος δὲ αὐτὴν ἐρωτᾷ, πόθεν εἴη αὐτῇ γεγονὼς ὁ παῖς. ἡ δὲ ἔφη, ἀπὸ Διός. ὁ δὲ, ἃ πέπεισται, ἀλλ᾽ εἰς λάρνακα ξυλίνην ἐμβιβάζει αὐτιὼ μ᾽ τῆ παιδός· ἐ κλείσας καταποντοῖ. κὴ φερόμενοι ἀφικνῦνται εἰς Σέριφον τὴν νῆσον μίαν τῶ Κυκλάδων, ἧς ἐβασίλευε Πολυδέκτης υἱωνὸς Ποσειδῶνος, κὴ Κημεμίας, ἀδελφὸν ἔχων Δίκτυν· ἦσαν γὰ ὁ Δίκτυς κὴ ὁ Πολυδέκτης, Ἀνδροθόης τῆς Κάσορος, κὴ Περιστθένες τῆ Δαμάσορος, τῆ Ναυπλίε, τῆ Ποσειδῶνος, κὴ Ἀμυμώνης, ὡς Φερεκύδης ἐν πρώτῳ. Δίκτυς ὃ δικτύῳ ἁλιεύων κ᾽ τύχῃ αὐτὰς ἐξέλκει. ἔπα ἡ Δανάη ἀνοῖξαι ἱκετεύει τὴν λάρνακα. ὁ ὃ ἀνοίξας, κὴ μαθὼν ὅτι τινές εἰσιν, ἄγει εἰς τὸν οἶκον, κὴ τρέφει ὡς ἴδιον παῖδα τὸν Περσέα, κὴ ἐπαιδαγώγει, ἐ τῆς Δανάης ἐπεμελεῖτο. ὁ ὃ Πολυδέκτης ἐβίαζε τὴν Δανάην. μὴ δυνάμενο δὲ συγχρήσθαι αὐτῇ, ἅ Περσέως ἤδη πρὸς ἥβην ἐλαύνοντος, πλάττεται ὡς ἔδνων χρείαν ἔχει πρὸς γάμον Ἱπποδαμείας τῆς Οἰνομάε, ἐ ἄλλον ἄλλῃ τὸν φίλον αἰτεῖ. Περσέα ὃ πέμπει ἐπὶ Γοργόνας, δεησόμενον τὸν Μέδυσαν· κὴ τὴν κεφαλὴν αὐτῷ ἐνεγκεῖν, ὅπως τῇ Ἱπποδαμείᾳ δοίη. τύτο δὲ ἐπραγματεύετο, ὅπως τῆ Περσέως ὑπὸ Γοργόνων ἀναιρεθέντος, αὐτὸς ἀδεῶς τῇ Δανάῃ συγγένοιτο. ταῦτα ὃ λέγος· Πολυδέκτης γὰ τρεῖς γλεὰς πρότερον ἦν Ἱπποδαμείας· τὸ δ᾽ ἀληθὲς ὕστερον ἔσχε. πῶς μυθικώτερον εἶπον κατ᾽ ἀρχὰς ὅτι μὲ ἐβιάζετο Πολυδέκτης Δανάην, ἤδε ἐ Περσεύς ἐπεὶ ἡ Μέδυσα, θυγάτηρ ὖσα Φορκύδε, τῇ Ἀθηνᾶ πρὸς κάλλος ἀντίζεν. Ἀθηνᾶ ὃ τὸν Περσέα κατ᾽ αὐτῆς ἐπεμψε, ὑποχάψασα ἐ ὑποδείξασα τύτῳ

ὡ

ἐν ζωγραφίαις τὴν Γοργόνα περὶ πόλιν τῆς Σάμου δεικτέον κληθεῖσαν, ὑπὸ τῶν ἀποδεχθῆναι ταῦτα αὐτῷ. ἐλθὼν δὲ παρὰ τὰς Φορκίδας, παρ' ὧν τὸν τε Περσέα, καὶ τὴν ἀνυποδησίαν τὴν καὶ μονόφθαλμον χρῆσθαι, ἀδελφὰς δὲ τῶν Γοργόνων, ἔλαβε παρ' αὐτῶν τὸν ἕνα ὀφθαλμὸν αὐτῶν, καὶ τὸν ἕνα ὀδόντα, ὃν μόνον εἶχον κατ' ἀμοιβὴν, καὶ ὃ πρότερον αὐταῖς ταῦτα ἔδωκεν, ἕως ὠδήγησαν αὐτὸν εἰς Νύμφας, καὶ λαβὼν τὰ πτερωτὰ τῶν Νυμφῶν πέδηλα, καὶ κίσηβιν, ἤτοι πήραν, καὶ κιβωτὸν, καὶ ἶλον κυνέαν τοῦ Ἅδου, καὶ παρ' Ἑρμοῦ ἀδαμαντίνην ἅρπην, ἔχων παρὰ τῆς Ἀθηνᾶς κάτοπτρον, πετόμενος ἦλθεν ἐπὶ Γοργόνας αὐτὰς, ἐπ' Ὠκεανὸν ὕσας παρὰ πόλιν Ἰβηρίας τὴν Ταρτησόν· αἵτινες δράκοντος φολίδας εἶχον, κεφαλὰς συῶν, μεγάλους ὀδόντας, χεῖρας χαλκᾶς, καὶ πτέρυγας, αἷς ἐπέτοντο. ὅτε γὰρ πετόμενος, ἐπ' αὐτὰς ἐλθὼν, καὶ κοιμωμένας εὑρὼν, καρατομεῖ τὴν Μέδουσαν ἐν τῷ κατόπτρῳ βλέπων· ἡ γὰρ ἀπελιθώθη, τούτῳ ἰδών· αἱ δὲ λοιπαὶ αὐτῆς ἀδελφαὶ θρῆνον μὲν ἐκίνουν, ἐπὶ τῷ πολλῶν ὄφιων αὐτῷ κεφαλῶν ἐκπέμπεσθαι συναγμόν. ἐξ ὧν περ Ἀθηνᾶ, καὶ Πίνδαρον, τὸν αὐθητικὸν καλούμενον πολυκέφαλον εὗρε νόμον. Περσεὺς δὲ τῇ πήρᾳ τὴν κεφαλὴν θεὶς, καὶ κυνέην φέρων αὐτὴν, ἐπορεύετο. ἐλθὼν δ' ἐπὶ παρὰ Αἰθιοπίαν, τὴν Ἀνδρομέδαν τοῦ κήτους ἐρρύσατο· καὶ λαβὼν γυναῖκα, ἐξ αὐτῆς ἔσχε παῖδα τὸν Πέρσην, καὶ καταλείπει παρὰ Κηφεῖ. τὸν δ' Κηφέως ἀδελφὸν Φινέα παρομνηστευόμενον Ἀνδρομέδαν, καὶ αὐτοῦ ἐπιβουλεύοντα ἀπελίθωσε, δείξας τὴν Γοργόνα· αὐτὸς δὲ σὺν Ἀνδρομέδᾳ ἦλθεν εἰς Σέριφον. εὑρὼν δ' τὴν μητέρα μετὰ τοῦ Δίκτυος παρασταφευγυῖαν ἐν τῷ ναῷ διὰ τὸν Πολυδέκτην, ἐλθὼν παρὰ τὴν Γοργόνα, πάντας ἐλίθωσε, τὸν δ' βασιλέα Δίκτυν δίδωσι· τὰ δὲ τῶν Νυμφῶν πέδηλα καὶ τὴν Ἅδου κυνέην Ἑρμῆς παρ' αὐτοῦ λαβὼν, τοῖς ἰδίοις δεσπόταις παρέδωκε· τὴν δ' κεφαλὴν τῆς Γοργόνος Περσεὺς παρέχε τῇ Ἀθηνᾷ. ἡ δ', παρὰ τὸ μέσον τῆς ἰδίας ἀσπίδος ταύτην ἐνέπηξεν. * ὅθεν ἀπὸ τῆς Γοργόνος καὶ ὁ ἐπιστήθιος ἐκεῖ τῆς Ἀθηνᾶς κόσμος, Γοργόνιον ἐκλήθη. Περσεὺς δ' σὺν Ἀνδρομέδᾳ καὶ τῇ μητρὶ Δανάῃ, ἔσπευδεν εἰς Ἄργος ἐλθεῖν, παρὰ θεὰν Ἀκεσίαν. Ἀκέσιος δ' τὸν χειμῶνα δεδοικὼς, εἰς Πελασγίαν ἀνεχώρησε. Τευταμίδου δ' τοῦ βασιλέως

* Ἄλλοι δέ φασιν ἐπὶ τοῦ κόσμου, ὃ περὶ τὸ στῆθος εἶχε, ταύτην ἐνέπηξεν.

Λαερτιάδου πένταθλον θέντος, ἐπὶ τῇ τῆς μητρὸς τελευτῇ, Περσεὺς ἀγωνιζόμενος, δίσκῳ βαλὼν τὸν Ἀκρισίου πόδα, ἄκων αὐτὸν ἀναιρεῖ. καὶ πενθήσας ἔθαψεν ἔξω τῆς πόλεως. ὡρὸς δὲ μέγα πένθος τὸν Προῖτον ἐλθὼν, αὐτῷ μὲν ἔδωκε τιὼ ἰδίαν βασιλείαν τιὼ Ἄργους ἀρχιὼ. αὐτὸς δὲ ὁ Περσεὺς, τιὼ Τίρινθα κατέχε, καὶ τιὼ ἐκείνου βασιλείαν ὡροσέκτησε, Μήδειαν καὶ Μυκήνας. ἔνθα δὲ ἑτέρους παῖδας ἐξ Ἀνδρομέδας ἔσχεν Ἀλκαῖον, δὲ Σθένελον, Ἔλειον, Μήστορα, Ἠλεκτρύονα, καὶ Γοργοφόντην, τὸ ἑτέρου υἱὸ αὐτοῦ Πέρσου καταλειφθέντος ἐν Αἰθιοπίᾳ, ἀφ᾽ ᾧ πάππῳ Κηφεῖ.

ΓΕΝΕΑΛΟΓΙΑ ΠΕΡΣΕΩΣ ΤΟΥ ΤΗΣ ΔΑΝΑΗΣ.

Λυγκεὺς ὁ τοῦ Ἄργους βασιλεὺς, γεννᾷ Ἄβαντα, οὗ Ἀκρίσιος, οὗ καὶ Εὐρυδίκης, Δανάη· ἧς καὶ Διὸς, Περσεύς, οὗ δὲ Ἀνδρομέδας, Πέρσης, Ἀλκαῖος, Σθένελος, Ἔλειος, Μήστωρ, Ἠλεκτρύων, Γοργοφόντης.

ΠΕΡΙ ΔΑΡΔΑΝΟΥ.

Δάρδανος, ὁ Διὸς υἱὸς δὲ Ἠλέκτρας τῆς Ἄτλαντος θυγατρός. ἐπὶ τῷ κατακλυσμῷ τὸν Δευκαλίωνα, ἐπὶ τῆς Σαμοθράκης ἀσκὸν, ἢ κιβωτὸν, μετὰ δερμάτων σκευάσας, καθάπερ καὶ τῷ Λυκόφρονι δοκεῖ, καὶ ὑποδὺς, καὶ τοῖς ὕδασιν ἑαυτὸν ἐπιβὰς, ὡροσωκείλας τε τῇ Τροίᾳ μετὰ τὸ ξηρανθῆναι τὸ ὕδωρ, τιὼ Δαρδανίαν ἔκτισεν ὑψηλοτέραν κειμένην τῆς ὕστερον Ἰλίου, φόβῳ τῆς ἐξ ὑετῶν κατακλύσεως, ἧς αὐτὸς ἐπειράθη, κἀκεῖ τελευτᾷ· (καὶ ὁ τάφος αὐτοῦ κεῖται ὡδὶ τὴν Τροίαν, ἐπὶ τῷ μέρει τῆς Δαρδανίας) καταλιπὼν Ἐριχθόνιον τὸν αὐτοῦ υἱὸν τοῖς ἐκεῖ βασιλεύειν. ὕστερον δὲ ἡ Δαρδανία καὶ τὸ Ἴλιον, μία πόλις γεγόνασιν.

ΠΕΡΙ ΔΑΦΝΗΣ.

Δάφνη, Λάδωνος τοῦ ἐν Ἀρκαδίᾳ ποταμοῦ ὑπῆρχε θυγάτηρ, εὐωρεπεστάτη· ἐραθεὶς δ᾽ αὐτῆς Ἀπόλλων, δὲ Βυλόμυθος συγγενέσι, ἐδίωκε. καταλαμβανομένη δ᾽ αὐτῆς ὑπὸ τοῦ Θεοῦ, ηὔξατο τῇ μητρὶ Γῇ, χάσματι αὐτὴν δεχθῆναι. γενομένου δ᾽ τούτου, καὶ τῆς Γῆς ἀναδύσης ὁμώνυμον φυτὸν, Ἀπόλλων θεασάμενος, ἐξεπλάγη· καὶ τὸ μὲν δένδρον ἀπὸ τῆς παρθένου, δάφνην ὡροσηγόρευσεν ὁμωνύμως· λαβὼν δ᾽ κλάδον αὐτῆς, ἐστέψατο. διὸ δὲ οἱ ἱερεῖς καὶ οἱ μάντεις, δάφνῃ ἐστεφανοῦντο. μυθεύεται δ᾽ καὶ ὅτι

οἱ

οἱ μάντεις δάφνας ἐσθίοντες ἐμαντεύοντο· ἵνα τῇ ὀπωπῇ ἅ τῇ ὀσφρήσει γαννύμενος ὁ Θεὸς, ἀντιδώσῃ αὐτοῖς τὰς θεοπροπίας.

ΠΕΡΙ ΔΑΝΑΟΥ.

Δαναὸς, υἱὸς ἦν Βήλου τοῦ τῆς Λιβύης βασιλέως, ἀδελφὸς δὲ Αἰγύπτου· δίδυμοι δὲ ὄντοι παῖδες. Αἴγυπτος μὲν υἱοὺς πεντήκοντα ἔσχεν, Δαναὸς δὲ θυγατέρας τοσαύτας. ἀλλ' ὁ μὲν Δαναὸς, θανόντος τοῦ πατρὸς, ἦρξε Λιβύης· Αἴγυπτος δὲ, Ἀραβίας. ἔνθα δὲ καταστρεψάμενος τὴν τῶν Μελαμπόδων, φασὶ, χώραν, ἀφ' ἑαυτοῦ ὠνόμασεν Αἴγυπτον. ἐπεὶ δὲ χρησμὸς ὑπέπτησε τὸν Δαναὸν ἐπὶ τοῖς τοῦ Αἰγύπτου παισὶ, φεύγει ἐκεῖθεν, ὡρῶτος ναῦν κατασκευάσας, Ἀθηνᾶς ὑποθήκῃ, κληθεῖσαν πεντηκόντορον, ἐς τὸν ἀριθμὸν τῶν αὐτοῦ θυγατρῶν, ἃς δὲ ἐκθέμενος τῇ νηΐ, ἔφυγε· δὲ εἰς Ἄργος ἐλθὼν βασιλεύει, καὶ ἀπ' αὐτοῦ οἱ Ἕλληνες, Δαναοί. ἀλλ' ἰστέον ὅτι οὐχ ἁπλῶς ὕτω Δαναὸς κατέσχε τοῦ Ἄργους ἀπόνως, ὑποχωρήσαντος αὐτῷ τοῦ τότε κρατοῦντος Ἐλλάνορος, ἀλλὰ διότι μετὰ τοῦ Ἄργους ἀνέκαθεν, διὰ τὴν τοῦ Ἰνάχου θυγατέρα Ἰώ, ἧς πέμπτη γενεά· ὅια ὕστερον ἔπαθεν ὁ Αἰγύπτος, ἐλθὼν δὲ αὐτὸς, δὲ ὡς αἱ Δαναΐδες πᾶσαι πάντας τοὺς ἐκείνου κατέσφαξαν ἀφυλάκτως, ὡς ὃν γάμῳ νυμφίους σχεῖσαι, δίχα μιᾶς ἢ δύο τινῶν, αἱ ἱσορίαι δηλοῦσι. καὶ γὰ κατὰ τὴν παλαιὰν ἱσορίαν, τῶν πεντήκοντα παίδων τοῦ Αἰγύπτου, ταῖς πεντήκοντα νεανίσιν αὐτανεψιαῖς σιωευναθέντων θυγατράσι Δαναοῦ, ἡ Βεβρύκη μὲν δὲ Ὑπερμνήσρα μόναι τῶν σωεύνων ἐφείσαντο, αἱ δὲ λοιπαὶ τοὺς λοιποὺς διεχρήσαντο. ἡ Ὑπερμνήσρα μὲν τοῦ Λυγγέως, ἡ δὲ Βεβρύκη Ἱππολύτου τῶν αὐτανεψιῶν καὶ νυμφίων· φυγεῖν δὲ λέγεται τὸν Βεβρύκιον σὺν Ἱππολύτῳ, καὶ πολλὰ δυνηθῆναι, διὰ τὸ διδάσκειν τοὺς βαρβάρους τὸν Αἰγυπτίαν σοφίαν. διὸ καὶ Βεβρύκιον, ἢ Βεβρυκίαν, ἀπ' αὐτοῦ κληθῆναι τὴν χώραν εἰς ἣν ἔφυγε. Πίνδαρος δὲν διὰ τοῦτο πεσαράκοντα ὀκτὼ ἱσορεῖ τὰς Δαναΐδας, ὡς τὰς δύο μὴ συναριθμεῖν τῶν λοιπῶν θέλων, οἷον μὴ πειθείσας τῷ πατρί, καὶ διὰ τοῦτο ἀπαλειφθῆναι τῆς ἐκείνου πατρότητος.

ΔΕΔΦΙΝΙΟΣ ΔΙΑ ΤΙ Ο ΑΠΟΛΛΩΝ.

Δελφίνιος ὁ Ἀπόλλων λέγεται· ἢ ὅτι τὸν ὑπὸ Πυθῶνι δράκοντα Δελφῖνα τοξεύσας ἀνεῖλε Λητοῖ διάζοντα, ὡς φησιν Ἡλιόδορος· ὃς ποτε πετραίῃ ὑπὸ δειράδι Δελφίνα τέξοισι πε-

λώειον ἐξενάειξεν· ἢ ὅτι ἐπὶ δελφῖνος ὀχήμασος, ἢ δελφῖνι ὁμοιωθεὶς, Κασαλίῳ τῷ Κρητὶ ἀποικίαν στελλομένῳ, ὁ Ἀπόλλων ἡγεμονήσατο τῆς νεώς, ἕως τὸ Κρισαῖον κόλπου, καὶ ἐκεῖ κατοικήσας, ἐκράτησε τὸν τόπον. καὶ ἀπ' αὐτοῦ Δελφοὺς ἐκάλεσε τοὺς ἐνοικοῦντας. ἡ Δελφινία Ἀπόλλωνος ἱερὸν ἱδρύσατο. τινὲς δέ φασιν, ὅτι ὁ δελφὶς εἰς τὴν ναῦν ἦλθε, καὶ κατ' αὐτὸν τὸν τόπον ἐπήδησεν εἰς τὴν θάλασσαν. ἡ δελφινοφόρος διὰ τοῦτο λέγεται ναῦς, ὡς σχῆμα ἔχουσα δελφῖνος.

ΠΕΡΙ ΤΟΥ ΔΕΡΑΤΟΣ ΤΟΥ ΧΡΥΣΟΜΑΛΛΟΥ.

Δέρας τὸ κριὸν, πολλοὶ χρυσοῦν εἰρήκασιν, οἷς Ἀπολλώνιος ὁ τὰ Ἀργοναυτικὰ ποιήσας ἠκολούθησεν· ὁ δὲ Σιμωνίδης, πορφυροῦν. Διονύσιος δὲ ὁ Μιτυληναῖος, ἄνθρωπόν φησι γεγενῆσθαι παιδαγωγὸν τοῦ Φρίξου, ὀνόματι κριόν· καὶ δέρας χρυσόμαλλον, οὐχ, ὡς ποιητικῶς φέρεται, ἀλλὰ βιβλίον ἦν ὃν δέρμασι γεγραμμένον, περιέχον ὅπως δεῖ χρυσὸν διὰ χυμείας χεῖσθαι. εἰκότως δὲ οἱ τότε, λέγει, χρυσοῦν ὠνόμαζον αὐτὸ δέρας, διὰ τὴν ἐξ αὐτοῦ ἐνέργειαν. καὶ Χάραξ δὲ αὐτὸς μέθοδον εἶναί φησι χρυσογραφίας, μεμβράνοις ἐμπεριειλημμένην, δι' ἣν, ὡς λόγος ἔχει, τὸν τῆς Ἀργοῦς καταρτισθῆναι σόλον φησί.

ΠΕΡΙ ΤΟΥ ΔΕΥΚΑΛΙΩΝΟΣ.

Δευκαλίων, ὅτι Προμηθέως καὶ Πανδώρας υἱός, Ἡσίοδος ἐν ᾠδῇ καταλόγων φησί· καὶ ὅτι Προμηθέως καὶ Πύρρας Ἕλλην· ὅτις Δευκαλίων, μετὰ τὸν ἐπ' αὐτοῦ γενόμενον κατακλυσμὸν, εἰς τὴν Ἤπειρον ἐμιγρεύετο ἐν τῇ δρυΐ. πελειάδος δὲ αὐτῷ χρησμὸν δόντος, κατοικίζει τὸν τόπον συναθροίσας τοὺς περιλειφθέντας ἀπὸ τοῦ κατακλυσμοῦ. ὅτι Θρασύβουλος, καὶ Ἀκεσόδωρος ἱστοροῦσιν. ὅτι δὲ ὁ Δευκαλίων ἐβασίλευσε καὶ Θεσσαλίας, Ἑλλάνικος ἐν τῷ αὐτῷ τῆς Δευκαλιωνίας ἱστορεῖ· καὶ ὅτι δώδεκα Θεῶν βωμοὺς ὁ Δευκαλίων ἱδρύσατο, Ἑλλάνικος ἐν τῷ αὐτῷ φησι συγγράμματι.

ΠΕΡΙ ΔΗΜΑΡΧΩΝ.

Δήμαρχοι, Ἄρχοντές τινες ἦσαν Ἀθήνησιν, οἳ τὰς ἀπογραφὰς ἐποιοῦντο τῶν ἐν ἑκάστῳ δήμῳ χωρίων. ἔτι δὲ καὶ τὰ ληξιαρχικὰ γράμματεῖα ἐπὶ τούτοις ἦν· καὶ σιωπῆγον τοὺς δήμους ὁπότε δέοι εἰπεῖν, καὶ ψῆφον αὐτοῖς ἐδίδοσαν. τούτους δέ φησιν Ἀει-

Ἀριστοτέλης ὁ Ἀθηναίων πολιτείᾳ, ὑπὸ Κλειοθένους καταστᾶσαν, τοῦτο αὐτοῦτο ἔχοντας ἐπιμέλειαν τοῖς πρότερον ναυκράτοις. ὅτι δ' ἐμεχυρίαζον οἱ δήμαρχοι, δηλοῖ Ἀριστοφάνης ἐν Σφηξὶν καταλαμβανόμενος.

ΠΕΡΙ ΤΟΥ ΔΕΛΦΙΚΟΥ ΤΡΙΠΟΔΟΣ.

Δελφοί, πόλις ἐστὶ τῆς Φωκίδος. ἡ δὲ Φωκὶς, ἐπαρχία τῆς Ἑλλάδος. ἐν δὲ τούτοις τοῖς Δελφοῖς ἦν ἱερὸν τοῦ Ἀπόλλωνος, ἐν ᾧ ἦν ἡ Πυθώ· ἐν ᾗ ἵστατο ὁ τρίπους ὁ χαλκοῦς· ἐξ οὗ χαλκοῦ τρίποδος ἡ μαντεία ἐξεφέρετο· ἐπάνω δὲ τοῦ τρίποδος, ἦν τις φιάλη, ἐν ᾗ αἱ ψῆφοι αἱ μαντικαὶ ἤλλοντο ἐκ ἐπήδων, ἡνίκα ὁ Ἀπόλλων τῷ μαντείαν ἐξέφερε. τρίπους δὲ ἦν διὰ τοῦτο. διὰ τὸ κ τῷ μαντείῳ τοὺς τρεῖς χρόνους φυλέχειν. ἡ γὰρ οὖσα μαντικὴ ἐστι καὶ φυὶ τῶν παρῳχημένων, ἐκ φυὶ τῶν ἐνεστώτων, ἐκ φυὶ τῶν μελλόντων.

ΠΕΡΙ ΤΗΣ ΔΗΜΗΤΡΟΣ.

Δημήτηρ μὲν, ἡ γῆ καλεῖται, ὅτι πάντων ἡ γῆ μήτηρ. ἔστι δὲ Δωριέων· οὗτοι γὰρ ἀντὶ τοῦ Γ, Δ τιθέασι, δνοφερὸν γνοφερὸν, κ Δήμητραν γήμητραν λέγοντες. φυὶ δὲ ταύτης τὴν μυθικὴν ἱστορίαν λεκτέον, ἀλλὰ ἐκ ἀλληγορητέον. ἐκ Κρήτης, ἢ μᾶλλον ἐκ Σικελίας, Ἅδης ἁφήρπασε τῷ Δήμητρος θυγατέρα, τῷ Περσεφόνῃ, τῷ κ κόρῃ ὀνομαζομένῃ. διώκουσα δὲ ἡ μήτηρ, μέχρι τῶν Ἀθηνῶν ἐκ τῆς Ἑλλάδος ἀφίκετο. ὑπὸ Τριπτολέμου δὲ τοῦ Κελεοῦ ἐκ Μετανείρας παιδὸς, τὰ φυὶ τῷ παίδα μαθοῦσα, εἰς ἀμοιβὴν τῷ Τριπτολέμῳ τὰ σπέρματα δίδωσι, ἐκ πτερωτῶν ἅρμα δρακόντων· ὡς τοῦτο περιιοῦσα πανταχοῦ, τὰ φυὶ γεωργίαν διδάσκοι. ταῦτα μὲν τὰ μυθώδη. τὸ δ' ἀληθὲς ὅτως ἔχει· μήπω τῶν γεωργικῶν ἐπιγνωσθέντων, φυὶ τῷ Σικελίαν, κ τῷ Λιβύῃ, σῖτος αὐτοματίζων ἐγίνετο, κ πάλιν ἐφθείρετο, μηδενὸς τοῦτον ἐπιγινώσκοντος. Κέκροψ δὲ, ἤ τις ἕτερος, Ἄργον εἰς Λιβύην ἐκ Σικελίαν μεταπεμψάμενος, ὃν οἶδα φυὶ τίνος μαθὼν, ἐκέλευσε σωκαγαγεῖν σῖτον ἐκ τοῦ ἐκεῖ φυομένου, ἐκ εἰς Ἑλλάδα μετακομίσαι. ὃ δὴ γενομένου, Τριπτόλεμος ὡρῶτος ἀρώσας, ἐκ σπείρας, ἡ ἐν Ἀρόῃ χωρίῳ ἀπὸ τῆς ὡρώτης ἀρόσεως, ὃ νῦν Νέαι πάτραι καλοῦνται· ἢ κατὰ τὴν πλείστην ἐν Ἐλευσῖνι τῆς Ἀττικῆς, γεωργεῖ κ συγκομίζεται τοὺς καρπούς· εἶτα ἐκ συγχαμψάμενος φυὶ γεωργίας, τοῖς πᾶσιν

ἀν-

ἀνθρώποις δέδωκε· κόρη δὲ ἡ Περσεφόνη, τὰ ὀπὸ τῆς Δήμητρος ἦγεν τῆς γῆς, κατ' ἔτος ὡρὸς τὸ ζῆν διδόμενα. μᾶλλον δὲ σῖτος, ἐς τὰ γεωργικὰ, δι' ἃ ὠφελοῦσι φόνοι καὶ πόλεμοι γίνονται. ταύτην οὖν τὴν κόρην, ἦγεν τὸν σῖτον, Ἅιδης ἁφήρπασε. φυόμενον γὰρ τὸν σῖτον πρότερον σπείρεσθαι ἀφανίζεσθαι πάλιν διὰ τὴν ἀγνοιαν γεωργίας, ὡς ἔφημεν. ὡς δ' Ἄργος μετακομίσαντος, παρὰ Τριπτολέμου ἐν Ἐλευσῖνι ἐσπάρη καὶ ἀνεφύη, ἐς πανταχῆ ἐδιδάχθη, ἔφασαν τῷ Δήμητραν εἰς Ἀθήνας ἐλθεῖν, ἦγεν τὰ τῆς γῆς δωρήματα, ἐς ὦπα Τριπτολέμου μαθοῦσαν εὑρεῖν τῷ κόρῳ ἐξ Ἐλευσῖνος ἀνερχομένῳ ἐξ Ἅιδου λευκόπωλον· ἐκεῖ γὰρ κρυβεὶς ἐν σπαρεὶς ὁ σῖτος, εἰς φῶς ἐξῆλθε. δράκοντες δὲ πρῶτοι, οἱ ὡροφορικοὶ λόγοι, ἐν οἱ γραπτοὶ, οἱ πανταχῆ περιπορευόμενοι, καὶ τῷ γεωργίαν διδάσκοντες. τοῦτο τὰ μυθικὰ ἐν ἀλληγορούμενα. ἔστι δ' ἐν ἑτέρα ἱστορία περιφερομένη ὠφελὶ τῆς Δήμητρος. Ὄσιρις, ὃν καὶ Διόνυσον, μητ' Ἶσιδος τῆς αὐτοῦ γυναικὸς καὶ Δήμητρος καλουμένης, καὶ σταλῆναι πλείστα, μετ' μυστικῶν καὶ αὐλῶν περιήρχετο, τὴν γεωργίαν καὶ φυτουργίαν διδάσκων. ὅθεν αὐτὸν καὶ Διόνυσον ἐκάλεσαν, ὡς εὑρετὴν φυτουργίας· τὴν δ' Ἶσιν Δήμητραν, ὡς τὰ τῆς γῆς δωρουμένην, καὶ γεωργίαν διδάξασαν.

ΕΤΙ ΑΛΛΩΣ ΠΩΣ ΠΕΡΙ ΤΗΣ ΔΗΜΗΤΡΟΣ, ΚΑΙ ΤΗΣ ΕΣΤΙΑΣ.

Περὶ τῆς Δήμητρος ἔτι καὶ Ἑστίας ἀμφότερον λεκτέον· ἑκατέρα δ' ἔοικεν οὐχ ἑτέρα τῆς γῆς εἶναι). τοῦτον μὲν γὰρ διὰ τὸ ἑστάναι διὰ πάντων, Ἑστίαν ὡροσηγόρευσαν οἱ παλαιοί. ἢ διὰ τὸ ἐπ' αὐτῆς, ὡσανεὶ ἐπὶ θεμελίου, τὸν ὅλον ἑστάναι κόσμον. διὰ δὲ τὸ μητρὸς τρόπον φύειν τε καὶ τρέφειν πάντα Δήμητραν, οἱονεὶ γῆς μήτραν οὖσαν· ἢ Διὸς μητέρα, τῷ καὶ αὐτὸς τὰ ἐπ' αὐτοῖς ἀφθόνως ἐφιέναι τοῖς ἀνθρώποις, δαπανᾶσθαι καὶ δάπτειν· ἢ ἐπ' αὐτοῖς δήειν, ὅ ἐστιν εὑρίσκειν, ἃ μάλιστα ἐπιζητοῦσι. παρεισάγεται δ' ἡμῖν Ἑστία παρθένος, διὰ τὸ τὴν ἀκινησίαν μηδενὸς εἶναι γεννητικωτέραν· καὶ τούτου χάριν ὑπὸ παρθένου νεωκορεῖται. ἡ δὲ Δημήτηρ οὐκ ἔστι, ἀλλὰ τὴν κόρῳ τετοκυῖα, οἷον τὸν κόρον, ἡ ὡρὸς τὸ τρέφεσθαι μέχρι κόρου ὕλη· τὸ δ' ἀεὶ ζῶον πῦρ ἀποδίδοται τῇ Ἑστίᾳ, διὰ τὸ καὶ αὐτὸ δοκεῖν εἶναι ὄν. τάχα δ' ἐπεὶ τὰ πυρὰ τὰ ὀπὸ τῷ κόσμῳ ἐντὸς θεν τρέφεται, καὶ διὰ ταύτην ὑφέστηκεν· ἢ ἐπεὶ ζωόδωρον ἄρουρά ἐστι, καὶ ζώων μήτηρ, ἧς ἐστι αἴτιον τοῦ ζῆν τὸ πυρῶδες. στρογγύλως δὲ πλάττεται, καὶ κατὰ μέσους ἵδρυται

τοὺς

τὰς ὥρας, διὰ τὸ ἐν τὴν γῆν τοιαύτην εἶναι, ἐν ὅτῳ ἱδρύεσθαι συμπεπλημμένω· ὅθεν κατὰ μίμησιν, γῆ τε ἐν χθὼν προσηγόρευται. τάχα δὲ ἀπὸ τοῦ χεῖσθαι ἡ γῆ, ἤτοι χωρεῖν πάντα, ὅτῳ ἐκλήθη. ὡς εἴρηται τὸ,

Οὐδός ἀμφοτέρων ὅδε χεῖται. ——

μυθεύεται δ' προτέρα καὶ ἐχάτη γεγένθαι, τῷ εἰς ταύτην ἀναλύεσθαι τὰ ἀπ' αὐτῆς γιγνόμενα, καὶ ἐξ αὐτῆς σωίστασθαι. καθὸ καὶ ταῖς θυσίαις, οἱ Ἕλληνες ἀπὸ τῆς πρώτης τε αὐτῆς ἤρχοντο, ἐν εἰς ἐχάτην αὐτὴν κατέπαυον. σέμματα δ' αὐτῇ λευκὰ παράκεινται, τῷ σέφεσθαι ἐν καλύπτεσθαι πανταχόθεν αὐτὴν ὑπὸ τοῦ λευκοτάλου στοιχείου. ἡ μέντοι Δημήτηρ κατὰ τὸ ἀναδοτικὸν τῶν σπερμάτων εἰδοποιουμένη, πάνυ οἰκείως εἰσάγεται σάχυσιν ἐστεφανωμένη. τοῦτο γὰρ ἀναγκαιότατον ὧν κεχείρηται τοῖς ἀνθρώποις ἡ ἥμερον τροφὴ βίου. ταύτῃ δ' μυθεύεται σπεῖραι διὰ τῆς οἰκουμένης ὁ Τριπτόλεμος ὁ Ἐλευσίνιος, ἀναβιβάσης αὐτὸν ἐπὶ πτερωτῶν δρακόντων ὄχημα τῆς Δημήτερος. ἔοικε γὰρ πρῶτόν τις τῶν παλαιῶν διαδραμεῖν, καὶ σωιέναι, θεῶ ἐπὶ μετεωροτέραν ἐπίνοιαν ἀναβιβάσαντος, τὸν μεταχειρισμὸν τῆς κριθῆς, ὃν τρόπον κρινομένη καὶ διατριβομένη διὰ τοῦ εἰς τὸν ἀέρα ἀναρριπτεῖσθαι ἀπὸ τῶν ἀχύρων· ὅθεν ἐν κριὸς ἐπιπηδέως ἔχει πρὸς τὴν σπορὰν. ἐντεῦθεν δὲ τὴν ὀνομασίαν εἴληφεν ὁ τείλας τὰς αὐλάς· αὐλαὶ δὲ λέγονται αἱ κριθαί. Ἐλευσὶς δὲ ὁ τόπος, ὅπου πρότερον εὑρέθησαν. καὶ ἡ Δημήτηρ Ἐλευσινία, ἀπὸ τῆς αὐτόθι πρώτου εὑρέσεως γενομένης τοῖς ἀνθρώποις εἰς ἥμερον βίον ὄντος. ἁρπάσαι δὲ ὁ Ἅιδης τὴν θυγατέρα τῆς Δημήτερος ἐμυθεύθη, διὰ τὸν γινόμενον ἐπὶ χρόνον τινὰ τῶν σπερμάτων κατὰ γῆς ἀφανισμόν. προστεπλάσθη δὲ ἡ καθήφεια τῆς θεοῦ, ἐν ἡ διὰ τοῦ κόσμου ζήτησις· τοιοῦτον γάρ τι ἐν παρ' Αἰγυπτίοις, ὁ ζητούμενος καὶ ἀνευρισκόμενος ἀφανισμὸς ἀπὸ τῆς Ἴσιδος, Ὄσιρις ἐμφαίνει. ὅπερ ἀνὰ μέρος παρ' ἑξ μῆνας, ὑπὲρ γῆν τε καὶ ὑπὸ γῆν γινόμενος Ἄδωνις, ἀπὸ τοῦ ἀδῆν τοῖς ἀνθρώποις, ὅτῳ ὠνομασμένου τοῦ Δημητειακοῦ καιροῦ. ὃς δὲ πλήξας προσανελεῖν λέγεται, διὰ τὸ τὰς ὗς δοκεῖν λυμαίνεσθαι· ἢ τὸν τῆς ὕνεως ὀδόντα αἰνιττομένων αὐτῶν, ὑφ' ὃ κατὰ γῆς κρύπτει τὸ σπέρμα. διαπεπράχθαι δὲ ὧδε σπρά τε τῆ Ἀφροδίτῃ, τὸν ἴσον χρόνον μένειν τὸν Ἄδωνιν, ἐν σπρὰ τῇ Περσεφόνῃ, δι' ἣν ἔπομαι αἰτίαν. ἐκάλεσαν δὲ Περσεφόνην τὴν τῆς Δημήτερος θυγατέρα, διὰ τὸ ἐπίπονον εἶναι καὶ πόνων οἰκτικὴν ἐργασίαν, ἢ τῷ ἐκ πάντων φομονῆς φέρεσθαι. νηστεύσι δὲ εἰς τιμὴν τῆς Δή-

μη-

μητρος, ἢ γεραίροντες αὐτὴν ἰδίῳ τρόπῳ τινὶ ἀπ' αὐτῆς, ἢ διὰ τὸ ὡρὸς μίαν ἡμέραν ἀπέχειν τῶν δεδομένων αὐτοῖς ὑπ' αὐτῆς, ἢ κατ' εὐλάβειαν ἐνδείας ἀφ' τῆς θεᾶ ποτε γενομένης. ἐπειδὴ δὲ ἕτερον, ἀφῆρεν ἀπὸ τῶν ἰδίων χρεῶν, καθὸ καὶ περὶ τὸν τῦ ὡρύ καιρὸν αὐτῆς ἄγεσι τινὶ ἑορτή· περὶ δὲ τὸ ἔαρ Δημήτερι χλόῃ θύεσι, μετὰ παιδείας καὶ χαρᾶς, ἰδόντες χλοάζοντα, καὶ ἀφθονίας αὐτοῖς ἐλπίδα ἐπιδεικνύντα. ὁπτεῦθεν δὲ καὶ ὁ Πλῦτος λέγεται τῆς Δημήτερος εἶναι υἱός· καλῶς γὰρ εἴρηται τό·

Σίτῳ καὶ κειθῆς, ὦ νήπιε, πλῦτος ἄριστος.

καὶ ἐναντίον πῶς ὅτι τῷ λιμώττειν τὸ περιουσιάζειν. εἰς ὃ καὶ ἀπιδὼν Ἡσίοδός φησιν·

Ἐργάζευ Πέρση, διΐον γένος, ὄφρα σε λιμὸς
Ἐχθαίρῃ, φιλέῃ δέ σ' εὐστέφανος Δημήτηρ.

θύεσι δ' ὡς ἐγκύμονας Δημήτερι, πάνυ οἰκείως, τὸ πολύγονον καὶ εὐσύλληπτον καὶ πλεσφόρον παριστάντες. ἀνατιθέασι δ' αὐτῇ καὶ τὰς μήκωνας, κατὰ τὸν λόγον. τό, τε γὰρ σπογγύλον ἐν περιφερεῖ αὐτῶν παρίσησι τὸ σχῆμα τῆς γῆς, σφαιροειδῦς ὕσης· ἥ, τε ἀνωμαλία τὰς κοιλότητας καὶ τὰς ἐξοχὰς τῶν ὀρῶν. τὰ δ' ἐντὸς, τοῖς δενδρώδεσι καὶ ὑπονόμοις ἔοικε, σπέρματά τε ἀναείθμητα γεννῶσιν ἡ γῆ. διὰ ὃ τὴν ἀφθονίαν τῶν σπερῶν ἐπαύσαντο δυσφόρητον ἐν ἀμφιδήριτον τινὶ τροφὶ ἔχοντες· ὅθεν καὶ σωτιθέμενοί τινα ὡρὸς ἀλλήλυς περὶ τῶν ἠλλοτριωμένα μέτρων, καὶ διανεμόμενοι τὰ γεννώμενα. δικαίως ὃ ἀρχηγὸν ἔλεγον νόμων ἐν θεσμῷ τινὶ Δήμητρα αὐτοῖς γεγονέναι. ὁπτεῦθεν ἐν θεσμοθέτιν αὐτὴν ὡροσηγόρευσαν, οἷον νομοθέτιν οὖσαν. οὐκ ὀρθῶς τινῶν ὑπολαβόντων, εἰρῆσθαι ἀπὸ τῦ τὸν καρπὸν ἀπολίθεσθαι καὶ θησαυρίζειν. μυστήρια δ' ἄγειν ἤρξαντο αὐτῇ, φιλοσοφοῦντες ἅμα τῇ εὑρέσει τῶν ὡρὸς τὸν βίον χρησίμων, ἐν τῇ παιγνύρει χαίροντες, ὡς μαρτυρίῳ χρώμενοι τῦ πεπαῦσθαι μαχομένους αὐτοὺς περὶ τῶν ἀναγκαίων. μυσιᾶν γάρ ἐστι, τὸ κορεῖσθαι. πιθανὸν γὰρ ἐντεῦθεν ὀνομᾶσθαι τὰ μυστήρια· ὅθεν ἐν μυσία ὡς φασί τισι λέγεται. καὶ περὶ τύτων ἄλλις.

ΠΕΡΙ ΤΗΣ ΔΙΔΟΥΣ.

Δἰδὼ, ἡ τῦ Ἀγήνορος θυγάτηρ, ἡ Βήλυ, βασιλέως Τυρίων, ἡ καὶ Ἔλισσα καλυμένη, καὶ Ἄνα, ἀδελφὴ Πυγμαλίωνος, συγχαίρῳ γυμένῃ ἀνδρὶ Φοίνικι, Τύρον ᾤκει. τῦτον δὴ τὸν ἄνδρα ὁ Πυγμαλίων σὺν αὐτῷ ἀποδημοῦντα πυ δολοφονεῖ, ἔρωτι

χρη-

χρημάτων. ὁ δὲ δι' ὀνείρων σημάνας τὸ πάθος τῇ γυναικὶ, κελεύει φεύγειν· ἀκέτι γὰρ εἶναι πιστὰ τῷ Πυγμαλίωνι, ὃν δευτέρῳ χρημάτων τὰ φυσικὰ τιθεμένῳ θεσμά. ἡ δὲ προσλαβομένη τινὰς τῶν Τυρίων, συναραμένη δὲ καὶ τὰ χρήματα, ἔρχεται ἐπὶ Λιβύης. τοῦ δὲ Νομάδων καὶ Μαζίκων βασιλέως Ἰάρβαντος ἐκβάλλοντος αὐτὴν, ἠξίου ἡ γυνὴ χῶρον αὐτῇ τιμῆς ἀποδόσθαι, ὅσον ἂν βύρσα, ἔφασαν, βύρσα περιλάβοι βοός· τυχοῦσα δὲ τοῦ ἀξιώματος, διὰ τὸ δόξαι μικρὰ αἰτῆσαι, λαμβάνει βύρσαν· καὶ κατατεμοῦσα εἰς λεπτὰ, καὶ τὸν λεπτοτμηθέντα ἱμάντα ἐκτεκτήνασα, ἔχει τὸν κύκλῳ ἐμπεριληφθῆναι γῆν τῷ ἱμάντι εἰς μῆκός τε καὶ εἰς πλάτος· πολὺν ὅρον τῇ πόλει τῷ τοιούτῳ σοφίσματι περιγράψασα. καὶ ὅπως ἡ Καρχηδὼν ἐκτίσθη, Φοινίκων ἀνέκαθεν ὄντα τῶν μετὰ τῆς Διδοῦς, ἥτις νῦν Λιβύων ἐστί. μητρόπολιν δ' ἔχουσιν τοῦτον Λίβυες εὔορμον οὖσαν· λιμένα γὰρ ἔχει εὐκατάγωγον, ἱδρυμένην ἐπὶ Χερρονήσῳ. πολλὴ δέ ἐστι περὶ ταῖς ἱστορίαις ἡ πόλις, καὶ πλοῦτον ἔχει βαθὺν, καὶ δύναμιν πολλήν. φασὶ δὲ καὶ ὅτι ἐρημωθεῖσα, καθ' ὃν καιρὸν καὶ ἡ Κόρινθος ἀνελήφθη πάλιν, τυγχάνει ἀνορθωθεῖσα ὑπὸ Καίσαρος τοῦ ἐπιλεγομένου Θεοῦ, οὗ υἱὸς ὁ Σεβαστὸς, πέμψαντος ἐκεῖ ἐποίκους Ῥωμαίους. ἡ δὲ τῆς πόλεως ἀκρόπολις διὰ τὴν ῥηθεῖσαν ἱστορίαν τῆς βοὸς, Βύρσα ἐκλήθη τὸ παλαιόν. φασὶ δὲ καὶ ὅτι ὁ ῥηθεὶς Ἰάρβας τὴν πόλιν μετὰ τοῦ κτίσιν καθάρας, ἐκάλεσε τῇ Λιβύων φωνῇ, καινὴν πόλιν· ὕστερον δὲ ἐκλήθη Καρχηδών. ἄλλοι δὲ περὶ αὐτῆς ἔτως ἱστοροῦσι· Καρχηδὼν ἡ πόλις, ἀπὸ Καρχηδόνος τινὸς ἀνδρὸς Φοίνικος.. ἐκαλεῖτο δὲ καὶ καινὴ πόλις, καὶ Καδμεία, καὶ Κακκάβη, ὅπερ τῇ ἐγχωρίῳ διαλέκτῳ ἵππου δηλοῖ κεφαλήν. ἐξ αὐτῆς φασι Κλειτόμαχον εἶναι τὸν Ἀκαδημαϊκὸν φιλόσοφον, τὸν καὶ Ἀσδρύβαν καλούμενον, ὃς ἠκροάσατο τοῦ σοφοῦ Καρνεάδου, καὶ ἐτῶν ἀνθρωπος, ἐλθὼν Ἀθήναζε, ἄμοιρος, ὡς φασι, καὶ τῶν ῥητόρων στοιχείων· καὶ ὅμως ὀξύτητι φύσεως, καὶ ἄκρα μελέτη εἰς πολὺ σοφίας ἐληλακώς. οἱ δὲ καὶ τοῦτο περὶ τῆς Καρχηδόνος φασὶν, ὡς ἄρα οἱ περὶ τὴν Ἔλισσαν, ἦγον οἱ μετὰ τῆς Διδοῦς ὀρύσσοντες εἰς πόλεως κτίσιν, καὶ βοὸς εὑρόντες κεφαλὴν, ἀπέχοντο τοῦ ὀρύσσειν, ὅια ὀπτευσάμενοι μόχθου καὶ δουλείου σωτηρίαν, ὃ δὲ οἱ βόες πάσχουσιν. ὀρύξαντες δὲ περί που φοίνικα πεφυτευμένον, εὗρον κεφαλὴν ἵππου· καὶ συμβαλόντες σημαίνεσθαι χολὴν αὐτοῖς, καὶ παρ' ἄλλων δόσιν τροφῆς, καθὰ δὲ τοῖς ἵπποις, ἔκτισαν ἐν τῷ τοιούτῳ τόπῳ τὴν Καρχηδόνα, καὶ ταῦτα πότιμον ὕδωρ μὴ ἔχοντι. καὶ τύχα διὰ τοῦτο καὶ Κακά-

κάβη ἐκλήθη, ὡς ἀνωτέρω ἔκκειται. ἀλλ' ἐπὶ τῷ Διδοῦ ἐπανιτέον· Διδοῦ τὴν ἰοικύτῳ γυναῖκα ἐκάλεσαν οἱ πλεονεκτήσαντες ἐπιχωρίῳ φωνῇ, ὡς ἂν εἴποι τις, ἀνδροφόνον· διαβάλλοντες ἐκείνῳ ὡς δῆθεν αἰτίαν ἔχουσαν τοῦ ἀνδροφονῆσαι, διὰ τὸν ἐκ τοῦ ἀδελφοῦ φόνον. ᾗ γὰρ, ὡς εἴρηται, πρότερον Ἐλέσσαρ, ἤτοι Ἐλίσσα, ὠνομάζετο. λέγουσι δὲ ᾗ ὅτω διὰ τὸ πολλὰ πλανηθῆναι, ἀπὸ Φοινίκης ἀπάρασαν ἐπὶ Καρχηδόνα, Διδὼ κληθῆναι· τῇ γὰρ Φοινίκων φωνῇ τὴν πλανῆτιν, Διδὼ προσαγορεύουσι. πυρὰν γὰρ αὐτῷ ἀνάψασαν, καὶ ἑαυτῷ τῷ πυρεὶ ἐμβαλοῦσαν, οἱ Τύριοι κλαίοντες, καὶ τῷ πυρᾷ περιερχόμενοι, Διδὼ ἀνεκάλουν, ὅ ἐστι πλανῆτιν.

ΠΕΡΙ ΤΩΝ ΔΙΚΑΣΤΗΡΙΩΝ ΤΩΝ ΕΝ ΤΑΙΣ ΑΘΗΝΑΙΣ.

Δικαστήρια Ἀθήνησι πολλὰ ἦν· ᾗ ἔν τισι μὲν ἐδίκαζον περὶ φονικῶν πραγμάτων, ὡς ἐν τῷ Ἀρείῳ πάγῳ· ἔν τισι δὲ περὶ δημοτικῶν, ὡς ἐν τῷ Παλλαδίῳ, ᾗ περὶ τοῦ ἀκουσίων, ἡ Βουλὴ τῶν πεντακοσίων· εἶτ' ἐπὶ Δελφινίῳ ἐδικάζετο τοῖς ὁμολογοῦσιν ἀνηρηκέναι μὲν, λέγουσι δὲ ἐννόμως· καὶ τὸ ἐν Πρυτανείῳ. ἕκαστον δὲ τούτων εἶχεν ἔν τι τῶν στοιχείων, εἰδικὸν ὄνομα· οἷον ἦν τὸ τῶν δικαστηρίων λεγόμενον Α· ὁμοίως ἄλλο λεγόμενον Β· ἄλλο Γ· ᾗ ἑξῆς τὸ Δ, ᾗ τὸ Ε, ἕως τοῦ Κ. δέκα γὰρ ἦν τὰ Ἀθήνησι δικαστήρια· ᾗ πρὸ θυρῶν δὲ ἑκάστου δικαστηρίου ἐγέγραπτο πυρρῷ βάμματι τὸ στοιχεῖον ᾧ τινι τὸ δικαστήριον ὠνομάζετο· ὅσοι δὲ δικασταὶ ἦσαν ἐν Ἀθήναις, ἕκαστος καθ' ἕκαστον δικαστήριον εἶχε δέλτον, τυπτὸν πινακίδιον, ἐν ᾧ ἐγγεγραμμένον ἦν τὸ ὄνομα αὐτοῦ, καὶ τοῦ δικαστηρίου. εἶχε δὲ ᾗ ῥάβδον ἅμα τῷ πινακιδίῳ, ᾗ ἐν αὐτῇ ἦν τὸ ὄνομα τοῦ δικαστηρίου ἐγγεγραμμένον· οὐ μὴν, ἀλλὰ καὶ τὸ πατρόθεν ὄνομα τοῦ δικαστοῦ καὶ τὸ τοῦ δήμου ἦν γεγραμμένον. ὅτε δὲ σωίβαινε καιρὸς τοῦ δικάζειν, ἤρχοντο πάντες οἱ δικασταὶ εἰς τὴν ἀγορὰν, κἀκεῖ οἱ δέκα θεσμοθέται κατὰ φυλὴν ἕκαστος, ᾗ ἐνδέκατος ὁ γραμματεύς, ἐκλήρου τὰ γράμματα μέχρι τοῦ Κ· δέκα γὰρ ἦσαν φυλαί. ᾗ ἔθος ἦν ἀπὸ πασῶν τῶν φυλῶν δικαστὰς καθίζειν· εἶτα ἀπὸ μιᾶς ἑκάστης ἐλάμβανον ἄνδρας πέντε, τοὺς ἐπισημοτέρους· ᾗ πάλιν ἀπὸ τῶν πέντε τὸν ἕνα, τὸν κλήρῳ λαχόντα, ἐποίουν δικάζειν· ὅστις ἂν οὖν ἐκληροῦτο κλῆρον ἔχοντα τὸ Α, ἀπήρχετο εἰς τὸ Α δικαστήριον· ὁμοίως ὅστις τὸ Β, εἰς τὸ Β· καὶ τὰ ἑφεξῆς. καὶ πρῶτον μὲν ἐδείκνυε τῷ κήρυκι τοῦ δικαστηρίου τὸν κλῆρον τοῦ στοιχείου. ὁ δὲ κῆρυξ λοιπὸν ἐδίου αὐτῷ τὸ πινάκιον αὐτοῦ, καὶ τῷ ῥάβδον, εἶτα ὕστως ἐδίκαζεν. εἰ δέ

τις

τις δικαστὴς εἰσῆει, μὴ κληρωθεὶς εἰς τὸ δικαστήριον, διαφόρως ἐζημιοῦτο.

ΠΕΡΙ ΤΟΥ ΔΙΟΜΗΔΟΥΣ.

Διομήδης, μετὰ τὴν τῆς Ἰλίου πόρθησιν καταπλεύσας εἰς Ἄργος τὴν ἑαυτοῦ πατρίδα, καὶ εὑρὼν τὴν ἑαυτοῦ γαμετὴν, Αἰγιάλειαν, συμφθειρομένην Κομήτῃ τῷ υἱῷ Σθενέλου, διὰ τὸ αὐτὸν ἐν Τροίᾳ τρῶσαι τὴν Ἀφροδίτην, καὶ μέλλων ὑπὸ τῆς αὐτῆς Αἰγιαλείας ἀναιρεθῆναι, τότε μὲν εἰς τὸν τῆς Ἀργείας Ἥρας βωμὸν καταφυγὼν, σώζεται· ὕστερον δὲ, εἰς τὸ Δαύνιον ᾤχετο ἔθνος, ὃ ἐβασίλευε Δαύνος· ὃς πολιορκούμενος, ἐδεήθη τοῦ Διομήδους βοηθῆσαι αὐτῷ, ὑπισχνούμενος δώσειν τῆς γῆς μέρος· ὁ δὲ βοηθήσας, καὶ νίκην ἀθλήσας Δαυνίοις, ἔκτισε πόλιν Ἀργυρίππαν, ἤτοι Ἵππιον Ἄργος. ὕστερον δὲ Δαῦνος αἱρεσιν αὐτῷ ἐδίδου, ἢ ὄλλων τὴν λείαν λαβεῖν τοῦ πολέμου, ἢ τὴν γῆν πᾶσαν. κειτὶς δὲ αὐτῶν γέγονεν Ἄλαινος, ἀδελφὸς νόθος τοῦ Διομήδους, ἐρῶν Ἐυίππης τῆς θυγατρὸς τοῦ Δαύνου· ὃς ἔκεινε τὸν Δαῦνον ἔχειν τὴν γῆν, Διομήδην δὲ τὴν λείαν λαβεῖν τοῦ πολέμου. γνοὺς δὲ ὁ Διομήδης, κατηράσατο μὴ δύναθαι σπείρειν γῆν· Ἣν δὲ σπειρομένην μὴ ἀναδιδόναι καρπὸν, εἰ μή τις αὐτὴν σπείρῃ τῶν αὐτοῦ συμπολιτῶν. ὕστερον δὲ πρὸς Δαύνου ἀνηρέθη ὁ Διομήδης· οἱ δὲ φίλοι αὐτοῦ θρηνοῦντες αὐτὸν, μετεβλήθησαν εἰς ὄρνεα, ὅμοια κύκνοις, ἃ τοὺς βαρβάρους φεύγει, φοιτᾷ δὲ παρ' Ἕλλησιν· ὥστε καὶ ἐκ τῶν χειρῶν αὐτοῦ ἁρπάζειν τροφὰς, καὶ δύνειν εἰς τοὺς κόλπους αὐτῶν. οἰκεῖ δὲ ταῦτα ἐν τῇ ἀπὸ Διομήδους καλουμένῃ νήσῳ. κεῖται δὲ ἡ νῆσος πρὸ τοῦ Ἰονίου κόλπου, καὶ τοῦ Ἀνδρίου. οἱ δὲ Ἰάπυγες καὶ Ἀπόλλοι περὶ τὸν Ἰόνιον κόλπον οἰκοῦσιν· Ἀπόλλων δὲ ἔθνη, κατὰ τὸν Δίωνα, Πευκετίοι, Ἀπόλλοι, καὶ Δάυνιοι, καὶ Ταραντῖνοι, καὶ Κάνναι. Διομήδους δὲ πεδίον ἐστὶ, περὶ τὴν Ἀπυλίαν τοῦ Δαυνίου· ἡ δὲ Μεσαπύγη, καὶ Ἰαπυγία, ὕστερον Καλεντία, εἶτα Καλαβρία ἐκλήθη· ἡ δὲ Ἀργυρίππα πόλις τοῦ Διομήδους, μετεκλήθη Ἀπυλὶς Ἄρπας· ἄλλοι δὲ ἱστοροῦσιν ὡς ἡ Ἀφροδίτη ἐν τῷ καιρῷ τοῦ Τρωϊκοῦ πολέμου ἀνέτεινε τὴν Αἰγιάλειαν μιχθῆναι Κομήτῃ· ὑφ' ὧν καὶ ἐξωσθεὶς μὴ τὸν νόστον ὁ Διομήδης, εἰς Τελλίστους, ἢ Τηλίστους Ἴβηρας ἦλθε πλανήτης, ἀλλὰ καὶ εἰς τὴν νῆσον ταύτην· ἕτεροι δὲ δύο ἱστοροῦσι τὰς τοῦ Διομήδους νήσους, λέγοντες καὶ ὅτε τῆς περὶ τὴν θάλασσαν ταύτην διωκούσης τοὺς Διομήδους, καὶ αἱ

Διομήδεαι νῆσοι μαρμάρια, καὶ ὁ παρ' Ἐνετοῖς αὐτῷ λευκὸς ἵπ-
πος θυόμενος· τῷ δὲ δύο τούτων νήσων τιμὴ μὴ οἰκεῖσθαί φασιν,
ἧς καὶ μεμνῆσθαι σχεδὸν πάντες δοκοῦσι· τιμὴ δ' ἔρημον εἶναι, ὃ
ἢ καὶ τὸν Διομήδους ἀφανισθῆναι λέγουσι, καὶ τὰς ἑτέρας ἐκεῖ ἀ-
πορνισθωθῆναι, ὡς δὲ τῷ Λυκόφρονι δοκεῖ. ἰστέον δ', ὅτι ὁ μὲν
Ποιητὴς σώφρονά τε οἶδε τιμὴ τὴ Διομήδους γυναῖκα τιμὴ Αἰγιά-
λειαν, δὲ ὑδὲ διωχθῆναι τὸν Διομήδους ἱστορεῖ. ἐπωμνύ δ' ἀμ-
φότερα περὶ Διομήδους καὶ Σθενέλου· φιλίαν μὲν γὰρ σφίσιν εἶναι
ὑ μέσον, ἢ Ἀχιλλεῖ δὲ Πατρόκλῳ ἱστορῶσιν· ὅτοι γὰρ δὲ ἡλι-
κίας μὲν ταύτην εἶχον· δὲ, ὥς τισι δοκεῖ, λέγονται πεζομαχήσ-
ντες ἀποθανεῖν. ὁ μὲν, ὑπὸ Θηβαίων· ὁ δ', κεραυνωθεὶς. κειμέ-
νων δ' ἀτάφων τῶν νεκρῶν, τὸν μὲν ὑπὲρ τῶν σωμάτων ἀγῶνα
Ἀθηναῖοι ἤραντο, δὲ ἔθαψαν αὐτοὺς νικῶντες· τὸν δ' ὑπὲρ τῶν
ψυχῶν, οἱ παῖδες ὑπὲρ τῶν πατέρων ἐνίκησαν, ὅτε ἤβησαν. δὲ
τὸ κράτος τῆς μάχης εἰς Διομήδη τε δὲ Σθένελον ἦλθεν, ὡς
ἀρίστω τε δὲ ὁμοίω ἄνδρε. Ὅμηρος δ' ὐκ ἀξιοῖ αὐλοὺς τῶν ἴσων·
τὸν μὲν γὰρ λέοντί τε εἰκάζει, καὶ ποταμῷ γεφύρας ἀπάγοντι καὶ
ἀνθρώπων ἔργα· δὲ γὰρ ὕπως ἐμάχετο· ὁ δ' οἷον θεατὴς τοῦ Διο-
μήδους ἔστηκε, φυγῆς τε σύμβουλος αὐτῷ γινόμενος, δὲ ἄρχων
φόβου. ἄλλοι δέ φασιν μὴ ἐλάττω τοῦ Διομήδους ἔργα τὸν Σθέ-
νελον μηδ' ἐκεῖ δρᾶσαι· καὶ φιλοτιμεῖσθαι ὕπως πρὸς ἀλλήλους,
ὡς σὺν ἀθυμίᾳ ἐπανήκειν ὃν τῆς μάχης τὸν ἀπολειφθέντα τοῦ
ἑτέρου· δὲ τὸ ἔργον δ' τὸ εἰς Αἰνείαν τε δὲ Πάνδαρον πεπρᾶχθαι
αὐτοῖς ὁμοῦ· τὸν μὲν γάρ φασι τῷ Αἰνείᾳ προστρεπεῖν μεγίστῳ
τοῦ Τρωϊκοῦ ὄντι. τὸν Σθένελον δ', τῷ Πανδάρῳ προσαγωνίσα-
σθαι καὶ κρατῆσαι αὐτοῦ. καὶ τὸν μὲν Ὅμηρον Διομήδει μόνῳ ἐξηρη-
κέναι ταῦτά φασιν, ὥσπερ ἐκλαθόμενον ὢν πρὸς τὸν Ἀγαμέ-
μνονα ὑπὲρ τοῦ Σθενέλου εἰπε. τὸ γὰρ,

Ἡμεῖς τοι πατέρων μέγ' ἀμείνονες εὐχόμεθ' εἶναι,
Ἡμεῖς δὲ Θήβης ἕδος εἴλομεν,

ἀνδρὸς ὄντι πολυπλήσια τούτοις καὶ ὃν Ἰλίῳ πράττοντος. καὶ τοῦτο
περὶ τοῦ Σθενέλου λέγουσιν, ὡς τεῖχος μὲν οὐδὲν τοῖς Ἀχαιοῖς
ἐξεποιήθη ὃν Τροίᾳ, οὐδὲ ἔστιν, ᾧ ἐφράξαντο ἢ τὰς ναῦς, ἢ τὴν
λείαν, ἀλλὰ τειχομαχίας ᾠδαί, ταῦτα Ὁμήρῳ ἐπενοήθησαν, δι'
ἃς καὶ τὸ τεῖχος αὐτῷ σωσπέθη. ὁρμὴ μέντοι τειχοποιΐας, ὁμο-
λογεῖται τὸν Ἀγαμέμνονα εἰσελθεῖν, μηνίοντος Ἀχιλλέως· ἢ
πρῶτον ἀνειρηκέναι τὸν Σθένελον εἰπόντα· ἐγὼ μέντοι ἐπισπεύσ-
τερος τεῖχη καθαιρεῖν, ἢ ἐγείρειν· ἀνειρηκέναι δ' δὲ τὸν Δια-

μήδη

μήδη τῷ τείχει, φήσαντα μεγάλων ἄξιόν ἐστι τὸν Ἀχιλλέα, εἰ συγκλείσαιμεν ἑαυτοὺς λοιπὸν, ἐπειδὴ ἐκεῖνος μηνίει. Αἴας δὲ λέγεται ταυρηδὸν ὑποβλέψας τὸν βασιλέα, δείλαιε, εἶπεῖν, τί δὴ αἱ ἀσπίδες; καὶ τὸν ἵππον δὲ τὸν κοῖλον παρῆτεῖτο ὁ Σθένελος, ὡς τειχομαχίαν τοῦτο εἶναι φάσκων, ἀλλὰ κλοπῆι τῆς μάχης. τὰ μὲν δὴ μάχιμα ὅμοιοι ἦσαν, καὶ ἴσα τοῖς Τρωσὶ φόβου ἄξιοι· ἐλέγετο δὲ τοῦ Διομήδους ὁ Σθένελος, σύνεσίν τε, καὶ λόγου ἔχειν, καὶ καρτερήσεις, ὁπόσαι ψυχῆς τέ εἰσι, καὶ σώματος· ὀργῆς τε γὰρ ἦττων ἦν, καὶ ὑπέρφρων τοῦ ὁμίλου, καὶ τραχὺς ἐπιπλήττεσθαι· καὶ τὰ εἰς τὴν δίαιταν, ἁβρότερον, ἢ ἐπὶ στρατοπέδου ἔχρῆν, κατεσκεύαζε. Διομήδει δὲ, ταναντία ἤθους ἐπράττετο· μετρίως τε γὰρ ὑπὸς τὰς ἐπιπλήξεις εἶχε, καὶ ἐκολάζετο ἀξιοδόξου τῆς ὀργῆς· ὑβρίζειν τε οὐ σιωπεχώρει τοῖς πλήθεσιν, οὐδὲ ἀθυμεῖν· αὐτός τε ἀυχμῶν φάινεσθαι, στρατιωτικὸν ἡγεῖτο· καὶ τὸ ὡς ἔτυχε καθεύδειν ἐπῄνει· σιτία τε ἦν αὐτῷ τὰ ἐπιτυχόντα· καὶ οὐδὲ ὄινῳ ἔχαιρεν, εἰ μὴ καθίκοιντο αὐλῶν οἱ πόνοι. τὸν δὲ Ἀχιλλέα ἐπῄνει μὲν, οὐ μὴν ἐξεπέπληκτό γε, οὐδὲ ἐθεράπευεν, ὥσπερ οἱ πολλοί· ὧδε δὲ τῶν ἀνθρωποφάγων ὧν Διομήδους ἵππων τάδε λέγεται· Διομήδης πάνυ μοχθηρὰς καὶ πόρνας εἶχε θυγατέρας, αἵτινες τοὺς παριόντας ξένους ἐβιάζοντο αὐταῖς συνεῖναι, ἕως ἂν κόρον σχῶσι, καὶ ἀναλωθῶσιν οἱ ἄνδρες, ὃς εὐθὺς μὴ τὸ ἔργον ἐφόνευον· διὸ ἐμυθεύθησαν ἵπποι ἀνθρωποφάγοι. ἄλλοι δὲ λέγουσιν ὅτι τῶν παλαιῶν ἀνθρώπων ὄντων αὐτουργῶν, καὶ τροφὴν ἐκ πεζουσίαν πλείστην κεκτημένων, ἅτε τῇ γῆν ἐργαζομένων, ἱπποτροφεῖν ἐπελάβετο ὁ Διομήδης, καὶ μέχρι τούτου ἵπποις ἤδετο, ἕως ἂν τὰ αὐτοῦ ἀπώλεσε, καὶ πάντα πωλῶν, καταναλώσεν εἰς τὴν τῶν ἵππων τροφήν. οἱ δὲ φίλοι αὐτοῦ διὰ τοῦτο τοὺς αὐτοῦ ἵππους ἀνθρωποφάγους ὠνόμασαν.

ΔΙΟΜΗΔΟΥΣ ΓΕΝΕΑΛΟΓΙΑ.

Οἰνεύς, Αἰτωλίας βασιλεύς, γεννᾷ ἐξ Ἀλθαίας τῆς Θέστιος, Δηϊάνειραν. Μελέαγρον, καὶ Τυδέα, καὶ Γόργην.

Διομήδης, Ἄλκαινος νόθος.

Ἀταλάντης Παρθενοπαῖος.

ΠΕ-

ΠΕΡΙ ΤΟΥ ΔΙΟΝΥΣΟΥ.

Διόνυσος ὁ Διὸς καὶ Σεμέλης γεννηθῆναι μυθεύεται· ὁ δὲ μῦθος ἔχει ὧδε· Σεμέλη θυγάτηρ γέγονε Κάδμου τοῦ Θηβῶν βασιλέως. ταύτης ἠράσθη ὁ Ζεύς, καὶ συγγίνεται αὐτῇ· καὶ συλλαβοῦσα εἶχεν ἐξ αὐτοῦ τὸν Διόνυσον ἔγκυον. ἡ δὲ Ἥρα ζηλοτύπως φερομένη, σχηματίζεται πρόσωπον τροφοῦ ἐγνωσμένης τῇ Σεμέλῃ, καὶ συμβουλεύεται αὐτῇ τῇ Σεμέλῃ, ὅτι δεῖ αἰτῆσαι τὸν Δία συγγενόμενον, ὥσπερ συγγίνεται τῇ Ἥρᾳ. σωφρονίσασα δὲ ὁ Ζεὺς τῇ Ἥρᾳ μεθ' ὅρκου καὶ κεραυνῶν. ἄλλως δὲ ἔλεγεν, αὐτὴν ἐξαπατᾶσθαι, καὶ μὴ τὸν Δία αὐτὸν εἶναι τὸν συγγενόμενον ἐκείνῃ, ἀλλ' ἄλλον τινά. ταῦτα δὲ συμβουλεύσασα ἡ Ἥρα τῇ Σεμέλῃ, ἵνα ἐρχομένου τοῦ Διὸς μεθ' κεραυνῶν πρὸς αὐτὴν, ὡς θνητὴ καταφλεχθήσεται, καὶ μηκέτι τὴν ἀντίζηλον ἔχῃ, ὃ δὴ καὶ γέγονε. τοῦ Διὸς γὰρ ἐλθόντος πρὸς τὴν Σεμέλην, ἤτησεν ἐκείνη ὅτε καὶ αὐτῇ συγγενέσθαι ὡς τῇ Ἥρᾳ. καὶ συγγίνεται μεθ' κεραυνῶν καὶ βροντῶν· μὴ ἐνεγκοῦσα δὲ ἡ Σεμέλη τὰς κεραυνούς, κεραυνοῦται καὶ ἀπόλλυται. καὶ τότε λαβὼν ὁ Ζεὺς τὸν Διόνυσον ἔμβρυον ὄντα, ἔρραψεν εἰς τὸν αὐτοῦ μηρόν· καὶ ὕστερον εἰς τὸν ἑβδόμου μηνὶ ἐλθὼν ὁ Ἑρμῆς ἀναπτύσσει τὸν μηρὸν τοῦ Διός, καὶ γενᾶται ὁ Διόνυσος· καὶ λαμβάνει αὐτὸν καὶ ἀποφέρει εἰς Νύσαν τῆς Θράκης, κἀκεῖ σῴζεται τῶν Νυμφῶν γαλακτοτροφεῖται· τὸν δὲ Διόνυσον καὶ Διώνυσον καλοῦσι διὰ τοῦ Ξ, ὅτι κέρατι γενόμενος, ἔνυξε τὸν Διὸς μηρόν· ἄλλοι δὲ λέγουσιν ὑπὸ τῶν Βασσάρων αὐτὸν τραφῆναι, ὅτω καλούμενοι, διὰ τὸ βάσιν ἐπ' ἀρᾶ ποιεῖσθαι τὸ μανιῶδες, καὶ Λυδῶν, καὶ Μακέτων, καὶ Μιμαλλόντων, δαιμονίων τινῶν· οἵτινες τροφοὶ εἰς ἀμπέλους ἀλληγορικῶς μεταλαμβάνονται, τὰς τρίχας κατακεχυμένους, καὶ ἄλλα τινὰ ποιοῦσαι φίλα τῷ Διονύσῳ, κιττῷ στεφανούμενοι, καὶ ἀμπέλῳ, καὶ κατέχουσαι χερσὶν, αἱ μὲν, ἐγχειρίδια, αἱ δὲ, ὄφεις. τοῦτο δὲ πρὸς αἴνιγμα τοῦ καὶ θηριώδεις καὶ φοινικοῦς εἶναι τοὺς μεθύοντας· ἐπεὶ καὶ αὐλὸς ὁ Διόνυσος εἰς οἶνον ἀλληγορεῖται· ἀφ' οὗ καὶ τὸ διονυσιάζειν, συμποσιακὴ λέξις παρὰ Πλάτωνι· οἷον πάντα τὸν βίον ἐδιονυσίαζεν, ἦγον περὶ οἶνον ἠσχολοῦντο· καὶ καθ' ἱστορίαν δοτὴρ οἴνου, ἣν εὑρετὴς λέγεται· ἡ Δήμητηρ γὰρ, καὶ ὁ Διόνυσος, ὡς φασιν, Αἰγύπτου βασιλεῖς ὄντες, γεωργίαν καὶ φυτουργίαν ἐδίδαξαν· καὶ ἧττο καθ' Ἡρόδοτον. καὶ γὰρ αὐτὸς ἐκεί που τῷ Αἰγυπτίων τὸν μῦθον τοῦτον πλεσφορεῖ, λέγων ὅτι ὁ Ζεὺς τὸν Διόνυσον εἰς

τὸν

τὸν μηρὸν ἀνερράψατο, καὶ ἤνεγκεν εἰς Νύσαν τῇ ὑπὲρ Αἰγύπτου οὔσαν· ἄμπελος δὲ, ὡς φησιν ὁ Γεωγράφος, αὐτόθι ἡ πλεσίκαρπος. ἀποῤῥέει γὰρ ὁ βότρυς ὡρίην ἢ περκάσῃ, διὰ τὰς ἄρδῃσι ὄμβρους.

ΠΕΡΙ ΤΟΥ ΤΟΝ ΔΙΟΝΥΣΟΝ ΕΙΝΑΙ ΑΝΔΡΟΓΥΝΟΝ.

Λέγουσι δὲ τὸν Διόνυσον καὶ τὰ ἀνδρῶν ποιεῖν, καὶ τὰ γυναικῶν πάσχειν, διὰ τὸ εἶναι αὐτὸν, ὡς ἐῤῥήθη, οἶνον δημιουργὸν καὶ ἔφορον, καὶ αὐτῆς τῆς μέθης, καὶ διὰ τὸ δεδωκέναι ταῖς γυναιξὶ, καὶ τοῖς ἀνδράσι πίειν. ὅθεν μεθυσθέντες καὶ ἀλλήλοις χορεύοντες, ὅτε μὲν εἰς ἀνοήτους ὀρέξεις οἱ ἄνδρες τὰς γυναῖκας κινοῦσιν, ὅτε δ' αἱ γυναῖκες αὐτούς· καὶ τούτου αἴτιος ὁ ποθεὶς Διόνυσος· τῆς Ἥρας αὐτῷ τὸ μεθύσκεσθαι εἰσηγησαμένης, ἵνα λήσηται παράφρων· ὠργίζετο γὰρ αὐτῷ ἡ Ἥρα ὡς υἱῷ νόθῳ τοῦ Διός. ἐζηλοτύπει γὰρ τὸν ἐκ Διὸς καὶ ἄλλης τινὸς γυμνάσια γυνή· οἰκείως δ' ἔδοξεν καὶ εἰρήνη κατά τι ὁ αὐτὸς Διόνυσος εἶναι, τῶν ἡμέρων δένδρων ἐπίσκοπος ὢν καὶ δοτὴρ θεός· ἐπεὶ καὶ διὰ ταῦτα σπονδὰς ποιοῦνται. δενδροσκοποῦνται γὰρ αἱ χῶραι τοῖς πολέμοις· ἐν εἰρήνῃ δ' τὰ τῶν εὐωχιῶν θάλλει, οἷς ἀναγκαιότατον ὁ οἶνός ἐστι· τυγχάνει δὲ καὶ Διόνυσος, ἤτοι Διόνυσος ὢν, ἢ Διάνυσός τις, ἀπὸ τοῦ διαίνειν ἡμᾶς ἡδέως· ἢ ὡσανεὶ Διάλυσος, τροπῇ τοῦ Α εἰς Ο, καὶ τοῦ Λ εἰς Ν. ἀφ' οὗ καὶ Ἀλύσιον αὐτὸν, καὶ Λυαῖον ἐπωνόμασαν, λύοντα τὰς μερίμνας. τινὲς δέ φασιν, ἀπὸ τοῦ εἰς τὸ Σίτιον ὄρος φῦναι ὡρῶον τὴν ἄμπελον, παρελθεῖν τοῦτο τὸ ὄνομα εἰς τὴν σιωπήθεισαν. λέγεται δὲ διὰ πυρὸς λοχευθῆναι, τὸ θερμὸν αὐτοῦ καὶ πυρωτικὸν τῶν σωμάτων παρεισάντος τοῦ μύθου· οὕτω γὰρ οἶνός ἐστι, πυρὶ ἶσον μένος ἔχων, καὶ τοὺς ποιητάς. ἐῤῥαφθεὶς δὲ εἰς τὸν τοῦ Διὸς μηρὸν, ἐκεῖ πελεσφορηθῆναι, διὰ τὸ πεπαίνεσθαι καὶ πελεῖσθαι τὸν οἶνον τοῖς μηροῖς ἐκ δευτέρου. πεπανθεὶς γὰρ πρότερον, ὅτι ἁπλῆς ἐστι ῥοὸς χρῆσιν, ὕστερον δὲ πατηθεὶς τοῖς ποσὶ, πλεῖος γίνεται. ὡρώτη γὰρ ἐκείνη γένεσίς ἐστιν, ἡ κατὰ πέπανσιν τῆς ὀπώρας, ἥτις γίνεται τῶν καυμάτων ἀκμαζόντων. δευτέρα δ' ἡ κατὰ τὴν πάτησιν, ἐκθλιβομένου τοῖς ποσὶν αὐτῶν. καὶ ἴσως τόν τι ἐν τῷ μηρῷ συνεκδέχεσθαι δεόντως. Βρόμιός τε δὲ καὶ Βάκχος καλεῖται, διὰ τὸ τὰς πατοῦντας αὐτὸν ὡρῶον χρῆσθαι. εἶτα καὶ τὰς ἐως μέθης μὴ τῶν τοιούτων χρωμένας, ἀφιέναι ταῖς ἐν τοῖς ὡσὶν παιδείαις. ἐκστάσεως δὲ σύμβολόν ἐστιν οἱ Σάτυροι, τὴν ὁμοιότητα ἐχόντες ἀπὸ τοῦ σεσηρέ-

φέναι, καὶ οἱ Σκιρτοὶ ἀπὸ τοῦ σκαίρειν, καὶ οἱ Σελληνοὶ ἀπὸ τοῦ σελαίνειν καὶ σείεσθαι ἐν τῇ ληνῷ, καὶ οἱ Σενίδαι ἀπὸ τοῦ σοβεῖν, ὅ ἐστιν ὁρμᾶν. διὰ τούτων δ' ἴσως παρίστανται τὸ ὡσανεῖον μετ' ἐκλύσεως καὶ θηλύτητος παράφορον τῶν πινόντων. τούτου δ' ἕνεκε καὶ θηλύμορφος, ὥς τινες, πλάττεται, καὶ κέρατα ἔχει, ὡς τοὺς μὲν τόνους ἀποβαλλόντων τῶν μεθυόντων, βίᾳ δ' χρωμένων, καὶ δυσκάθεκτόν τι καὶ ὁρμητικὸν ἐχόντων. καὶ τὸ μὲν τῆς ἐωθινὸς ἀνθηρὸν, τῷ ποικιλίαν παρίστησι τῆς ὁπώρας· ἡ δὲ τοῖς πλείστοις τῶν πλασμάτων γυμνότης, τὸν ἀφ' ἑαυτοῦ τοῖς τόποις γινόμενον ἀπαμφιασμὸν τοῦ τρόπου· καθὸ δοκεῖ καὶ ὁ οἶνος ἀληθῶς εἰρῆσθαι. τάχα διὰ τοῦτο καὶ μαντεῖα ἐστ' ὅτε τοῦ Διονύσου γινομένη· τὸ δ' θορυβῶδες τῶν μεθυσκομένων, οἰκεῖόν τι ἔδοξεν ἔχειν. καὶ ὁ τῶν ῥόπτρων ψόφος, καὶ τῶν τυμπάνων, ἃ ἀφαλαμβάνουσιν εἰς τὰ ὄργια αὐτοῦ. χρῶνται δ' πολλοὶ καὶ αὐλοῖς ἀφ' τῷ συγκομιδῷ τοῦ καρποῦ, καὶ ἄλλοις τοιούτοις ὀργάνοις· ὁ δ' θύρσος, ἐμφαίνει τὸ μὴ ἀρκεῖσθαι τοῖς ἑαυτῶν ποσὶ τοὺς μεθυσκομένους, τῶν δ' ὑποσημαινόντων αὐλὸς δεῖσθαι. τινὲς δὲ τῶν θύρσων, καὶ ἐπιδορατίδας κρυπτομένας ὑπὸ τῶν φύλλων ἔχουσιν· ὡς καὶ ὁδωποφόρου τινὸς ἔσθ' ὅτε κρυπτομένου τῇ ἀφ' τὴν πολυποσίαν ἱλαρότητι, εἰς ὕβρεις ἐνίων καὶ παρακοπὰς ἐμπιπτόντων· ἀφ' οὗ δὴ καὶ μαινόλης ὁ Διόνυσος ἐκλήθη· καὶ Μαινάδες, αἱ περὶ αὐτὸν γυναῖκες. πλάττεται δὲ καὶ νέος καὶ πρεσβύτης, διὰ τὸ πάσῃ ἡλικίᾳ πρόσφορος εἶ· τῶν μὲν νέων λαβρότερον αὐτῷ χρωμένων, τῶν δὲ πρεσβυτέρων, ἡδύτερον· οἱ δ' παρεισάγονται ταῖς Νύμφαις ἥδιον αὐταῖς ἐπιμιγνύμενοι· καὶ τὰς μὲν πιέρωντες, τὰς δ' μὴ παιδιᾶς διαζόμενοι, τῷ τὴν πρὸς τὸ ὕδωρ κρᾶσιν τοῦ οἴνου σωφθῆναι χρησίμως ἔσαν. τὰς δὲ παρδάλεις ὑποζευγνύασι τῷ Διονύσῳ, καὶ παρακολουθούσας εἰσάγουσιν, ἤτοι διὰ τὸ ποικίλον τῆς χροιᾶς, ὡς τὸ νεβρίδα αὐτὸς περιῆφθαι καὶ αἱ Βάκχαι, ἢ ὡς καὶ τὰ ἀγριώτατα τῶν ἀνθρώπων ἥθη τῆς συμμέτρου οἰνώσεως ἥμερώσης· τὸν δὲ τράγον αὐτῷ θύουσι, διὰ τὸ λυμαντικὸν δοκεῖν τῶν ἀμπέλων καὶ τῶν συκῶν εἶναι τὸ ζῶον τοῦτο, καθὸ καὶ ἐκβαίροντες αὐτὸν, εἰς τὸν ἀσκὸν ἐνάλλονται καὶ τὰς Ἀττικὰς κώμας οἱ γεωργῶν νεανίσκοι· τάχα δ' ἂν καιρὸς τοιούτῳ θύματι ὁ Διόνυσος, διὰ τὸ ἑαυτὸν εἶναι τὸν τράγον, ἀφ' οὗ καὶ οἱ οἶνοι ἐν ταῖς πομπαῖς αὐτοῦ θαμίζουσι, καὶ οἱ φαλλοὶ αὐτῷ ἀναλίθενται, καὶ τὰ φαλλαγώγια ἄγεται· καὶ κινητικὸν γὰρ πρὸς τὴν σωφροσύνην ὁ οἶνος. διὰ τοῦτο ἐνίων κοινῇ μεθυόντων Διονύσῳ καὶ Ἀφροδίτῃ. ὁ δὲ νάρθηξ,

θηξ, διὰ τῆς σκολιότητος τῶν κώλων ἐμφαίνει, τῷ τῇδε κἀκεῖσε περιφέρεσθαι τὰς μεθύοντας· ἅμα δὲ καὶ ἐλαφρὰς, καὶ εὐβατάκτους αὐτὰς εἶ· τὸ δὲ ἔναρθρον τῆς λαλιᾶς αὐτῶν, ὡσανεὶ ἄρθρα ἔχων παείσησιν. ὀρεῖφοιτοι δ' εἰσὶ καὶ φιλέρημοι αἱ Βάκχαι, διὰ τὸ μὴ ἐν ταῖς πόλεσιν, ἀλλ' ἐπὶ τῶν χωρίων χλιαίνειν τὸν οἶνον. Διθύραμβος ὁ Διόνυσος ἐκλήθη, πότερον διὰ τὸ δίθυρον τὸ στόμα ποιεῖν, διά τε τὸ ἀναφαίνειν καὶ ἐκφερομυθεῖν ποιεῖν τὰ ἀπόρρητα· ἢ ὡς αὐτὸς ὢν ὁ ποιῶν ἐπὶ τὰς θύρας ἀναβαίνειν τὰς νέας, ἢ ἐκβαίνειν εἰς αὐτὰς, καὶ ἐκπίπτειν, καὶ διασαλεύειν τὰ κλεῖθρα. ὁ δὲ θρίαμβος, ἀπὸ τοῦ θροεῖν καὶ ἰαμβίζειν, τὴν κλῆσιν ἔλαχεν· ὅθεν καὶ ἐν τοῖς περὶ τὸν πόλεμον θριάμβοις, πολλοῖς ἀναπαίστοις σκώπτοντες χρῶνται· καὶ τὴν κίτταν, ὡς λάλον ὄρνεον ἀφιερῶσιν αὐτῷ, καὶ Βασσαρίδα καλοῦσιν, ἀπὸ τοῦ βάζειν· καὶ Ἐιραφιώτην, ἀπὸ τοῦ ἐῤῥάφθαι ἐν τῷ μηρῷ τοῦ Διὸς, ἢ ἀπὸ τοῦ ἔριν φαίνειν καὶ ἀφιέναι. πατὴρ γὰρ ἔριδος οἴνος ὥσπερ μέτριον πινόμενος· καὶ καθαιρετικὸς δὲ παντὸς ἀτινοσοῦν ὑπάρχων, ἔδοξε καὶ πολεμιστὴς εἶ· καὶ ὡρῶτος καλαδεδυκέναι τὸν ἐν ταῖς πολεμικαῖς ἀγῶσιν θρίαμβον. τῷ δὲ κισσῷ σέφεται, διὰ τὴν ὡρὸς τὴν ἄμπελον ἐμφέρειαν αὐτοῦ, καὶ τὴν ὡρὸς τοὺς βότρυς ὁμοιότητα, ὡς υμβάδων. πέφυκε δὲ καὶ σφάλλειν τὰ δένδρα, ἀνέρπων δι' αὐτῶν, καὶ περιπλεκόμενος βιαιοτέροις τοῖς ὡρέμνοις. τὰ δὲ θυμελικὰ ἀκροάματα τὸν Διόνυσον θεραπεύει, διὰ τὴν ὡρὸς τὰς θαλίας αὐτῶν οἰκειότητα, οἷον ᾠδῆς καὶ κιθάρας· τὰ γὰρ ἀναθήματα τῆς δαιτός. μυθολογεῖται δ' ὅτι διασπασθεὶς ὑπὸ τῶν Τιτάνων, σωσεπέθη πάλιν ὑπὸ τῆς Ῥέας, αἰνιττομένων τῶν ᾠδόντων τὸν μῦθον, ὅτι οἱ γεωργοὶ, θρέμματα γῆς ὄντες, σωσέχεαν τοὺς βότρυς, καὶ τοῦ ἐν αὐτῷ Διονύσου τὰ μέρη ἐχώρισαν ἀπ' ἀλλήλων· ἃ δὴ πάλιν ἡ εἰς αὐτὸ σύῤῥυσις τοῦ γλεύκους συνήγαγε, καὶ ἓν σῶμα ἐξ αὐτῶν ἀπετέλεσε· καὶ ὁ ὑπὸ τῷ Ποιητῇ δὲ μῦθος, ὡς φεύγων ποτὲ τὴν τοῦ Λυκούργου ἐπιβουλὴν θεὸς εἰς τὰ κατ' τῆς θαλάττης, εἶτα ἡ Θέτις αὐτὸν διέσωσεν, ἐμφανῆ τὴν διάνοιαν ἔχει· τιθῆναι μὲν γάρ εἰσιν τοῦ Διονύσου αἱ ἄμπελοι. τούτων δὲ ὁ Λυκοῦργος τρυγητὴς ὢν, ἐσκύλευστε καὶ ἀπεκόσμησεν· εἶτα ὁ οἶνος θαλάσσῃ μιγεὶς, ἀσφαλῶς ἀπετέθη. χρυσοκόμης δὲ Διόνυσος λέγεται, διὰ τὸ τοὺς οἰνιζομένους ἀνθρώπους τῆς κόμης ἐπιμελεῖσθαι τῆς ἑαυτῶν, καὶ ἁρὰς ἐντεῦθεν κινεῖν, ἤτοι βλάβας, καὶ ταύτας ἐμμένειν· πολλοὶ γὰρ μεθύοντες, οὐ μόνον τῶν τειχῶν ἐπιμελούμενοι καὶ ξανθίζοντες φαίνονται, ἀλλὰ καὶ

μυελοῖς ἐωυτὸς προδιδόασιν ἀτοτήματι. προβλαστᾶν δὲ, ἐπὴν ὅταν βλασάνωσιν αἱ ἄμπελοι, θύσιν αὐτῷ· ἢ ὅταν μέλλωσι κλᾶν ἢ κλαδεύειν· θρασὺς, ὅτι ἀναιδὴς οἱ οἰνωθέντες. ἱστέον δὲ ὅτι ἐνύχια τῷ Διονύσῳ ἐπελοῦντο τὰ μυστήρια, πρὸς αἴνιγμα τοῦ δεῖν τοὺς πίνοντας ἐπικρύπτειν τὸν οἶνον, καὶ μὴ εἰς πρόπτον ἀχημονεῖν κωμάζοντας· ἢ καὶ διὰ τοῦ σπόδιου τοῦ ταμιεύειν τὸν οἶνον, καὶ κρύπτειν, ὡς εἰς παλαίωσιν, διὸ καὶ οἰκουρὸς Διόνυσος ἐλέγετο. καὶ τάδε τὰ ἱερὰ τῷ Βάκχῳ αἱ τῶν Ἀμυντῶν γυναῖκες ἐνύχιαι κατὰ νόμον μάλιστα πάντων πλοῦσι· σπεψάμεναι κισσοῦ μελαμφύλλου κορύμβοις καὶ βοτρυώδεσι καρποῖς, καὶ εὐοῖ, εὐάν, ἀναμράζουσαι. τοῦτα δὴ τὰ ἐπὶ Διονύσῳ ἐνθουσιαστικὰ ἐπιφωνήματα, καὶ ἀναφωνήσεις ὑμνητρίας εἰς αὐτὸν τὸν Εὔιον Διόνυσον δι' ὅλης νυκτὸς ἐξελαυνόμεναι καὶ χορεύουσαι προέπεμπον· ὥστε ὁ τούτῳ καὶ τοὺς Θρᾷκας ἥκειν αὐταῖς, καὶ τοὺς Ἰνδοὺς, καίτοι καὶ αὐτοὺς καθόχους ὄντας τῷ Διονύσῳ, καὶ πάνυ ὀργιάζοντας αὐτῷ. ὁ δὲ Γεωγράφος καὶ ἱερὸν εἶναι λέγει Διονύσου ταῖς γυναιξὶ τῶν Ἀμυντῶν, ὅπερ κατ' ἐνιαυτὸν ἀποσεμνάζουσαι, αὐθημερὸν πάλιν πρὸ δύσεως ἡλίου σπεύδουσιν, ἑκάστης φορτίον ἐπιφερούσης· ὅπερ ἐὰν ἐκπέσῃ, διαστῶσι μανιωδῶς τοῦ φέρουσαν. φασὶ δὲ νῆσον Ὠκεανίαν εἶναι μικρὰν, ὑπὸ πάνυ πελαγίαν, ἣν οἰκοῦσιν αἱ τοιαῦται γυναῖκες Διονύσῳ κατεχόμεναι· οὐκ ἐπιβαίνει δὲ ἀνὴρ τῆς νήσου, ἀλλ' αὐταὶ πλέουσι πρὸς τοὺς ἄνδρας, καὶ κοινωνοῦσι αὐτοῖς, ἐπανέρχονται. πρὸς δὲ τῶν κελαινῶν Ἰνδῶν, ὧν τινων ἀνωτέρω ἐμνησθήμεν, τοῦτο λέγεται· ὅτι ὅτος ὁ Θηβαῖος Διόνυσος, αὐτοὺς ὀλέσας ἀντισάντας αὐτῷ, δύο στήλας ἔστησε πρὸς τὰ τῆς γῆς πέρματα, καὶ ἀῦθις χαίρων, εἰς Θήβας ἐπανῆλθε. ἐπανερχόμενον δὲ ἐκ τοῦ πολέμου οἱ Καμαρῖται δεξάμενοι ἐξένισαν· καὶ ταῖς Λήναις, ὅ ὅτι ταῖς Βάκχαις, σπουδάζουσαν, τὰ ἐκείνων φορήματα, ζώματα δηλαδὴ καὶ νεβρίδας, ἐπὶ στήθεσι βαλόντες, τὸ ὑμνητικὸν καὶ αὐτοὶ λόγιον τῷ Διονύσῳ ἐπιφωνοῦμενον, ὡς εἴρηται, εὐοῖ Βάκχε καὶ εὐάν λέγοντες. ἱστέον δὲ ὅτι αἱ Βάκχαι αἱ τοῦ Διονύσου ὀπαδοὶ εἰς ἀμπέλους ἀλληγορῶνται, καθάπερ καὶ αἱ προειρημέναι Βασσάραι· τροφοὶ γὰρ αὗται τοῦ εἰς οἶνον ἐκλαμβανομένου Διονύσου· αἱ δὲ Διονυσιακαὶ νεβρίδες, τὴν τῶν σταφυλῶν ἐν χρόᾳ αἰνίττονται πολυειδείαν· πολύχροοι γὰρ καὶ αἱ νεβρίδες, καὶ ποικίλαι τοῖς στίγμασιν· ἢ καὶ τὸ τῶν μεθυόντων ὑποφαίνουσιν ἀγεννές. δηλοῖ γὰρ ὁ νεβρὸς, τὸ τῆς φυζακιώδους ἑλάφου νεογνὸν, ὃ δορὰ ἡ νεβρίς· ἢ καὶ διότι ποικίλοι τὰ εἰς νοῦν, διὰ τὸ εὐμετάβολον, οἱ μεθύοντες·

ποι-

ποικίλον δὲ ἐς ἡ νεβρὶς, διὰ τὸ πολύτικτον. φέρεται δὲ ἐς ὕμνος εἰς αὐτὸν τοιόσδε·

Μέλπωμεν Βασιλῆα φιλεύϊον, ἐιραφιώτην·
Ἀβροκόμων, ἀγροῖκον, ἀοίδιμον, ἀγλαόμορφον·
Βοιωτὸν, βρόμιον, βακχέυτορα, βοτρυοχαίτην·
Γηθόσυνον, γονόεντα, γιγαντολέτην, γελόωντα·
Διογενῆ, δίγονον, διθυραμβογενῆ, Διόνυσον·
Ἐυϊον, ἐυχαίτην, ἐυάμπελον, ἐγρετίκωμον·
Ζηλαῖον, ζάχολον, ζηλήμονα, ζηλοδοτῆρα·
Ἤπιον, ἠυπότην, ἠδύθροον, ἠπεροπῆα·
Θυρσοφόρον, Θρῆϊκα, Θιασώτην, θυμολέοντα·
Ἰνδολέτην, ἱμερτὸν, ἰοπλόκον, ἐιραφιώτην·
Κωμαστὴν, κεραὸν, κισσοστέφανον, κελαδεινόν·
Λυδὸν, ληναῖον, λαθικηδέα, λυσιμέριμνον·
Μύστην, μαινόλιον, μεθυδώτην, μυελόμορφον·
Νυκτέλιον, νόμιον, νεβρώδεα, νεβριδόπεπλον·
Ξυστοβόλον, ξυνὸν, ξεινοδώτην, ξανθοκάρηνον·
Ὀργίλον, ὀβριμόθυμον, ὀρέσκιον, ὀρεσιφοίτην·
Πλουτοδότην, πλαγκτῆρα, πολυστέφανον, πολύκωμον·
Ῥηξίνοον, ῥαδινὸν, ῥικνώδεα, ῥηνοχορῆα·
Σκιρτητὴν, σάτυρον, σεμεληγενέτην, Σεμελῆα·
Τερπνὸν, ταυρωπὸν, Τυῤῥηνολέτην, ταχύμηνιν·
Ὑπνοφόβην, ὑγρὸν, Ὑμεναῖον, ὑλήεντα·
Φηρομανῆ, φρικτὸν, φιλομειδέα, φοιτηλιώτην·
Χρυσόκερων, χαρίεντα, χαλίῤῥοα, χρυσεομίτρην·
Ψυχοπλανῆ, ψεύστην, ψοροκηδέα, ψυχοδαϊκτήν·
Ὠμηστὴν, ὠμηστὴν, ὀρεσίτροφον, ὠρεσίλοιπον·

ἐρίβρομον δὲ προστέτι, ἐς ἐριβρεμέτην προσαγορεύσιν, ἢ διὰ τὰς τῶν μεθυόντων κραυγάς· διὸ καὶ Βάκχον ὡς ἀπὸ τοῦ βάζειν λέγεται, προσπληφθέντος τοῦ Κ στοιχείου διὰ πλέονα τραχύτητα φωνῆς, ἢ διὰ τὸν βρόμον, ὃν ὁ γλευκάζων ὄιπος ποιεῖ πνευματέρμονα, καὶ ζέων· Σάτυρον δὲ, ὡς ἔξαρχον Σατύρων, ἢ διὰ τὸ σάθη σάθυρον ἐς Σάτυρον. τὰς δὲ Σατύρας λέγουσιν εἶναι ποιμένας ἐς χορευτὰς αὐτοῦ· ἄλλοι δὲ θεὰς τινὰς δαίμονας περὶ τὸν αὐτὸν Διόνυσον. περὶ δὲ τοῦ φαλλοῦ τοιαῦτα λέγεται· φαλλὸς, ξύλον ἐπίμηκες ἦν, ἔχον ἐν τῷ ἄκρῳ σκύτινον αἰδοῖον ἐξηρτημένον. ἵστατο δὲ ὁ φαλλὸς τῷ Διονύσῳ, κατά τι μυστήριον. Πήγασος δὲ ὁ ἐκ τῶν Ἐλευθήρων, (Ἐλευθῆραι δὲ πόλις εἰσὶ

Βοιωτίας) λαβὼν Διονύσου τὰ σεμνὰ ἀγάλματα, ἦκεν εἰς τὴν Ἀττικήν· οἱ δὲ Ἀττικοὶ οὐκ ἐδέξαντο μὴ τιμῆς τὸν θεόν· ἀλλ' οὐκ ἀμισθί γε αὐτοῖς τοῦτα βουλευσαμένοις ἀπέβη. μηνίσαντος γὰρ τοῦ θεοῦ, νόσος κατέσκηψεν εἰς τὰ αἰδοῖα τῶν ἀνδρῶν, καὶ τὸ δεινὸν ἀνήκεστον ἦν. ὡς δ' ἄπεφον χρὸς τὴν νόσον κρεῖττον γενομένην πάσης μαγγανείας ἢ τέχνης, ἀπεστάλησαν θεωροὶ μαντευσόμενοι. οἱ δὴ ἐπανελθόντες ἔφασαν ἰᾶσιν εἶναι μόνην τοιάνδε, εἰ διὰ πάσης τιμῆς ἄγοιεν τὸν θεὸν, ὑπομνήματα ποιούμενοι τοῦ πάθους. ἴσως καὶ ὅτι παίδων γενέσεως αἴτιος ὁ θεός· ἡδονὴ γὰρ καὶ Ἀφροδίσια. πεισθέντες οὖν τοῖς ἠγγελμένοις οἱ Ἀθηναῖοι, φαλλοὺς ἰδίᾳ τε καὶ δημοσίᾳ κατεσκεύασαν· καὶ τούτοις ἐγείραντες τὸν θεόν. μέθη ἐξανίστησι τοιαῦτα, καὶ ὁ Λαῖος ἐκδοὺς ἑαυτὸν μέθῃ, εἴς τε βακχεῖον πεσὼν ἐφύτευσε παῖδα. ἄλλοι δέ φασιν, ὅτι Ἀσύρης τις ἦν αἰδοῖον ἔχων αἰσχρὸν, καὶ οὐκ ὁ Πήγασος· ᾧ τινι αἰδοίῳ ὁμοιοῦσι νῦν οἱ μίμοι δερμάτινον, ὃ καλοῦσι φαλλητήριον· καὶ τοῦτο εἶχον ἐν τοῖς Διονυσίοις, ὃ φορεῖτε ἐν παιγνίοις ἑορτάζοντες. ἢ δεῖ μὴν τὰ Θηβαίων Διονύσου τοσαῦτα. δεῖ δὲ τὰ Ζαγρέως ταυτὶ μόνα εἰρήσθω.

ΠΕΡΙ ΤΩΝ ΚΕΚΟΜΜΕΝΩΝ ΚΑΙ ΔΙΕΣΠΑΣΜΕΝΩΝ ΤΟΝ ΔΙΟΝΤΣΟΝ.

ΠΕρσεφόνη γυναῖ τὸν Ζαγρέα Διόνυσον ἐκ τοῦ Διὸς συλλαβοῦσα αὐτόν. τοῦτον γυνηθέντα, οἱ Τιτᾶνες (δαιμόνιαι δὲ τάξεις αὗται) φθονήσαντες τῷ Διονύσῳ, ὡς ἐκ Διὸς ἔχοντι τὴν γένεσιν, διασπαράττουσιν αὐτόν. ἄλλοι δὲ λέγουσιν ὅτι καθ' ἐπίθεσιν τῆς Ἥρας διεσπάσθη ὑπὸ τῶν Τιτάνων ὁ Διόνυσος. καὶ δεῖ μὲν τῶν διεσπασμένων θεῶν, αὕτη ἡ δεῖ τούτων ἱστορία. δεῖ δὲ τῶν περικεκομμένων ἥδεμία ἣν φαίνεται ἡμῖν ἱστορία, ἢ δεῖ τῶν Γιγάντων. ὅτοι γὰρ πολεμῆσαι θέλοντες τοῖς θεοῖς, οἱ δὲ θεοὶ ἀντιστρατευσάμενοι, ἐπολέμησαν καὶ κατέκοψαν αὐτούς· ὕστερον δὲ τοῦ Διὸς καὶ τὸν κεραυνὸν ἐπιπέμψαντος αὐτοῖς καὶ καταφλέξαντος.

ΠΕΡΙ ΔΙΟΣΚΟΥΡΩΝ.

ΔΙόσκουροι Κάστωρ καὶ Πολυδεύκης υἱοὶ Τυνδάρεω καὶ Λήδας, ἀδελφοὶ δὲ Ἑλένης, ἐν τῇ Λακωνικῇ τραφέντες, ἐπιφάνειαν ἔχον· οἱ ἐπὶ φιλαδελφίᾳ θρυλλοῦνται, καθὰ καὶ οἱ Ἀκτορίωνες· ὅτε γὰρ δεῖ ἀρχῆς, ὅτε δεῖ ἄλλου τινὸς ἤεισαν· μνήμιον δὲ αὐτῶν Ζεὺς θέσθαι βουλόμενος τῆς κοινότητος, Διδύμους ὀνομάσας, εἰς

τὸ

τὸ αὐτὸ ἀμφοτέρως ἔσησεν ἐν τοῖς ἄστροις· λέγονται δὲ καὶ Διόσκοροι δίχα τοῦ Υ, ἐφ' ὧν τὸ ἐπερήμεροι ζώουσιν, ἀντὶ τοῦ παρημέραν· ὡς μιᾶ μοίρᾳ, πεθνάναι ἀμφοτέρους· τῇ ἑτέρᾳ δὲ, ζῆν. ἠμισεύθη γὰρ τῷ Πολυδεύκει τὸ τῆς ἀθανασίας ἆθλον, τῷ ὡρὸς ἡμέραν θανάτῳ· ἐν ᾗ συγκαταρύπεται τῷ ἀδελφῷ. ἔστω δὲ καὶ τὸ σιωπηχὲς τοῦ θανάτου τῷ Κάστορι, τῇ ἐφ' ἡμέραν ζωῇ· ὁπηνίκα συναναβαίνεται τῷ ἀδελφῷ· καὶ ταῦτα παραπεθέντα ἓν παρ' ἓν, τὸ ἐπερήμερον αὐτοῖς ἐξήρτυσαν. αἰνίπεται δὲ, φασὶν, ὁ μῦθος ταῦτα, εἰς τὰς ἐν οὐρανῷ διδύμους· ἃς οἱ αὐτοὶ λέγονται εἶναι Διόσκουροι· οἱ γὰρ μοῖραι καὶ γῆς, δοκοῦσιν οἷον τεθνάναι· ἀναπέλλοντες δὲ, ζῆν λέγονται. ἕτεροι δὲ σ πάνυ πιθανῶς νοοῦντες τὸ ἐπερήμερον ἐπὶ τοῦ, τὸν μὲν, τῇδε ζῆν τῇ ἡμέρᾳ, ὡς τοῦ ἑτέρου ἐν νεκροῖς ὄντος· τῇ δὲ ἑτέρᾳ τὸν λοιπὸν, ὡς θατέρου τεθνεῶτος· εἰς τὰ δύο κατ' ὑρανὸν ἡμισφαίρια τὰς Διοσκούρους ὑποτοοῦσιν· ὧν θάτερον μὲν, ὑπὲρ γῆς ἀεί ἔστι· θάτερον δὲ, ὑπὸ γῆν. ὅπερ ἀνατρέπων ὁ Παραβάτης, φησὶν ὡς οὐκ ἔχει λόγον εἰρῆσθαι Διοσκούρους παρ' Ὁμήρῳ τὰ δύο ἡμισφαίρια τοῦ παντός· διὰ γὰρ τὸ ἀναπαύθητον τῆς τοῦ φωτισμοῦ φησὶ παραυξήσεως ἐν ἑκάστῃ ἡμέρᾳ, οὐδὲ ἐπινοῆσαι ῥᾴδιον πῶς ἐστιν ἑκάτερον αὐτῶν ἐπερήμερον. λέγει δὲ μᾶλλον τοῖς κύκλοις ἐφαρμόζειν τὸ ἐπερήμερον τοῖς τε ἄλλοις, καὶ τοῖς τροπικοῖς. καὶ ταῦτα μὲν κατ' ἀλληγορίαν. ἡ δὲ ἱστορία πολλὰ τοὺς Διοσκούρους σεμνύει· τὸ δὲ ἐξ ὠοῦ γεγενῆσθαι αὐτοὺς, τῆς νεωτέρων ἐστὶ πλάσμα, κείμενον ἐν Σπάρτῃ Λυκόφρονι· Ὅμηρος δὲ, οὐδὲν τοιοῦτον μυθολογεῖ. Ἕωθος δὲ λόγιος ὢν καὶ αὐτὸς ἀνὴρ, χήνεια ληρεῖ ἀπὸ λευκά τε καὶ μεγάλα τὴν Λήδαν τεκεῖν, ἐξ ὧν οἱ ἐν τῇ Ἰλιάδι κείμενοι Διόσκουροι.

ΠΕΡΙ ΔΗΜΗΤΟΡΟΣ.

Δήμητωρ, Κύπρου βασιλεύς, παρ' Ὁμήρῳ· ἀλλὰ πρὸ τούτου Κινύρας, ὥσπερ κεῖται ἐν Ἰλιάδι, ἐβασίλευσε· τούτου δὲ μηκέτι ὄντος, Δημήτωρ δοκεῖ βασιλεῦσαι.

ΠΕΡΙ ΤΟΥ ΔΟΤΡΕΙΟΥ ΙΠΠΟΥ.

Δούρειος ἵππος, ὁ ἐξ ὑραπίου, ὁ ξύλινος· ὃν Ἐπειὸς κατεσκεύασε, ἐξ οὗ τὸ Ἴλιον ἐπορθήθη. φασὶ γὰρ ὡς οἱ Ἀχαιοὶ ἐμβάντες εἰς αὐτὸν, κατεπόρθησαν τὴν Τροίαν, τὸν ἀληθῆ μόνον. τινὲς δὲ, ὧν καὶ Στησίχορος, ἑκατόν· ἕτεροι δὲ, δώδεκα· Μενέλαον, Διομήδην, Φιλοκτήτην, Ἀμφιάρεων, Νεοπτόλεμον,

Εὐ-

Εὐρύπυλον, Εὐρυδάμαντα, Φειδίππον, Λεοντέα, Μέγητα, Ὀδυσέα, καὶ Εὐμηλον. οἱ δὲ τοῦθ' ὕστερον ἔσχε, πρῶτος ἐστὶν Ἀνίκλος, ὃν φθάσας ἐμνημόνευσεν ὁ ποιητής. ἰστέον δ' ὅτι ἡ Τροία τρὶς ἐπορθήθη· πρῶτον, διὰ τὰς ἵππους τοῦ Λαομέδοντος· δεύτερον, κατέδραμον ταύτην αἱ Ἀμαζόνες, ὡς φησὶν Ὅμηρος· ὡς ἐπὶ Πριάμου τ' ἦλθον Ἀμαζόνες ἀντιάνειραι. τρίτον δ', ὅτε Ἑλένην ἔλεγον, ὡς ἡ ἱστορία, μὴ δύνασθαι Ἕλληνας πορθῆσαι, εἰ μὴ τὰ ὀστᾶ τοῦ Πέλοπος ἐνέγκωσι, καὶ τὸν υἱὸν Ἀχιλλέως Νεοπτόλεμον, καὶ τὸν Φιλοκτήτην· διὸ καὶ ἦγαγον ἅπαντας. Φιλοκτήτης δὲ ἀντιστάντα αὐτῷ τὸν Ἀλέξανδρον πρὸ τοξείας, τοξεύσας αὐτὸν, πρῶτον μὲν, κατὰ λαιὰν χεῖρα, εἶτα τὸν δεξιὸν αὐτοῦ ὀφθαλμὸν ἐκβαλών, καὶ τέλος τοὺς πόδας βαλών, ἀνεῖλε. τὸ δ' ἀληθὲς περὶ τοῦ δουρείου ἵππου, ὕστερον ἔσχε· ἵππον κατεσκεύασαν ξύλινον, πρὸς μέγεθος μεπωρότερον τῶν πυλῶν, ὅπως μὴ ἐλκόμενος εἰσέλθῃ, ἀλλ' ὑπερέχῃ τῷ μεγέθει. οἱ δὲ λοχαγοὶ ἐκάθηντο ἐν κοίλῳ χωρίῳ περὶ τὴν πόλιν, ὃ Ἀργείων λόχος ἐκαλεῖτο, καὶ μέχρι τοῦ νῦν σώζεται τὄνομα. αὐτόμολος δὲ ἐλθὼν ὁ Σίνων εἰς Ἴλιον, φράζει τοῖς Ἰλιεῦσιν εἰσαγεῖν τὸν ἵππον, προφὰς ἵνα τὸ μὴ εἰσελθεῖν τοὺς Ἕλληνας· ὃ ὑπακούσαντες οἱ Τρῶες, καὶ τὰς πύλας καθελόντες, εἰσάγουσι τὸν ἵππον. εὐωχουμένων δὲ αὐτῶν, ἐπεισέρχονται οἱ Ἕλληνες· καὶ ὕστερον ἑάλω ἡ Τροία.

ΠΕΡΙ ΤΗΣ ΔΡΥΟΣ ΤΗΣ ΔΩΔΩΝΑΙΑΣ ΚΑΙ ΤΟΥ ΛΕΒΗΤΟΣ.

Δωδώνη, πόλις Μολοσσίδος, ἐν τῇ παλαιᾷ Ἠπείρῳ κειμένη, ὡς ὁ τῶν Ἐθνικῶν καταγραφεὺς δηλοῖ· ὃς ὁσὲ ἀρέσκεται τοῖς εἰπόσιν αὐτὴν Θεσπρωτικὴν καὶ Θετταλικήν· καὶ μὴν ἕτεροι ἐν Ὑπερβορέῳ τῆς Θεσπρωτίας αὐτὴν τιθέασιν. ἔνθα ἦν ἱερὸν τοῦ Δωδωναίου Διός, ἐν ᾧ ἵστατο δρῦς ἱερὰ αὐτοῦ. καὶ ἐν ταύτῃ ἦν μαντεῖον, γυναικῶν ὑσῶν προφητίδων, ἐν ᾗ καὶ ὁ Ζεὺς ἐλέγετο ἐπισκιάζειν καὶ μαντείαν διδόναι τοῖς χρήζουσι μαντείας. ἡ δὲ αἰτία τῆς ἀφιερώσεώς ἐστιν αὕτη· Δία, ἤτοι τὸν ἀέρα, ζωῆς εἶναι αἴτιον. τὴν δρῦν πάλαι ποτὲ χρηματίσαι φασὶν, ὅτε οἱ ἄνθρωποι βρυκάρποις ἀπετρέφοντο. διὸ καὶ φηγὸς, καὶ δρῦς λέγεται, παρὰ τὸ φαγεῖν. διὰ τίνων ταῦτα τῷ Διὶ τὴν δρῦν ἀνιέρωσαν, τὸ ζωοτρόφον φυτὸν, τῷ ζωογόνῳ· ἦν δὲ καὶ πρὸ Τροίας ἱερὰ τῷ Διΐ· εἰσίεσαν τοιγαροῦν οἱ μαντευόμενοι παρὰ τὴν δρῦν, καὶ ἐκι-

νεῖ-

νεῖτο ἡ δρῦς δῆθεν. ἐκ λοιπὸν ἐφθέγγοντο αἱ γυναῖκες, λέγουσαι ὅτι τάδε λέγει ὁ Ζεύς. ταύτῃ τῇ δρυῒ Σοφοκλῆς ἐν Τραχινίαις, πολύγλωσσόν φησιν, ὡς πολύφωνον, ὅια ἐκ πολλοῖς μαντευομένοις. ἕτεροι δὲ ἀλληγορῦντες τῷ Δωδώνῃ, τῷ γλῶ φασι, παρὰ τὸ δῶ δώτω· ὡς δοτείραν, καὶ ἀνησίδωρον, ἐκ ζειδώρου· οἱ δὲ αὐτοὶ φυσιολογικῶς ἅμα καὶ ἀνατιθελικῶς φασι, Ζεῦ ἄνα Δωδωναῖε· ἐκεῖνο δέ, διὰ τὸ ἄνα· ἐκ ἄλλως· Δωδωναῖος Ζεύς, Ἰλιάδος Π'· Ζεῦ ἄνα Δωδωναῖε, ἐν χωείῳ τῷ Ὑπερβορέων τῇ Δωδώνῃ τιμώμενε, ἐν Θεσπρωτίᾳ. Δευκαλίων γδ, μετὰ τὴν ἐπ' αὐλῦ γλυόμβιον κατακλυσμὸν, εἰς τῷ Ἤπειρον ἐμαντεύετο ἐν τῇ δρυΐ· πελειάδων δὲ αὐτῷ χρησμὸν δόσης, κατοικίζειν τὸν τόπον, συναθροίσας τὰς περιλειφθέντας ἀπὸ τῦ κατακλυσμῦ. καὶ ἀπὸ τῦ Διὸς καὶ Δωδώνης μιᾶς τῶν Ὠκεανίδων, Δωδώνῃ τῷ χώραν προστηγόρευσεν· ὡς Θρασύβυλος, ἐκ Ἀκεσόδωρος ἱστορῦσι· τὸ ὂ περὶ τῦ λέβητος, ποιῦτόν ἐστιν· ἐν τῇ Δωδώνῃ ἦν ἐκ τὰ περὶ τῦ λέβητος· ὅπου ἐν ὕψει τινὶ ἵστατο ἀνδριὰς βαστάζων ῥάβδον· καὶ παρ' αὐτὸν λέβης τις ἵστατο. οἱ δὲν μαντευόμενοι ἤρχοντο πρὸς τὸν τόπον τῦτον καὶ ἤυχοντο· ὅτε δὲν ἤθελε χρησμοδῆσαι αὐτοῖς ὁ θεὸς, ὁ ἀνδριὰς ἐκεῖνος ἔπαιε τῇ ῥάβδῳ τὸν λέβητα· εἶτα ἤχει ὁ λέβης, ἐκ ἐν τῦ λέβητος, ἦχός τις ἀπεπελεῖτο ἐναρμόνιος· καὶ ἐνεφορῦντο αἱ προφήτιδες· καὶ ἔλεγον ἃ αὐταῖς ὁ δαίμων ἐνέβαλλεν.

ΠΕΡΙ ΔΩΡΙΠΠΗΣ.

Δωρίππη, ἡ μήτηρ τῶν Οἰνοτρόπων, καὶ Οἰνείᾳ γυνή. ὠνόμασται δὲ διὰ τὸ οἶνο λῃστῶν αὐτῷ ληφθεῖσαν ἀπὸ Θράκης, δοθῆναι Ἀνίῳ τῷ ἱερεῖ τῦ Δηλίᾳ Ἀπόλλωνος, ἀντὶ τῦ ἵππυ δῶρον.

ΠΕΡΙ ΔΑΜΑΣΤΟΥ ΤΟΥ ΧΡΟΝΟΓΡΑΦΟΥ.

Δαμάστης Σηγιεύς, σύγχρονος Ἡροδότυ, χρονογράφος. γέγραφε περὶ τῶν ἐν Ἑλλάδι γνομένων· περὶ γονέων καὶ προγόνων τῶν εἰς Ἴλιον στρατευσαμένων βιβλία δύο· ἐθνῶν κατάλογον, καὶ πόλεων· περὶ ποιητῶν ἐκ σοφιστῶν, καὶ ἄλλα. γέγονε δὲ Ἑλλανίκυ μαθητής.

ΠΕΡΙ ΔΑΜΟΚΡΙΤΟΥ.

ΔΑμόκριτος ἱστορικός· ἔγραψε τακτικὰ ἐν δυσὶ βιβλίοις· περὶ Ἰουδαίων. Αἰθιοπικὴν ἱστορίαν· καὶ ἄλλα.

ΠΕΡΙ ΔΗΜΗΤΡΙΟΥ ΤΟΥ ΙΛΙΕΩΣ.

ΔΗμήτριος Ἰλιεὺς ἱστορικός, ἔγραψε Τρωϊκὰ ἐν βιβλίοις εἴκοσι.

ΠΕΡΙ ΔΑΜΟΣΤΡΑΤΟΥ.

ΔΑμόστρατος ἱστορικός. γέγραφεν ἁλιευτικὰ ἐν βιβλίοις εἴκοσι. καὶ περὶ τῆς ἐνύδρου μαντικῆς· καὶ ἕτερα σύμμικτα ἐχόμενα ἱστορίας.

ΠΕΡΙ ΔΙΔΥΜΟΥ.

ΔΙδυμος Ἀλεξανδρεύς. ἔγραψε καὶ γεωργικὰ ἐν βιβλίοις ιέ.

ΠΕΡΙ ΔΙΚΤΥΟΣ.

ΔΙκτυς Κρὴς Κνώσιος, ὀπαδὸς Ἰδομενέως· ὅτος συνέθηκεν ἐφημερίδα τοῦ Τρωϊκοῦ πολέμου, παρὼν, ὡς φασιν, ἐν βιβλίοις ἐννέα, γράμμασι Φοινίκων, οἷς τότε πᾶσα ἐχρῆτο ἡ Ἑλλάς· διηγεῖται δὲ ἀκριβῶς ὅσα Ἕλλησι καὶ Βαρβάροις ἐπράχθη. καὶ τὰ μὲν πρὸ τοῦ Ὀδυσσέως ἤκουσεν, ὅσα ἐπράχθη ἐκείνου ἀπόντος· τὰ δὲ παρὼν, ὁρῶν καὶ ἀκούων, συνέγραψε. Οὗτος ἱστορία εὑρέθη ἐπὶ Κλαυδίου· οἱ δὲ, ἐπὶ Νέρωνος βασιλέως Ῥωμαίων, τῆς Κρήτης ὑπὸ σεισμοῦ καπνεχθείσης, καὶ πολλῶν μνημείων ἀνεωχθέντων. ὧν ἐνί εὑρητο γεγραμμένον βιβλίον γράμμασι Φοινίκων, καὶ μεθερμηνεύθη εἰς τὴν Ἀττικὴν γλῶτταν, πεμφθὲν τῷ βασιλεῖ. ᾧ τῷ προσάγματι, Σεπτιμίνος τις Ῥωμαῖος, σοφὸς ἑκατέραν τὴν γλῶτταν, εἰς τὴν Ῥωμαϊκὴν φωνὴν μετήνεγκεν.

ΠΕΡΙ ΔΙΟΔΩΡΟΥ.

ΔΙόδωρος Σικελιώτης ἱστορικὸς, ἔγραψε βιβλιοθήκην, ἐπὶ Αὐγούστου Καίσαρος. ἔστι δὲ ἱστορία Ῥωμαϊκή τε καὶ ποικίλη ἐν βιβλίοις τεσσαράκοντα.

ΠΕΡΙ ΔΙΟΝΤΣΙΟΥ ΤΟΥ ΜΙΛΗΣΙΟΥ.

ΔΙονύσιος Μιλήσιος ἱστορικὸς, συνέθηκε τὰ μετὰ Δαρεῖον ἐν βι-

βιβλίοις πέντε· περιήγησιν οἰκουμένης. Περσικά, Ἰάδι διαλέκτῳ· Τρωϊκῶν βιβλία τρία· μυθικά· κύκλον ἱστορικὸν ἐν βιβλίοις ἑπτά.

ΠΕΡΙ ΔΙΟΝΤΣΙΟΥ ΤΟΥ ΡΟΔΙΟΥ.

Διονύσιος Μασωνίς, Ῥόδιος, ἢ Σάμιος, ἱστορικός· γέγραφεν ἱστορίας τοπικὰς βιβλία ἓξ· οἰκουμένης περιήγησιν· ἱστορίαν παιδευτικῆς βιβλία δέκα.

ΠΕΡΙ ΔΙΩΝΟΣ.

Δίων ὁ Κάσιος χρηματίσας, ὁ ἐπίκλην Κοκκῖος, οἱ δὲ, Κοκκηϊανὸς, Νικαεὺς, ἱστορικὸς, ἐπὶ Ἀλεξάνδρου τοῦ Μαμαίας. συνέθηκε Ῥωμαϊκῷ ἱστορίαν ἐν βιβλίοις ὀγδοήκοντα. διαιροῦνται δὲ εἰς δεκάδας, ὥσπερ καὶ τοῦ Παλαβινοῦ Λιβίου· Περσικά· Γετικά· Ἐνόδια· τὰ εἰς Τραϊανόν· βίον Ἀδριανοῦ τοῦ φιλοσόφου.

ΠΕΡΙ ΔΩΡΙΔΟΣ.

Δῶρις ἱστορικὸς, ἔγραψεν ἱστορίαν Λιβυκὴν, καὶ Περσικήν.

ΠΕΡΙ ΔΕΞΙΠΠΟΥ.

Δέξιππος, Κῷος ἰατρὸς, Ἱπποκράτους μαθητής· ἔγραψεν ἰατρικὸν, βιβλίον ἕν· ἐξ οὗ προγνώσεων, δύο.

ΠΕΡΙ ΔΗΜΟΚΗΔΟΥΣ.

Δημοκήδης ἰατρὸς Κρωτωνιάτης, ἔγραψεν ἰατρικὰ βιβλία δέκα.

ΠΕΡΙ ΔΙΟΣΚΟΡΙΔΟΥ.

Διοσκορίδης Ἀναζαρβεὺς ἰατρὸς βοτανικὸς, ὁ ἐπικληθεὶς Φακᾶς, διὰ τὸ ἐπὶ τῆς ὄψεως ἔχειν πολλὰς φακούς. συνέθηκε Κλεοπάτρᾳ τῇ Βασιλίσσῃ, ἐπὶ Ἀντωνίου· γέγραφε βιβλία κδ', τὰ πάντα ἰατρικὰ περιβόητα.

ΠΕΡΙ ΔΡΑΚΟΝΤΟΣ.

Δράκων, υἱὸς Ἱπποκράτους τοῦ διασημοτάτου ἰατροῦ· ἰατρὸς καὶ αὐτός· ὃς Ῥοξάνῃ ἰάτρευσεν σωφρονοῦσαν Ἀλεξάνδρῳ τῷ Μακεδόνων βασιλεῖ.

ΠΕΡΙ ΔΑΜΙΑΝΟΥ ΤΟΥ ΣΟΦΙΣΤΟΥ.

Δαμιανὸς Ἐφέσιος σοφιστὴς ἀκμαστὴς Αἰσχίνου καὶ Ἀδριανοῦ· ἦλος, νωθρὸς ὑφ' ἡλικίας δοκῶν, νεάζουσαν ὁρμὴν ἐν ταῖς ᾠδαῖς ἀνεκτᾶτο· διὸ καὶ δικανικῶς μᾶλλον, σοφιστικώτερος, σοφιστικῶς δὲ, δικανικώτερος ὤφελεν. τὸ δὲ τοῦ ἀνδρὸς ἐν τῇ ἀγορᾷ ἦθος, ἐκ παίων ἀσπαζομένου κέρδος, ὠδὲ ἐπαινοῦντος τὸ ἐξ ἅπαντος λαμβάνειν ἦν· ἀλλ' ὡς ἄιθοιτο ἀπορροῦντας, προῖκα τούτοις τὴν ἑαυτοῦ φωνὴν διδόντος· παραπλήσιον δὲ ἦν καὶ τοῖς σοφιστικοῖς τῶν λόγων· ἐς γὰρ αἴθοιτο ἀπορροῦντας ἐξ ὑποκρίσεων, καὶ ἐθνῶν ἥκοντας, ἡφίει τούτοις τὸν μισθὸν τῆς ἀκροάσεως, μὴ λάθοιεν δαπανώμενοι. γηροῖὼν δ' ἐς γῆρας, μεθῆκε τὴν ᾠδὴν, τὸ σῶμα καταλυθεὶς μᾶλλον, ἢ τῷ γνώμῃ, ἔτη βιοὺς ἑβδομήκοντα.

ΠΕΡΙ ΔΕΞΙΠΠΟΥ.

Δέξιππος, Δεξίππου ὁ Ἐρέτριος· Ἀθηναῖος ῥήτωρ· γέγονεν ἐπὶ Βαλεριανοῦ, καὶ Γαλιήνου, καὶ Κλαυδίου δευτέρου, καὶ Αὐρηλιανοῦ.

ΠΕΡΙ ΔΕΙΝΑΡΧΟΥ.

Δείναρχος Κορίνθιος ῥήτωρ· ὃς τῶν μετὰ Δημοσθένους ἐγκεκριθέντων· σωέθηκε λόγους δικανικούς, ὧν οἱ μὲν εἰσι δημόσιοι, οἱ δὲ ἰδιωτικοὶ, ἑξήκοντα γηροῦς τοῖς ἑκατόν.

ΠΕΡΙ ΔΙΟΝΤΣΙΟΥ ΤΟΥ ΜΙΛΗΣΙΟΥ.

Διονύσιος ὁ Μιλήσιος σοφιστὴς ἐπὶ Ἀδριανοῦ τοῦ βασιλέως· ὑφ' οὗ καὶ Σατράπης ἀπεφήνατο ἐκ ἀφώνων ἐθνῶν· ἦτος Ἰσαίου ἀκροατὴς γλυκύμου ἀνδρὸς καὶ φύσιν ἑρμηνεύοντος, τοῦτο μὲν ἱκανὸς ἀπεμάξατο· καὶ γηροῦς τούτῳ, τῇ εὐταξίαν τῶν νοημάτων· καὶ γὰρ δὴ ὁ τοῦτο Ἰσαίου. μελιχρώτατος δὲ ὤφελε τὰς ἐννοίας γλυκύμυθος, ἐκ ἐμέθυε ὤφελε τὰς ἡδονὰς, ὥσπερ ἔνιοι τῶν Σοφιστῶν, ἀλλ' ἐταμίευετο, λέγων γηροῦς ἰδὼς γνωρίμους, ὅτι χρὴ τοῦ μέλιτος ἄκρῳ δακτύλῳ, ἀλλὰ μὴ κοίλῃ χειρὶ γεύεσθαι, ὡς ἐν ἅπασι μὲν τοῖς ἐγκεκριμένοις δεδήλωται τῷ Διονυσίῳ, λογικοῖς τε καὶ νομικοῖς, καὶ ἠθικοῖς ἀγῶσι· μάλιστα δ' ἐν τῷ ὤφελε Χερώνειαν θρήνῳ· διεξιὼν γὰρ τὸν Δημοσθένους, τὸν μετὰ Χερώνειαν θρῆνον γηροσαγαγόντα τῇ βελῇ ἑαυτὸν, ἐς τοῦδε τοῦ μονῳδίαν τοῦ λόγου ἐτελεύτησεν· ὦ Χερώνεια, πονηρὸν χωρίον. καὶ πάλιν, αὐτομο-

μολήσασα πρὸς βαρβάρους Βοιωτία· συνάξατε οἱ κ᾽ γῆς ἥρωες· ἐγγὺς Πλαταιῶν νενικήμεθα.

ΠΕΡΙ ΔΗΜΑΔΟΥ.

Δημάδης Ἀθηναῖος ῥήτωρ· ἔγραψεν ἀπολογισμὸν πρὸς Ὀλυμπιάδα τῆς ἑαυτῆ δωδεκαετίας· ἱστορίαν περὶ Δήλου, & τῆς γυναικὸς τῆν τῆς Λητῦς παίδων. ἔστι δὲ κ᾽ ἕτερος Δημάδης Λακιάδης Ἀθηναῖος ῥήτωρ.

ΠΕΡΙ ΔΙΟΝΥΣΙΟΥ ΤΟΥ ΑΛΙΚΑΡΝΑΣΣΕΩΣ.

Διονύσιος Ἁλικαρνασσεὺς, ἐπὶ Ἀδριανῆ· σοφιστὴς καὶ μυστικὸς κληθείς· ἔγραψε ῥυθμικῶν ὑπομνημάτων βιβλία εἰκοσιπέντε· μυστικῆς ἱστορίας βιβλία λς'· μυστικῆς παιδείας, ἢ διατριβῶν, βιβλία κβ'· τίνα μυστικῶς εἴρηται ἐν τῇ Πλάτωνος πολιτείᾳ.

ΠΕΡΙ ΔΙΩΝΟΣ ΤΟΥ ΠΡΟΥΣΑΙΟΥ.

Δίων Πρυσαῆος σοφιστὴς ἐπὶ Δομετιανῆ· ὗτος φυτεύων κ᾽ σκάπτων, & ἐπανλῶν βαλανείοις, κ᾽ κήποις, κ᾽ πολλὰ τοιαῦτα ὑπὲρ τροφῆς ἐργαζόμενος, ἁδὲ τῆ σοφιζειν ἠμέλει, ἀλλ᾽ ἀπὸ δυοῖν βιβλίων ἑαυτὸν σιωπᾶχε· ταῦτα δὲ ἦν, ὅ, τε Φαίδων τῆ Πλάτωνος, & Δημοσθένους ὁ κ᾽ τῆς πρεσβείας.

ΠΟΙΗΤΑΙ.

ΠΕΡΙ ΔΕΙΝΟΛΟΧΟΥ ΤΟΥ ΚΩΜΙΚΟΥ.

Δεινόλοχος Συρακόσιος, ἢ Ἀκραγαντῖνος, κωμικός· ἐδίδαξε δράματα δεκαπέντε Δωρίδι διαλέκτῳ.

ΠΕΡΙ ΔΑΜΟΞΕΝΟΥ.

Δαμόξενος Ἀθηναῖος κωμικός.

ΠΕΡΙ ΔΙΚΑΙΟΓΕΝΟΥΣ.

Δικαιογένης, τραγῳδίας & διθυράμβους ἔγραψεν.

ΠΕΡΙ ΔΙΟΓΕΝΟΤΣ.

Διογένης, ὁ δὲ Οἰνόμαος, Ἀθηναῖος τραγικός· δράματα αὐτοῦ φέρεται, Ἀχιλλεύς· Ἑλένη· Ἡρακλῆς· Θυέστης· Μήδεια· Οἰδίπους· Χρύσιππος· Σεμέλη.

ΠΕΡΙ ΔΙΟΚΛΕΟΤΣ.

Διοκλῆς Ἀθηναῖος, ἢ Φλιάσιος, ἀρχαῖος κωμικός, σύγχρονος Σαννυρίωνι καὶ Φιλλολίῳ· δράματα αὐτοῦ, Θάλαττα· Μέλιττα· Ὄνειρα· Βάκχαι· Θυέστης.

ΠΕΡΙ ΔΙΟΝΤΣΙΟΤ ΤΟΤ ΜΙΤΤΛΗΝΑΙΟΤ.

Διονύσιος Μιτυληναῖος, ἐποποιός· σιωπᾶται τῷ Διονύσῳ δὲ Ἀθηνᾶς γραπέαν· Ἀργοναυτικὰ ἐν βιβλίοις ἕξ.

ΠΕΡΙ ΔΙΟΝΤΣΙΟΤ ΤΟΤ ΒΤΖΑΝΤΙΟΤ.

Διονύσιος Βυζάντιος ἐποποιός· ἔγραψε περιήγησιν τοῦ ἐν τῷ Βοσπόρῳ ἀνάπλου· περὶ θρήνων· ἔστι δὲ ποίημα μεσὸν ἐπικηδείων.

ΠΕΡΙ ΔΙΟΝΤΣΙΟΤ ΤΟΤ ΚΟΡΙΝΘΙΟΤ.

Διονύσιος Κορίνθιος ἐποποιός· ἔγραψεν Ὑποθήκας· Αἴτια, ἐν βιβλίοις τρισί· Μεπωρολογούμενα· δὲ καταλογάδην ὑπόμνημα εἰς Ἡσίοδον· οἰκυμβύης καὶ αὐτὸς περιήγησιν δι' ἐπῶν.

ΠΕΡΙ ΔΕΞΙΠΠΟΤ.

Δέξιππος Ἀθηναῖος κωμικός· δράματα αὐτοῦ, Ἀντιπορνοβοσκός· Φιλάργυρος· Ἰσοειογράφος· Διαδικαζόμενοι.

ΓΡΑΜΜΑΤΙΚΟΙ.

ΠΕΡΙ ΔΑΦΙΔΟΤ ΤΟΤ ΓΡΑΜΜΑΤΙΚΟΤ.

Δαφίδας Τελμισσεὺς γραμματικός· γέγραφε δὲ περὶ Ὁμήρου, ὅτι ἐψεύσατο· Ἀθηναῖοι γὰρ οὐκ ἐστράτευσαν ἐπὶ Ἴλιον.

ΠΕΡΙ ΔΗΜΗΤΡΙΟΤ ΤΟΤ ΙΞΙΟΝΟΣ.

Δημήτριος, ὁ ἐπίκλην Ἰξίων, γραμματικὸς Ἀτραμυττηνός, ἐπὶ Αὐγούστου Καίσαρος· ἔγραψε περὶ τῶν εἰς ΜΙ λήγοντων

των ῥημάτων, ἃ ἄλλα· περὶ ἀντωνυμιῶν· εἰς Ὅμηρον καὶ Ἡσίοδον ἐξήγησιν.

ΠΕΡΙ ΔΙΔΥΜΩΝ ΤΩΝ ΓΡΑΜΜΑΤΙΚΩΝ.

Δίδυμοι τέσσαρες ἐγένοντο γραμματικοί· ὧν ὁ πρῶτος, Διδύμου Ταριχοπύλου υἱὸς, Ἀρισταρχείου γραμματικοῦ Ἀλεξανδρεύς, ἐπὶ Ἀντωνίου καὶ Κικέρωνος, Χαλκέντερος κληθείς, διὰ τοῦτο περὶ τὰ βιβλία ἐπιμονήν· φασὶ γὰρ αὐτὸν συγγεγραφέναι ὑπὲρ τὰ τρισχίλια πεντακόσια βιβλία. ὁ δεύτερος, Ἀλεξανδρεὺς καὶ αὐτός· ὃς καὶ ἐσοφίστευσεν ἐν Ῥώμῃ· ἔγραψε πιθανὰ, περὶ ὀρθογραφίας, καὶ ἄλλα. ὁ τρίτος, ὁ τοῦ Ἡρακλείδου ἐπὶ Νέρωνος, οὐ μόνον γραμματικὸς, ἀλλὰ καὶ ἐς τὸ ἄκρον μυστικὸς, καὶ ᾠδὸς μέλη λίαν ἐπιτήδειος. ὁ τέταρτος, ὁ καὶ Κλαύδιος ὀνομαζόμενος· ἔγραψε περὶ τῶν ἡμαρτημένων παρὰ τοῦ ἀναλογίαν Θουκυδίδῃ· περὶ τῆς παρὰ Ῥωμαίοις ἀναλογίας· ἐπιτομὴν τῶν Ἡρακλέωνος· καὶ ἄλλα.

ΠΕΡΙ ΔΙΚΑΙΑΡΧΟΥ.

Δικαίαρχος Λακεδαιμόνιος γραμματικὸς, ἀκροατὴς Ἀρισάρχου.

ΠΕΡΙ ΔΙΟΓΕΝΕΙΑΝΟΥ ΤΟΥ ΓΡΑΜΜΑΤΙΚΟΥ.

Διογενειανὸς Ἡρακλείας Πόντου γραμματικὸς ἐπὶ Ἀδριανοῦ· ἦν δὲ τῆς Ἀλβάκης Ἡρακλείας τῆς ἐν Καρίᾳ, καὶ Λυσίμαχον· βιβλία αὐτοῦ φέρονται λέξεις παντοδαπαὶ καὶ στοιχεῖον ἐν βιβλίοις πέντε· ἐπιτομὴ τῶν Γαμφίλου λέξεων βιβλίων πέντε καὶ τετρακοσίων, καὶ τῶν Ζωπυρίωνος ἐπιγραμμάτων ἀνθολόγιον· περὶ ποταμῶν, λιμνῶν, κρημνῶν, ὀρῶν, ἀκρωρειῶν· περὶ ποταμῶν κατὰ στοιχεῖον ἐπίτομον ἀναγραφὴν· σωαγωγὴν καὶ πίνακα τῶν ἐν πάσῃ τῇ γῇ πόλεων.

ΠΕΡΙ ΔΙΟΝΤΣΙΟΥ ΤΟΥ ΓΡΑΜΜΑΤΙΚΟΥ.

Διονύσιος Ἀλεξανδρεὺς, ὁ Γλαύκου υἱὸς, γραμματικὸς, ἐπὶ Νέρωνος.

ΠΕΡΙ ΔΡΑΚΟΝΤΟΣ ΤΟΥ ΓΡΑΜΜΑΤΙΚΟΥ.

Δράκων Στρατονικεὺς γραμματικὸς· γέγραφε Τέχνικα, Ὀρθογραφίαν· περὶ τῶν καὶ συζυγίαν ὀνομάτων· περὶ ἀντωνυμιῶν·

μῶν· περὶ μέτρων· περὶ Σατύρων· περὶ τῆς Πινδάρου μελῶν· περὶ τῆς Σαπφοῦς μέτρων· περὶ τῆς Ἀλκαίου μελῶν.

ΦΙΛΟΣΟΦΟΙ.

ΠΕΡΙ ΔΑΜΑΣΚΙΟΥ ΤΟΥ ΦΙΛΟΣΟΦΟΥ.

Δαμάσκιος Σύρος, Στωϊκὸς φιλόσοφος· Σιμπλικίου καὶ Ἐλαμίτου τῆς Φρυγῶν ὁμιλητὴς ἐπὶ τῆς Ἰουστινιανοῦ χρόνων· γέγραπται αὐτῷ ὑπομνήματα εἰς Πλάτωνα, καὶ περὶ ἀρχῶν, καὶ φιλόσοφος ἱστορία· καὶ ἄλλα πολλά.

ΠΕΡΙ ΔΑΜΟΦΙΛΟΥ.

Δαμόφιλος φιλόσοφος καὶ σοφιστής· γέγραφε περὶ ἀξιοκτήτων βιβλίων· πρὸς Λόλλιον Μάξιμον· περὶ βίων ἀρχαίων· καὶ ἕτερα πάμπολλα.

ΠΕΡΙ ΔΗΜΟΚΡΙΤΟΥ.

Δημόκριτος φιλόσοφος Ἀβδηρίτης, Ἡγησιστράτου υἱός· οἱ δὲ, Δαμασίππου· ἐπὶ Ξέρξου τοῦ βασιλέως· ὅτος ἔτι παῖς τυγχάνων παρά τινων μάγων καὶ Χαλδαίων τά τε περὶ θεολογίας καὶ ἀστρολογίας ἔμαθεν. ὕστερον δὲ ἀποδημῆσαι αὐτὸν φασι Δημήτριος καὶ Ἀντισθένης, καὶ εἰς Αἴγυπτον, πρὸς τοὺς ἱερέας, γεωμετρίαν μαθησόμενον καὶ τὰ ἀπόκρυφα μυστήρια· καὶ πρὸς Χαλδαίους εἰς τὴν Περσίδα, καὶ εἰς τὴν ἐρυθρὰν θάλασσαν γενέσθαι, τοῖς τε Γυμνοσοφισταῖς συμμίξαι αὐτὸν ἐν Ἰνδίᾳ, καὶ εἰς Αἰθιοπίαν ἐλθεῖν. ὑμῶν ἄλλα καὶ Ἀθήναζε ἐλθεῖν ἰσοροῦσι μέν τινα, καὶ μὴ σπουδάσαι γνωσθῆναι, δόξης καταφρονῶν· καὶ οὐδένα μὲν Σωκράτην, ἀγνοεῖσθαι δὲ ὑπ' αὐτοῦ· ἦλθον γάρ, φησὶν, εἰς Ἀθήνας, καὶ οὐ τις με ἔγνωκεν· ἦν δὲ ἐναυτῷ πρεσβύτερος Σωκράτης, ὡς Θράσυλλος ἐν τῷ ἐπιγραφομένῳ τὰ πρὸ τῆς ἀναγνώσεως τῶν Δημοκρίτου βιβλίων ἀναγράφει· ὃς καὶ αὐτὸν ζηλωτὴν γενομένου τῶν Πυθαγορικῶν φησιν· ἀλλὰ καὶ αὐτοῦ τοῦ Πυθαγόρου μεμνῆσθαι, θαυμάζοντα αὐτὸν ἐν τῷ ὁμωνύμῳ συγγράμματι· πάντα δὲ δοκεῖν παρὰ τούτου λαβεῖν, καὶ αὐτοῦ δ' ἂν ἀκηκοέναι, εἰ μὴ τὰ τῶν χρόνων ἐμάχετο. ἀκοῦσαι δέ φασιν αὐτὸν ὕστερον καὶ Λευκίππου, καὶ Ἀναξαγόρου, ἔτεσιν αὐτοῦ νεώτερον τεσσαράκοντα. δῆλος δὲ ὢν τοῖς εἰδόσι καὶ τῶν συγγραμμάτων αὐτοῦ, οἷος ἦν ὁ Ἀβδηρίτης· ὄντινα καὶ πένταθλόν τινες ὠνόμασαν· καὶ

ἦν

ἦν, ὡς ἀληθῶς, ὢν φιλοσοφίᾳ πένταθλος· τὰ γὰρ φυσικὰ, καὶ τὰ ἠθικὰ, ἀλλὰ καὶ τὰ μαθηματικὰ, καὶ τὰς ἐγκυκλίους λόγους, καὶ περὶ τεχνῶν πάσαν εἶχεν ἐμπειρίαν. σωφρονέστατος δ' φασὶ τὸν μικρὸν διάκοσμον ἔτεσιν ὕστερον τῆς Ἰλίου ἁλώσεως, τελέοντα καὶ ἑπτακοσίοις αὐτὸν ἐκεῖνον παρεισάγοντες μάρτυρα. φέρεται αὐτοῦ συγγράμματα πλεῖστα παντοδαπά· καὶ γὰρ καὶ ἠθικὰ· καὶ φυσικά· καὶ ἀστρονομικὰ· καὶ μαθηματικὰ πολλά· καὶ μάλιστα περὶ διαφορᾶς γνώμης, ἢ περὶ ψυχῆς κύκλου καὶ σφαίρας· καὶ περὶ οὐρανογραφίης καὶ πολογραφίης καὶ τοῦ μεγάλου ἐνιαυτοῦ θαυμάσιά τινα καὶ μυστικά· καὶ τεχνικά· καὶ τὰ περὶ τῶν ἐν Βαβυλῶνι ἱερῶν γραμμάτων· περὶ τ' ἐν Μερόῃ ἱερῶν γραμμάτων· ὡς καὶ Θραασύλλῳ ἔνεστιν ἰδεῖν. φησὶ δ' Ἀθηνόδωρος ἐν ὀγδόῳ περιπάτων, ἐλθόντος Ἱπποκράτους πρὸς αὐτὸν, κομιοθῆναι γάλα· καὶ θεασάμενον τὸ γάλα, εἰπεῖν, καὶ αἰγὸς πρωτοτόκου καὶ μελαίνης· ὅθεν τοῦ ἀκρίβειαν αὐτοῦ θαυμάσαι τὸν Ἱπποκράτην. ἀλλὰ καὶ κόρης ἀκολουθούσης τῷ Ἱπποκράτει, τῇ μὲν πρώτῃ ἡμέρᾳ ἀσπάσασθαι ὕστερον, χαῖρε κόρη· τῇ δ' ἑξομένῃ, χαῖρε γύναι· καὶ ἦν ἡ κόρη τῆς νυκτὸς διεφθαρμένη. τελευτῆσαι δ' αὐτὸν φασιν τοιῷδε· ἤδη γέροντα ὄντα, πρὸς τῷ καταστρέφειν εἰς· τοῦ ἕνεκα ἀδελφοῦ λυπεῖσθαι, ὅτι ἐν τῇ τῶν Θεσμοφόρων ἑορτῇ μέλλοι τεθνήξεσθαι· καὶ τῇ θεῷ τὸ καθῆκον αὐτῇ ὑποίησεν· τὸν δ', θαρρεῖν αὐτῷ· καὶ κελεῦσαι αὐτῷ προσφέρειν ἄρτους θερμοὺς ὁσημέραι· τούτους δὴ ταῖς χερσὶ προσφέρων, διεκράτησεν αὐτὸν τὴν ἑορτήν· ἐπεὶ δ' παρῆλθον αἱ ἡμέραι, (τρεῖς δ' ἦσαν,) ἀλυπότατα τὸν βίον προήκατο, ἐννέα πρὸς τοῖς ἑκατὸν ἔτη βιούς.

ΠΕΡΙ ΔΙΔΥΜΟΥ ΤΟΥ ΦΙΛΟΣΟΦΟΥ.

Δίδυμος Ἀθηναῖος, φιλόσοφος Ἀκαδημαϊκός· ἔγραψε λύσεις πιθανῶν καὶ σοφισμάτων ἐν δυσὶ βιβλίοις· καὶ ἄλλα πολλά.

ΠΕΡΙ ΔΙΚΑΙΑΡΧΟΥ ΤΟΥ ΦΙΛΟΣΟΦΟΥ.

Δικαίαρχος Φειδίᾳ, φιλόσοφος καὶ ῥήτωρ, καὶ γεωμέτρης· ὢν Μεσσήνης τῆς Σικελίας, Ἀριστοτέλους γέγονεν ἀκουστής. ἔγραψε καταμετρήσεις τοῦ ὄρους τοῦ Πελοποννήσου· Ἑλλάδος βίον ἐν τρισὶ βιβλίοις· καὶ Σπαρτιατῶν πολιτείαν.

ΠΕ-

ΠΕΡΙ ΔΗΜΗΤΡΙΟΥ ΤΟΥ ΦΑΛΗΡΕΩΣ.

Δημήτριος Φανοστράτου, Φαληρεύς, μαθητὴς Θεοφράστου. ὗτος πλήθει βιβλίων καὶ ἀριθμῷ στίχων σχεδὸν ἅπαντας παρελήλακε τοὺς καθ' αὑτὸν περιπατητικούς, δύπαίδητος ὢν καὶ πολύπειρος πάσης ὀντινασῦν· ὧν ὅσα μὲν, ἱστορικά· τὰ δ', πολιτικά· τὰ δ', περὶ ποιητῶν· τὰ δ', ῥητορικά, δημηγοριῶν τε καὶ ἀντιβολῶν. δηχθεὶς δ' ὑπ' ἀσπίδος, ἀπώλετο, τὴν χεῖρα, τὸν βίον καταστρεψεν.

ΠΕΡΙ ΔΙΟΔΩΡΟΥ ΤΟΥ ΩΤΑΛΕΡΙΟΥ.

Διόδωρος ὁ Ὠυκλέριος ἐπικληθεὶς φιλόσοφος, μαθητὴς Τηλεκλέους, υἱὸς Πολίππου τοῦ φιλοσόφου Ἀλεξανδρέως, τοῦ γράψαντος τὴν Ἀττικὴν λέξιν ἐπὶ Ἀδριανοῦ.

ΠΕΡΙ ΔΙΟΔΩΡΟΥ ΤΟΥ ΚΑΡΚΡΟΝΟΥ.

Διόδωρος Ἀμεινίου Ἰασεύς, ὁ καὶ Κρόνος ἐπωνομασθεὶς, διαλεκτικός· ὗτος παρὰ Πτολεμαίῳ τῷ Σωτῆρι διατρίβων, λόγους τινὰς διαλεκτικοὺς ἠρωτήθη παρὰ Στίλπωνος τοῦ φιλοσόφου· καὶ παραχρῆμα μὴ δυνάμενος διαλύσασθαι, ὑπὸ τοῦ βασιλέως τά τε ἄλλα ἐπετιμήθη· καὶ δὴ Κρόνος ἤκουσεν ὑπ' σκώμματος μέρει· ἐξελθὼν δὴ τοῦ συμποσίου, ὡς λόγον γράψας περὶ τοῦ προβλήματος, ἀθυμίᾳ τὸν βίον μετέθηκεν.

ΠΕΡΙ ΔΙΟΝΥΣΙΟΥ ΤΙΟΥ ΤΟΥ ΤΥΡΑΝΝΟΥ.

Διονύσιος υἱὸς τοῦ Σικελίας τυράννου, καὶ αὐτὸς τύραννος φιλόσοφος· γέγραφεν ἐπιστολὰς καὶ περὶ τῶν ποιημάτων Ἐπιχάρμου.

ΠΕΡΙ ΔΙΟΝΥΣΙΟΥ ΤΟΥ ΜΕΤΑΘΕΜΕΝΟΥ.

Διονύσιος ὁ Μεταθέμενος, υἱὸς μὲν Θεοφάντου· πόλεως δ' Ἡρακλείας· ὗτος ἦκουσε μὲν τῶν Ἑρμὸν μὲν Ἡρακλείδου τοῦ Πολίτου ἔπειτα Ἀλεξίνου καὶ Μενεδήμου· πλουσίων δ' Ζήνωνος. καὶ καταρχὰς μὲν φιλογράμματος ὢν, παντοδαποῖς ἐπεχείρει ποιήμασιν· ἔπειτα δ' ὡς Ἄρατον ἀπεδέχετο, ζηλῶν αὐτόν· ἀποστὰς δ' τοῦ Ζήνωνος, τοὺς τοὺς Καρνεάδου ἀπετράπη· καὶ εἴς τε τὰ χαμαιτυπεῖα ὑπεισῆει· καὶ τἄλλα ἀνακαλύπτων ἡδυπάθει. βιοὺς δ' τοὺς τὰ ὀγδοήκοντα, ἀσιτίᾳ κατέστρεψε. βιβλία δ' αὐτοῦ φέρεται τάδε·

πε-

περὶ ἀπαθείας δύο· περὶ ἀσκήσεως δύο· περὶ ἡδονῆς τέσσαρα· περὶ πλούτου καὶ χάριτος καὶ τιμωρίας· περὶ ἀνθρώπων χρήσεως· περὶ δυτυχίας· περὶ ἀρχαίων βασιλέων· περὶ τῶν ἐπαινουμένων· περὶ βαρβαρικῶν ἐθνῶν.

ΠΕΡΙ ΔΙΩΝΟΣ.

Δίων Ἱππαρίνου Συρακούσιος, φιλόσοφος Πλατωνικός. ἔγραψε ἐπιστολὰς πρὸς Πλάτωνα, καὶ ἄλλους τινάς· ἀλλὰ καὶ διαλόγους πολλοὺς κατὰ μίμησιν Πλάτωνος.

ΠΕΡΙ ΔΙΑΓΟΡΟΥ.

Διαγόρας, μετὰ τὴν ἅλωσιν Μήλου, ἐν Ἀθήναις ὤκει. τὰ δὲ μυστήρια ἠτέλιζεν· ὡς πολλοὺς ἂν ἐκτρέπειν πλουτῆς· τοῦτο ἐκήρυξαν Ἀθηναῖοι κατ' αὐτοῦ, καὶ ἐν χαλκῇ στήλῃ ἔγραψαν, ὥς φησι Μελάνθης ἐν τῷ περὶ μυστηρίων, ἢ ἄλλοι· ὅτω μὲν ἐκήρυξαν, τὸν μὲν ἀποκτείναντα αὐτὸν, τάλαντον λαμβάνειν· τὸν δὲ ἀγαγόντα, δύο. ἐκηρύχθη δὲ τοῦτο διὰ τὸ ἀσεβὲς αὐτοῦ, ἐπεὶ τὰ μυστήρια πᾶσι διηγεῖτο, κοινοποιῶν αὐτὰ καὶ τοὺς βουλομένους μυεῖσθαι ἀποτρέπων, καθάπερ Κρατερὸς ἱστορεῖ. ἐκκεκήρυκται δὲ μάλιστα ὑπὸ τῶν ἅλωσιν τῆς Μήλου· ὑδέν γὰρ κωλύει πρότερον. Μένανδρος δὲ ἐν τῷ περὶ μυστηρίων προφέρεται τῆς χαλκῆς στήλης ἀντίγραφον, ἐν ᾗ ἐπεκήρυξαν καὶ αὐλόν, καὶ τοὺς ἐκδιδόντας Ἕλλανεῖς, ἐν ᾗ γέγραπται καὶ ταῦτα· ἐὰν δέ τις ἀποκτείνῃ Διαγόραν τὸν Μήλιον, λαμβάνειν ἀργυρίου τάλαντον· ἐὰν δέ τις ἀγάγῃ, λαβεῖν δύο. ἔστι δὲ καὶ ἕτερος Διαγόρας ἄθεος, ποιητὴς μελῶν· ὃς καὶ καινὰ δαιμόνια εἰσηγεῖτο. καὶ ὁ μὲν Ἀρίσταρχος λέγει, Ἀριστοφάνει αὐτοῦ μνημονεύειν, ὡς ἐν εἰρωνείᾳ κειμένῳ καὶ χλευαζομένῳ.

ΠΕΡΙ ΔΙΟΓΕΝΟΥΣ ΤΟΥ ΦΥΣΙΚΟΥ.

Διογένεις γεγόνασι πέντε· πρῶτος αὐτὸς οὗτος περὶ οὗ ὁ λόγος, Ἀπολλοθέμιδος Ἀπολλωνιάτης, ἀνὴρ φυσικὸς, καὶ ἄγαν εὔλογιμος· δεύτερος, Σικυώνιος, ὁ γράψας τὰ περὶ Πελοπόννησον· τρίτος, ὁ Κυνικὸς, περὶ οὗ μετ' ὀλίγον λέξομεν· τέταρτος Στωϊκὸς, γένος Σελευκεὺς, καλούμενος ὁ Βαβυλώνιος διὰ τὴν γειτονίαν· πέμπτος Ταρσεὺς, γεγραφὼς περὶ ποιητικῶν ζητημάτων, ἃ λύειν ἐπιχειρεῖ. ὁ δὴ Ἀπολλωνιάτης, ἦκμαζε μὲν Ἀναξιμένους· ἦν δὲ ἐν τοῖς χρόνοις, καὶ Ἀναξαγόραν. τοῦτον φη-

σὴν ὁ Φαληρεὺς Δημήτριος ἐν τῇ Σωκράτους ἀπολογίᾳ, διὰ μέγαν φθόνον μικρῷ κινδυνεῦσαι Ἀθήνησιν. ἐδόκει δὲ αὐτῷ τάδε· στοιχεῖον εἶναι τὸν ἀέρα· κόσμους ἀπείρους, καὶ κενὸν ἄπειρον· τόν τε ἀέρα πυκνούμενον καὶ ἀραιούμενον, γονιμικὸν εἶναι τῶν κόσμων· ὑδὲν ὂν τοῦ μὴ ὄντος γίνεσθαι· ὑδὲ εἰς τὸ μὴ ὂν φθείρεσθαι· τῷ γλίσχρῳ προσγύλλεσθαι ἠρεμαιοσυμβόλῳ ὂν τῷ μέσῳ, τῷ σύστασιν εἰληφῦιαν καὶ ἴλιγγον ὂν τοῦ θερμοῦ περιφορὰν καὶ πῆξιν ὑπὸ τοῦ ψυχροῦ.

ΠΕΡΙ ΔΙΩΝΟΣ ΤΟΥ ΠΡΟΥΣΑΕΩΣ.

Δίων ὁ Πρυσαεὺς φιλόσοφος καὶ σοφιστὴς, ὃν Χρυσόστομον ἐκάλεσαν, ὁ Πασικράτους υἱὸς ἦν, ἐπὶ Τραϊανοῦ. ἔγραψεν εἰ φθαρτὸς ὁ κόσμος· ἐγκώμιον Ἡρακλέους· ὑπὲρ Ὁμήρου καὶ Πλάτωνα λόγους τέσσαρας· περὶ τῶν Ἀλεξάνδρου ἀρετῶν λόγους ὀκτώ· καὶ ἄλλα.

ΠΕΡΙ ΔΟΜΝΙΝΟΥ ΤΟΥ ΦΙΛΟΣΟΦΟΥ.

Δομνῖνος φιλόσοφος Σύρος, ἀπό τε Λαοδικείας καὶ Λαρίσσης πόλεως Συρίας, μαθητὴς Συριανοῦ, καὶ Πρόκλου συμφοιτητής, ὥς φησι Δαμάσκιος, ἔγραψε καὶ τῶν τοῦ Πλάτωνος δοξασμάτων.

ΠΕΡΙ ΔΙΟΓΕΝΟΥΣ ΤΟΥ ΚΥΝΙΚΟΥ.

Διογένης ὁ Κυνικὸς, Ἱκεσίου τραπεζίτου υἱὸς ἦν, Σινωπεύς· Κυνικὸς δὲ ἤκουσεν, ἀπὸ μεταφορᾶς τῶν χερσαίων κυνῶν· ὥσπερ γὰρ οἱ κύνες ἔχουσί τι φύσει ὑλακτικὸν, καὶ διακριτικόν· (διακρίνουσι γὰρ τοὺς οἰκείους τῶν ξένων, καὶ φυλάττουσι τοὺς οἰκείους,) οὕτω καὶ οὗτος ἐμιμεῖτο τὸ διακριτικὸν καὶ φυλακτικόν· καὶ ἐφύλαττε μὲν τὰ τῆς φιλοσοφίας δόγματα· διέκρινε δὲ τοὺς ἐπιτηδείους καὶ ἀνεπιτηδείους πρὸς φιλοσοφίαν. οὗτος ἦν ὁ Κυνικὸς τοιοῦτος ὤν, ἦν εἰκότως εὐπαιδείας· ἤλεγχε γὰρ καὶ διώκτας, καὶ ἐλλογίμους, καὶ πάντα ἄνθρωπον δῆθεν διὰ τὸ καλόν· ἐλέγχων δ' ἦν, ἀστειότερον καὶ γελοιοδέστερον πολὺ ἤλεγχε. ἀκουστὴς δ' ἦν Ἀντισθένους· καὶ διακούσας αὐτοῦ, ὥρμησεν ἐπὶ τὸν ἁπλοῦν βίον, μὴ θεασάμενος τὰ διατρέχοντα. Θεόφραστος δ' ἐν τῷ Μεγαρικῷ φησὶ μή τε κοίτην αὐτὸν ἐπιζητοῦντα, μήτε σκότος ἀλλαβόμενον, ἢ ποθοῦντά τι τῶν δοκούντων ἀπολωστῶν. πόρον ἐξεῦρε τῆς περιστάσεως, τρίβωνα διπλώσας πρῶτος κατά τινας, διὰ τὸ ἀνάγκην ἔχειν καὶ ἐνδύσεν αὐτῷ· πήραν τε ἐκομίσατο ἔνθα αὐτῷ τὰ σιτία ἦν· καὶ παντὶ τόπῳ ἐχρῆτο εἰς πάντα, ἀρίστου τε καὶ καθεύδων

δων

δων ἐ διαλεγόμενος. βακτηρίᾳ ὃ ἐπηρέσατο ἀσθενήσας· ἔπειτα μθύτοι κ διὰ παντὸς ἔφερεν· ὁ μὲν ὃν ἄσει, ἀλλὰ καθ' ὁδὸν αὐτῇ τε ἐ τῇ πείρᾳ, ὥς φησιν Πολύευκτος ὁ ῥήτωρ. ἐπιστείλας δέ τινι οἰκίδιον αὐτῷ προοικῆσαθζ, ἐ βραδύνοντος, τὸν ὃν τῷ μισθῷ πίθον ἔχειν οἰκίαν, (ὡς ἐ αὐτὸς ὃν ταῖς ἐπιστολαῖς διασαφεῖ,) ὃν ὃν τῷ χειμῶνι ᾤκει· κ ἐπέρας μὲν ἐσῆει ὃν αὐτῶ, διὰ τὸ κρύος· ἡμέρας ὃ, ἐξῆει διὰ τὸν ἥλιον. διὸ ποτὲ ἡλιαμθύῳ αὐτῷ, ἐπέστη Ἀλέξανδρος ὁ Μακεδὼν, ἀποσκοτῶν αὐτὸν τῷ μὴ θερμαίνεσθζ· κ λέγων, εἰτέ, Διόγθυες, τί βάλλει σοι χαρίσομαι; ὁ δὲ εἶπε, ὅπερ μὴ δυνάμθυος σθζαχεῖν, ἔασόν με μεταχεῖν. ὁ δὲ, ἐ τί ὅπερ ὁ δύναμαι; ὁ ὃ ἀποκειθεὶς, τῷ τῷ ἡλίῳ θάλπει. τῷ δὲ Ἀλεξάνδρῳ εἰπόντος, ἐγώ εἰμι Ἀλέξανδρος ὁ μέγας βασιλεὺς, κἀγώ, φησί, Διογένης ὁ κύων. ἐρωτηθεὶς ὃ τί ποιῶν κύων καλεῖται, ἔφη· τοὺς μὲν τῶν ἐμῶν ἀκύοντας σαίνων· τοὺς δὲ μὴ ἀκύοντας ὑλακτῶν· τοὺς ὃ πονηρούς, δάκνων. τότε φασὶν τὸν Ἀλέξανδρον εἰπεῖν, ὡς εἴπερ Ἀλέξανδρος μὴ γεγόνει, ἐθελῆσαι ἂν Διογένης γθυέσθζ. ἀλλ' ὅ παρόμοιον τὸ τῷ Πτολεμαίῳ πρὸς Σωτάδθυ· Σωτάδης γὰ ὁ Ἀλεξανδρεὺς φιλόσοφος, ἴσατο ὃν τύπῳ τινὶ ὃν ἡλίῳ θερμαινόμθυος, ἐ φθειριζόμθυος. τοῦτον ἄνωθεν ἔκ τινος ἀόπτου θεασάμθυος ὁ Πτολεμαῖος, κατῆλθεν ἵνα αὐτὸν λάβῃ πρὸς τὰ βασίλεια. ὁ ὃ Σωτάδης ἰδὼν αὐτόν, εἰσῆλθεν εἰς κλάσμα πίθου κειμένου, ἐ ἀπεκρύβη τὸν Πτολεμαῖον. ὕστερον ὃ ὡς ἀτυχῆ τοῦτον διέβαλλον. τινὲς ὃ λέγουσιν ὅτι αὐτὸς ὁ Πτολεμαῖος κ τὸ Ἰάμβειον τοῦτο ἀπεφθέγξατο,

Θέλω τύχης σταλαγμὸν ἢ φρενῶν πίθον·

αἰνιττόμθυος ὅτι ὁ πίθος ἐκεῖνος μεσὸς ἦν φρενῶν· διὰ τὸ τὸν Σωτάδθυ ἐντὸς αὐτοῦ εἶ). ἀλλ' ὅμως οὐδὲν αὐτὸν ὠφέλησεν ἡ τῶν φρενῶν πληθύς. ἀλλ' ἐπὶ τὸν Διογένθυ ἐπανιτέον. ὅτος ἐ πρὸς Ἀθηναίων ἐς τὰ μάλιστα ἠγαπᾶτο· μειρακίῳ γοῦν τὸν πίθον αὐτοῦ σιωτείψαντος, τῷ μθυϊ, πληγὰς ἔδοσαν· ἐκείνῳ ὃ, ἄλλον παρέχον. φησὶ ὃ Διονύσιος ὁ Στωϊκὸς, ὡς μὴ Χαιρώνειαν συλληφθεὶς ἀπήχθη πρὸς Φίλιππον· ἐ ἐρωτηθεὶς τίς εἴη, κατάσκοπος, ἔφη, τῆς σῆς ἀπληστίας· ὅθεν θαυμασθεὶς ἀφέθη. λέγεται ὃ ὅτι ἐ γυμνοῖς ποσὶ χιόνα ἐπάτει· ἐ χειμῶνι ἀνδριάντας κεχιονωμθύους περιελάμβανε· κ ὠμὰ ὃ κρέα ἐπεχείρησε φαγεῖν, πανταχόθεν ἑαυτὸν σιωασκῶν. δεινός τε ἦν κατασοβαρύσασθζ τ ἄλλων· κ τῷ μθυ Εὐκλείδᾳ σχολῇ, ἔλεγε σχολῇ·

Πλὼ δὲ Πλάτωνος διατριβλὼ, καταπειβλώ· καὶ ποτε Πλάτωνα ἐν δείπνῳ πολυτελῆ καταιρήσας ἀψάμενον ἐλαῶν, τί φησιν ὁ σοφὸς εἰς Σικελίαν πλεύσας τῆ τραπεζῶν τούτων χάειν νῶ ἔχαμψόων ὐκ ἀπολαύεις; καὶ ὃς, ἀλλὰ, νὴ τὰς θεάς, φησί, Διόγενες, κἀκεῖ τὰ πολλὰ ὡρὸς ἐλάας κὴ τὰ τοιαῦτα ἐγενόμλω. ὁ δὲ, τί δ' ἂν ἔδει πλεῖν εἰς Συρακούσας; ἦ τότε ἡ Ἀττικὴ ὐκ ἔφερεν ἐλάας; τῶ δὲ εἰπόντος αὐτὸν κύνα, ναὶ, ἔφη· ἐγὼ γὰρ ἐπανῆλθον ἐπὶ τὰς πεπρακότας. κὴ ἄλλοτε ἰσχάδας ἐσθίων ἀπήντετο αὐτῳ· φησὶ τε, ἔξεστί σοι μεταχεῖν· τῶ δὲ, λαβόντος κὴ φαγόντος, ἔφη, μεταστχεῖν εἶπον, ὐ καταφαγεῖν. πατῶν αὐτῶ ποτε στρώματα κεκλικότος φίλως ὡρὸς Διονυσίω ἔφη· πατῳ τλὼ Πλάτωνος κενοσπουδίαν· ὡρὸς ὃν Πλατων· ὅσαν, ὦ Διόγενες, τῶ τύφω διαφαίνεις, δοκῶν μὴ πετυφῶσθαι. οἱ δὲ φασὶ τὸν Διογένλω εἰπεῖν, πατῶ τὸν Πλάτωνος τύφον· τὸν δ', φάναι· ἑτέρῳ δὲ τύφῳ, Διόγενες. Σωλίων δ' ἐν τῳ τετάρτῳ φησὶ τῶτο ὡρὸς αὐτὸν εἰπεῖν τὸν Πλάτωνα τὸν κύνα. Διογένης οἶνον ποτὲ ἤτησεν αὐτόν· τότε δὲ ἰσχάδας· ὁ δὲ, κεράμιον ὅλον ἔπεμψεν αὐτῶ. καὶ ὃς, σὺ, φησὶν, ἐὰν ἐρωτηθῆς δύο καὶ δύο πόσα ἐστὶν, εἴκοσι ἀποκρινῆ· ὕτως ὅτε ὡρὸς τὰ αἰτήμλυα δίδως, ὕτε ὡρὸς τὰ ἐρωτώμλυα ἀποκρίνῃ· ἔσκωψε δὴ ὡς ἀπεραντολόγον. θεασάμενος δὲ πάλιν αὐτὸν ὁ Πλάτων λάχανα πλύνοντα, ὡροσελθὼν ἡσυχῆ εἶπεν αὐτῶ· εἰ Διονύσιον ἐθεράπευες, ὐκ ἂν λάχανα ἔπλυνες. ὁ δὲ ἀποκριθεὶς ὁμοίως ἡσυχῆ· καὶ σὺ εἰ λάχανα ἔπλυνες, ὐκ ἂν Διονύσιον ἐθεράπευες. ὀνειδιζόμλος ποτὲ ὅτι εἰς ἀγορᾶ ἔφαγεν, εἰν ἀγορᾶ γὰρ, ἔφη, κὴ ἐπείνησα. κὴ ἄλλοτε ἀριστῶντι πάλιν αὐτῶ ἐν ἀγορᾶ οἱ περιεστῶτες συνεχὲς ἔλεγον κύον· ὁ δὲ, ὑμεῖς, εἶπεν, ἐστὲ κύνες, οἵ με ἀριστῶντα περιεστήκατε. ἄστοτον θεασάμενος ἐν πανδοκείῳ ἐλάας ἐσθίοντα, ἔφη· εἰ ὕτως ἠρίστας, ὐκ ἂν ὕτως ἐδείπνεις. πλέων δὲ πάλιν εἰς Αἴγιναν, ἐκ πειρατικῆς ἁλὸς, ὧν ἦρξε Σκίρπαλος, εἰς Κρήτλω ἐπαχθεὶς ἐωιπράσκετο· ἐρωτηθεὶς δ' τί οἶδε ποιεῖν, ἀπεκρίνατο ἀνδρῶν ἄρχειν· κὴ ὡρὸς τὸν κήρυκα, κήρυσσε, ἔφη, εἴ τις ἐθέλοι δεσπόλω αὐτῳ ὡριασθαι. θεασάμλος υἱὸν ἑταίρας λίθον εἰς ὄχλον βάλλοντα, ὡρόσεχε, ἔφη, μὴ τὸν πατέρα πλήξῃς. ὡροσαιτῶν τινα, κὴ γὰρ τῶτο ὡρῶτον ἐποίησε διὰ τλὼ ἀποριαν, ἔφη· εἰ μλω ἐκ ἄλλῳ δέδωκας, δὸς κἀμοί· εἰ δ' μηδενὶ, ἀπ' ἐμοῦ ἄρξαι. Ἀναξιμένει τῷ ῥήτορι παχεῖ ὄνλι ὡροσελθὼν, ἐπίδος ἐκ ἡμῖν, ἔφη, τοῖς πτωχοῖς τῆς γαστρός· κὴ γὰρ αὐτὸς κυφιωθήσῃ, ἐκ ἡμᾶς

ὠφε-

ὠφελήσεις. καπήλευε ποτὲ Δημοσθένην τὸν ῥήτορα ἐν πανδοκείῳ ἀριστῶντα, τῷ δ' ὑποχωρήσαντος, τοσούτῳ, ἔφη, μᾶλλον ἔσῃ ἐν τῷ πανδοκείῳ. ξένων δέ ποτε θεάσασθαι θελόντων Δημοσθένην, τὸν μέσον ἐκτείνας δάκτυλον, οὗτος ὑμῖν, ἔφη, ὅστις ἐστὶν ὁ Ἀθηναίων δημαγωγός. ἐρωτηθεὶς εἰ κακὸς ὁ θάνατος, πῶς, εἶπε, κακὸς, οὗ παρόντος οὐκ αἰσθανόμεθα; ὡρὸς τὸν εἰπόντα, ἀνεπιτήδειός εἰμι ὡρὸς φιλοσοφίαν, τί οὖν, ἔφη, ζῆς, εἰ τῷ καλῶς ζῆν μὴ μέλει σοι; τινὶ παιδείαν εἶπε τοῖς μὲν νέοις σωφροσύνην, τοῖς δὲ ὡρεσβυτέροις παραμυθίαν, τοῖς δὲ πένησι πλοῦτον, τοῖς δὲ πλουσίοις κόσμον εἶναι. τὸν ἀμαθῆ πλούσιον, ὡρόβατον ἔλεγε χρυσόμαλλον. θεασάμενος ποτὲ μειράκιον λίθους βάλλον ἐπὶ σωρὸν, οὕτως εἶπε, τεύξῃ δὲ τοῦ σκοποῦ. ἰδών ποτε γυναῖκας ἐπ' ἐλαίας ἀπηγχονισμένας, οὐθε, ἔφη, πάντα τὰ δένδρα τοιοῦτον καρπὸν ἤνεγκεν. ἰδὼν εὐπρεπῆ νεανίσκον ἀωρετῶς λαλοῦντα, οὐκ αἰσχύνῃ, ἔφη, ὀξὺ ἐλεφαντίνου καλεοῦ μολιβδίνῳ ἔλκων μάχαιραν; ὡρὸς Ἀλέξανδρον ἐπιστάντα καὶ εἰπόντα, οὐ φοβῇ με; τί γὰρ, εἶπε, εἶ ἀγαθὸν, ἢ κακόν; τοῦ δὲ εἰπόντος, ἀγαθόν· τίς οὖν, εἶπε, τὸ ἀγαθὸν φοβεῖται; ὀνειδιζόμενος ποτὲ ἐπὶ τῷ ὠθαχαράξαι τὸ νόμισμα, ἔφη, ἦν ποτε χρόνος ἐκεῖνος, ὅτ' ἤμην ἐγὼ τοιοῦτος οἷοίς σὺ νῦν· οἷος δ' ἐγὼ νῦν, σὺ οὐδέποτε. ὡρὸς τὸν εἰπόντα κακὸν εἶ τὸ ζῆν, οὐ τὸ ζῆν, εἶπεν, ἀλλὰ τὸ κακῶς ζῆν. τινὶ φιλαργυρίαν ἔλεγε μητρόπολιν πάντων τῶν κακῶν. εἰσαγαγόντος τινὸς αὐτὸν εἰς οἶκον πολυτελῆ, καὶ κωλύοντος πτύσαι, ἐπειδὴ ἐχρέμψατο, εἰς τινὸς ὄψιν αὐτοῦ ἔπτυσεν, εἰπὼν χείρονα τόπον μὴ εὑρηκέναι. ἐρωτηθεὶς ποῖον οἶνον ἡδέως πίνει, ἔφη, τὸν ἀλλότριον. ὡρὸς τοὺς εἰπόντας, γέρων εἶ, καὶ λοιπὸν ἄνες· τί δὲ, ἔφη, εἰ δολιχὸν ἔδραμον, ὡρὸς τῷ τέλει ἔδειμε ἀνεῖναι καὶ μὴ μᾶλλον ἐπιτεῖναι; ἀναφέρεται δὲ καὶ ἄλλα εἰς αὐτὸν, ἃ μακρὸν ἂν εἴη καταλέγειν πλεῖστα ὄντα· καὶ γὰρ δύσοχώτατος ἐγένετο ἐν ταῖς τῶν λόγων ἀπαντήσεσι· τοιαύτη τις προσλῶ ἴυγξ Διογένους τοῖς λόγοις. ἐρωτώμενος δὲ πολλάκις ὑπὸ τῶν αὐτοῦ μαθητῶν τί αὐτῷ ὠφελίνεται ἡ φιλοσοφία, ἔλεγεν. ἢ εἰ μηδὲν ἄλλο, τὸ ὡρὸς πᾶσαν τύχλν παρεσκευάσθαι. διήκουσαν δὲ αὐτοῦ καὶ ἄλλοι πλείους ἄνδρες πολιτικοὶ, καὶ Φωκίων ὁ ἐπίκλιτος Χρηστὸς, καὶ Στίλπων ὁ Μεγαρεύς. φέρεται δ' αὐτοῦ συγγράμματα τάδε· Δῆμος Ἀθηναίων· Πολιτεία· Τέχνη ῥητική· ὠδὴ ἀρετῆς· περὶ ἀγαθοῦ· περὶ πλούτου· τραγῳδίαι ἑπτά· ὠδὴ θανάτου· περὶ πτωχείας· διάλογοι πολλοί· καὶ ἄλλα τινα.

λέ-

λέγεται ὃ πρὸς τὰ ἐνενήκοντα ἔτη βιὰς τελευτῆσαι. φασὶ δὲ τελευτῶντα αὐλὸν ἐντείλασθαι ἄταφον ῥίψαι, ὡς πᾶν θηρίον αὐτῷ μετάσχοι· ἢ εἰς γε βόθρον σιωπᾶσαι, μηδὲ ὀλίγῳ κόνιν ἐπαμῆσαι· οἱ δὲ, πυνθανομένων τῶν παρεστώτων, πῶς αὐτὸν θάψωσιν, ἔφη, ἐπὶ πρόσωπον· τῷ δ' ἐρομένῳ διὰ τί· ὅτι μετ' ὀλίγον, εἶπε, τὰ κάτω μέλλει ἀναστρέφεσθαι· τοῦτο δὲ, διὰ τὸ ἐπικρατεῖν ἤδη τοὺς Μακεδόνας, ἢ ἐκ ταπεινῶν ὑψηλοὺς γίνεσθαι. Δημήτριος δὲ ἐν τοῖς ὁμωνύμοις φησὶ τῆς αὐτῆς ἡμέρας Ἀλέξανδρον μὲν ἐν Βαβυλῶνι, Διογένην δ' ἐν Κορίνθῳ τελευτῆσαι· ἐπισῆσαί τε αὐτῷ τοὺς πολίτας κίονα χαλκοῦν, καὶ ἐπ' αὐτῷ λίθου Πυρίου κύνα, καὶ ἐπιγράψαι ὕστερον·

Γηράσκει καὶ χαλκὸς ὑπὸ χρόνου, ἀλλὰ σὸν οὔτι
Κῦδος ὁ πᾶς αἰών, Διόγενες, καθελεῖ.
Μοῦνος ἐπεὶ βιοτᾶς αὐτάρκεα δόξαν ἔδειξας
Θνητοῖς, καὶ ζωῆς ῥῖμον ἐλαφροτάτην.

Ε

ΠΕΡΙ ΕΙΡΕΣΙΩΝΗΣ.

Εἰρεσιώνη, ὡς λέγει Παυσανίας, θαλλὸς ἐλαίας ἐστεμμένος ἐρίῳ, προσκρεμαμένους ἔχων διαφόρους ἐκ γῆς καρπούς· τοῦτον ἐκφέρει παῖς ἀμφιθαλής, καὶ τίθησι πρὸ θυρῶν τοῦ Ἀπόλλωνος ἱεροῦ, οἱ τοῖς Πυανεψίοις· Πυανεψίοις γὰρ καὶ Θαργηλίοις, ἡλίῳ καὶ ὥραις εὔρταζον οἱ Ἀθηναῖοι. λέγεται γάρ φησι, Θησέα ὅτε εἰς Κρήτην ἔπλει, προσχόντα Δήλῳ διὰ χειμῶνα, εὔξασθαι Ἀπόλλωνι καταστέψαι κλάδοις ἐλαίας, εἰ τὸν Μινώταυρον κτείνας σωθῇ, καὶ θυσιάσειν. ὁ γοῦν ἱκετηρίαν ταύτην καταστέψας, ἐψῆσαι λέγεται χύτρας ἀθάρας καὶ ἕτνους, καὶ δωμὸν ἱδρύσασθαι. διὸ καὶ Πυανέψια λέγεσθαι, οἷον κυαμεψία, διὰ τὸ πυάμους πρότερον τοὺς κυάμους καλεῖσθαι. ἦγον δὲ ἐσθ' ὅτε τοῦτα καὶ ἐπὶ ἀποτροπῇ λιμοῦ· ἦδον δ' παῖδες ὕτως·

Εἰρεσιώνη σῦκα φέρει καὶ πίονας ἄρτους,
Καὶ μέλιτος κοτύλην καὶ ἔλαιον ἐπικρῆσαι,
Καὶ κύλικα, ἵνα μεθύσθη καθεύδῃ.

μετὰ δὲ τοῦτο ἑορτῇ, τοῦτον πρὸ τῶν οἰκημάτων ἔθηκαν τὰς θύ-

θύρας ἐτίθεντο οἱ Ἀθηναῖοι. Κράτης δέ φησιν, ἀφορίας ποτὲ καταχθόνης Ἀθήνας, θαλλὸν, φησὶ, καταστέψαντες ἐείοις, ἱκετηρίαν ἀναθεῖναι Ἀπόλλωνι. ἄλλως δὲ λέγεται, ὡς ὅτι σπέρμα λευκὸν, ὡς φοινικῶν ἁπήρτητο τῷ θαλλῷ· καὶ ὅτι καθέστηκε ἱκεσία τῷ Ἀπόλλωνι, καθ' ἣν ἡμέραν οἱ νῦν Θησέα σωθῆναι δοκῶσι· καὶ ὅτι καταχύσματα ὡς κύλικα οἴνῳ κεκραμμένῳ καταχέοντες αὐτοῖς, ἐπέλεγον τῷ ῥηθῆσαν ᾠδῇ. ἄλλοι δέ φασιν, ὅτι λοιμῷ τινὶ πᾶσαν καταχόντος οἰκουμένην, χρωμένων τινὰ ἂν τρόπον παύσαιτο τὸ δεινὸν, τοῦ λύσιν ταύτην ὁ Πύθιος ἐμαντεύσατο, εἰ τοὺς αἱρεσίαν ὑπὲρ ἁπάντων Ἀθηναῖοι θύσωσι. θυσάντων δὴ τῶν Ἀθηναίων, τὸ δεινὸν ἐπαύσατο· καὶ ὅτως ὥσπερ Χαιρωνεῖοι εἰ πανταχόθεν τοῖς Ἀθηναίοις ἐξέπεμπον, τῶν καρπῶν ἁπάντων τὰς ἀπαρχάς· ὅτε δὴ καὶ Ἄβαριν φασὶ τὸν Ὑπερβόρειον, πρὸς ὃν εἰρήκαμεν, ἐλθόντα θεωρὸν, εἰς τοῦ Ἑλλάδα Ἀπόλλωνι θητεῦσαι· καὶ ὅτι συγγράψαι τὰς χρησμὰς, τὰς νῦν προσαγορευομένας Βάκιδας.

ΠΕΡΙ ΤΟΥ ΕΣ ΚΥΝΟΣΑΡΓΕΣ ΛΕΓΟΜΕΝΟΥ.

Εἰς Κυνόσαργες εἶρηται ἐπὶ ὕβρει καὶ ἀρᾷ. ἦν δὲ τόπος ἐν τῇ Ἀττικῇ, ἐν ᾧ τὰς νόθους τῶν παίδων ἔταττον· ὠνόμασται δὲ ὅτως, ἀπὸ κυνὸς ἀργοῦ, τουτέστι λευκοῦ, ἢ ταχέος· ὡς γὰρ Ἡρακλεῖ θυόντων κυνᾶ λευκὸν, ἢ ταχυν, ἀετὸν ἁρπάσαντα τοῦ θυομένου τὰ μηρία λέγεται, αὐτοῦ καταθεῖναι· καὶ ἐπερωτήσαντας τὸν θεὸν, λαβεῖν χρησμὸν, ἱερὸν Ἡρακλέους ἱδρύσαι τῷ τόπῳ, ἐξ οὗ καὶ τοὺς νόθους ἐκεῖ σωπελεῖν· ὅτι καὶ Ἡρακλῆς νόθος ὢν, ἴσα θεοῖς ἐτιμήθη.

ΠΕΡΙ ΕΚΑΒΗΣ.

Ἑκάβη, θυγάτηρ μὲν Κισσέως· οἱ δὲ, Δύμαντος. ἤκουσε δ' ὅτω, διὰ τὸ ἔκαθεν βεβηκέναι πρὸς τὸν ἄνδρα· ὁ γὰρ πατὴρ Δύμας, Φρυξὶ, εἰς Ἴλιον Πριάμῳ ταύτην ἐξέδοτο, ὅθεν καὶ Πείαμος Φρυξὶ συμμαχεῖ. Εὐριπίδης δὲ μυθικῶς φησιν ὅτι κύων ἐγλύετο· τὸ δ' ἀληθὲς ὅτως ἔχει· μετὰ τὴν τελευτὴν τοῦ Πολυξένης, ὑβρίζε καὶ κατηρᾶτο τοὺς Ἕλληνας· οἱ δὲ ὀργισθέντες, ὡς κύνα αὐτὴν λίθοις ἀνεῖλον.

ΠΕΡΙ ΤΗΣ ΕΚΑΤΗΣ.

Τὴν Ἑκάτην θεὸν ὠνόμαζον Ἕλληνες· καὶ οἱ μὲν αὐτὴν λέγουσιν εἶναι τὴν Ἀρτεμιν· οἱ δὲ, τὴν Σελήνην· ἄλλοι δὲ εἰδι-

δικλώ τινα θεὸν, ὃν φάσμασιν ἐκτόποις φαινομβύλων τοῖς ἐπικαλυμβίοις αὐτλῳ. μάλιστα δὲ φαίνεται τοῖς καταρωμβίοις. τὰ δὲ φαντάσματα αὐτῆς δρακοντοκέφαλοι φαίνονται ἄνθρωποι, ἢ ὑπερμήκεις ἢ ὑπερμεγέθεις. ἔνιοι δὲ ἢ αὐτλῳ κιωοκέφαλον πλάττουσιν, ὥστε ὁπ μόνης τῆς θέας καταπλῆξαι καὶ δεισματῶσαι τοὺς ὁρῶντας. καὶ Ἑκάτης ἄγαλμα τὰς κύνας φασὶ, διὰ τὸ ἐκφέρεσθαι Ἑκάτῃ κυνας. τούτῳ δὲ ταῖς τελόδοις ἐτίμων τὸ παλαιὸν, διὰ τὸ τὴν αὐτὴν Σελήνην καὶ Ἀρτέμιδα ἢ Ἑκάτην καλεῖσθαι. κατὰ δὲ νουμηνίαν, οἱ πλήσιοι ἔπεμπον δεῖπνον ἑστίας, ὡς θυσίαν τῇ Ἑκάτῃ ὃν ταῖς τελόδοις· οἱ δὲ πένητες ἤρχοντο πτωχοῦντες, καὶ ἤθιον αὐτὰ, καὶ ἔλεγον ὅτι ἡ Ἑκάτη ἔφαγεν αὐτά. Ἀεισοφάνης δὲ Γλύτῳ. ἀπὸ ταύτης ἔστι μαθεῖν, ἔστε τὸ πλυτεῖν, ἔστε τὸ πτωχᾶν ὄντι βέλτιον. φησὶ γὰρ αὖτη, τοὺς μὲν ἔχοντας καὶ πλυτοῦντας δεῖπνον κατὰ μῆνα ἀποπέμπειν· τοὺς δὲ πένητας τῶν ἀνθρώπων αἰτάζειν, πεὶν καὶ καταθεῖναι· ἔθος γὰρ ἦν, ὡς ἔπον, ἄρτους καὶ ἄλλα τινὰ κατὰ μῆνα τιθέναι τῇ Ἑκάτῃ τοὺς πλουσίους, καὶ λαμβάνειν ἐξ αὐτῶν τοὺς πένητας. εἴρηται δὲ Ἑκάτη, οἱονεὶ ἑκάστη τις οὖσα· ἢ ἡ εἰς ἕκαστα παραλαμβανομένη, παντοχοῦ βοηθοῦσα· ἢ ὅτι ἑκάστου θεοῦ τιμῶν μετέχει. καὶ Ἑκάτης νῆσος. Λυκοῦργος καὶ Μενεσαίχμου· πρὸ τῆς Δήλου κεῖταί τι νησύδριον, ὅπερ ὑπό ἐνίων καλεῖται Ψαμμητύχη· ὡς Φανόδημος, Δηλιακῶν. Ψαμμητύχου δὲ κεκλῆσθαί φησιν ὁ Σημὸς, ὃν τῇ πρώτῃ, διὰ τὸ τοῖς Ψαμμήτοις τιμᾶσθαι τοὺς θεόν. Ψάμμης δέ ἐστι, ψαμμῶν τις ἰδέα.

ΠΕΡΙ ΤΩΝ ΕΚΑΤΟΓΧΕΙΡΩΝ.

Ἑκατόγχειρες, δύο τινὲς ἦσαν κατὰ τὸν μῦθον, Κόττος, καὶ Βριάρεως, ὁ δὲ Αἰγαίων, καὶ Γύγης· τελωνύμως γὰρ ἐλέγετο. ὅτοι ἔχοντες ἑκατὸν χεῖρας, μετὰ τῶν Θεῶν ἐπολέμησαν πρὸς τοὺς Γίγαντας. ἡ δὲ ἱστορία, λόφον τινὰ ὄιδεν Αἰγαίωνος πρὸς τοὺς Ἀσίαν· ἐξ οὗ πηγαί τινες ἑκατὸν ἀναπηδῶσαι, ἤτοι πολλαί· ἢ αὐτὸ τοῦτο ἑκατὸν δὲ τὰ ἐκεῖ πεδία λυπαίνουσαι, ὡς τοῦ ἑκατόγχειρος μυθολογίαν παρήγαγον· φησὶ γὰρ ἡ τοῦ Ἀρριανοῦ ἱστορία, ὅτι Βριάρεως, Γῆς καὶ Οὐρανοῦ παῖς, θαλαττοκρατήσας, ὁρμητηρίῳ ἐχρήσατο Εὐβοίᾳ τῇ νήσῳ, κἀκεῖθεν ὁρμώμενος, κατεστρέψατο τὰς Κυκλάδας· ὃς δὲ Αἰγαίων ὠνόμασται ὑπὸ τῶν ἀνθρώπων. ὅτω δὲ αἰτίαν παραχεῖν λέγεται τῷ Αἰγαίῳ πελάγει, εἰς ἐπωνυμίαν· σῆμα δὲ αὐτοῦ δείκνυται τὸν Ῥωδά-

δικὸν ποταμὸν, ὑ πόρρω θαλάσσης, λόφον τινὰ, ἐπικαλεῖσθαι Αἰγαίωνος· καὶ ἀπὸ τοῦ λόφου τούτου πίδακας ἐκβιδόναι ἑκατόν· καὶ ταύτας καλεῖσθαι παλάμας Βριάρεω. ἰστέον δ' ὅτι ὥσπερ ἑκατογκέφαλον τὸν Τυφῶνα ὁ μῦθος, οὕτω καὶ Αἰγαίωνα ἑκατόγχειρον ἔπλασε. καὶ ἔστι καθ' ἱστορίαν ἐκεῖνο μὲν πειρατικῆς ἀρχικῆς σύμβολον, καὶ τοῦ πολλὰ δοκεῖν τὸν τυφῶνα φρονεῖν. τοῦτο δὲ τοῦ πολλὰ πράττειν αἴνιγμά ἐστιν· ὅθεν καὶ ὁ πολυμήχανος Ἀρχιμήδης, μιᾷ περιβολῇ πολλὰ βέλη ἀφιείς, Ἑκατόγχειρ παρὰ τῶν βαλλομένων ἐκλήθη.

ΠΕΡΙ ΕΛΑΡΗΣ.

Ἔλαρη, ἡ μήτηρ τοῦ Τιτυοῦ· ὃν πεσοῦσα ἐκ Διὸς, καὶ ἀδυνατοῦσα γενέσθαι διὰ τὸ μέγεθος τοῦ παιδὸς, ἀπώλετο. Φερεκύδης δέ φησιν, ὅτι Ἐλάρῃ τῇ Ὀρχομενοῦ μιγεὶς ὁ Ζεὺς, ὤθησεν αὐτὴν κατὰ γῆς ἤδη κύουσαν, δεδιὼς Ἥρας τὴν ζηλοτυπίαν· καὶ ἀνεδόθη τῆς Γῆς Τιτυὸς, διὸ καὶ γηγενὴς καλεῖται. ἄλλοι δὲ μυθεύονται Τιτυὸν, μετὰ πλευτὴν τῆς αὐτοῦ μητρὸς, παρὰ τῆς Γῆς ἀναπετράσθαι· καθὰ καὶ Ὅμηρος ἱστορεῖ,

Καὶ Τιτυὸν εἶδον, Γαίης ἐρικυδέος υἱόν.

δοκεῖ δὲ ἡ ἱστορία ἀπίθανος εἶναι, καὶ ἄπιστος, ὅτι οὐ δυτέρᾳ ἡ Γῆ ἐγέννησε τὸν Τιτυόν. ἀλλ' ἐρῶμεν, ὅτι οἱ ποιηταὶ τὰς περατώδεις καὶ τὸ σῶμα, Γῆς εἶναί φασιν· οὕτω γὰρ καὶ Καλλίμαχος τὰ δεινὰ τῶν θηρίων, Γῆς εἶναι ἔφη. ὅτι δὲ μέγας ὁ Τιτυὸς, καὶ Ὅμηρός φησιν,

—— Ὁ δ' ἐπ' ἐννέα κεῖτο πέλεθρα.

φαυλὸν ἦν, ὅτι, ὅτε πρῶτος Ἐλάρης ἐπέχθη, ἐδόκει οὕτως εἶναι, διὰ τὸ βραχὺ τοῦ σώματος· ὡς δὲ αὐξηθεὶς περατώδης ἐγένετο, εἶπον καὶ πεχθῆναι αὐτὸν καὶ πετράσθαι πρὸς τῆς Γῆς.

ΠΕΡΙ ΕΛΕΓΕΙΑΔΟΣ, ΤΗΣ ΚΑΙ ΠΕΙΡΟΥΣ.

Ἐλεγειὰς, ἡ θυγάτηρ Νηλέως, τοῦ ἡγησαμένου εἰς Ἰκαρίαν τῆς Ἰώνων ἀποικίας, ἧς τὸ κύριον ὄνομα Περσὶ φασιν εἶναι. εἴρηται δὲ παρὰ τὸ ἐλεγαίνειν, τὸ ἀκολασταίνειν· διὸ ὑβρεῖς αὐτῷ Ἀθηναίων ἠβουλήθη γῆμαι.

ΠΕΡΙ ΕΙΔΟΘΕΑΣ.

Εἰδοθέα, ᾗ δὲ Ἰωνικῶς ὠνόμασται Εἰδοθέη καλουμένη, θυγάτηρ Πρωτέως ἦν.

ΔΙΑ' ΤΙ' ΈΛΛΩΤΙ'Σ Η' 'ΑΘΗΝΑ' ΈΙΡΗΤΑΙ.

Ἑλλωτὶς Ἀθηνᾶ, ὅτω καλεμβύη, ἐτιμᾶτο ὑπ Κορίνθῳ· καὶ ἑορτὴ Ἑλλωτία. ἐῤῥηται ὃ Ἑλλωτὶς ὑ θεὸς, ὅτι Βελλεροφόντης τὸν Πήγασον ἵππον ἑλὼν, καθ' ὑποθήκλω ἐς συμμαχίαν τῆς Ἀθηνᾶς, ἐχαλίνωσε, καὶ ἀπὸ τᾶ ἑλεῖν τὸν ἵππον, Ἑλλωτίαν προσηγόρευσεν αὐτήν.

ΠΕΡΙ' ΈΛΛΗΣ ΚΑΙ' ΦΡΥ'ΞΟΥ.

Ἀθάμας ὑιὸς Ἀιόλυ, ἀδελφὸς Κρηθέως, ποιεῖ ὑπ Νεφέλης δύο παῖδας Φρῦξον ἐς Ἔλλω. πελυτησάσης ὃ αὐτῆς, γαμεῖ δευτέραν γυναῖκα τὴν Ἰνώ. ἄυτη ὃ, ὡς μητρυιὰ, ἐπεβύλευε τοῖς παισὶ, τοῖς ὑπ τῆς προτέρας γυναικός· καὶ φρύττυσα τὰ σπέρματα, παρεῖχε τοῖς γεωργοῖς πρὸς σπόρον· οἱ δὲ, ἔσπειρον μὴ ὑπ τῇ γῇ. ἡ ὃ γῆ λαβᾶσα, ὐκ ἔφερε τὺς καρπὺς τὺς ἐτησίυς, διὰ τὸ πεφρύχθαι τὸν σπόρον. Ἀθάμας ὖν, ὡς βασιλεὺς, σωναγαγὼν τὺς μάντεις, ἠρώτα αὐτὺς, μαθεῖν βυλόμενος τλὼ αἰτίαν τῆς ἀφορίας. ἡ δὲ Ἰνὼ πέμπει πρὸς αὐτὺς, δῶρα ἐπαγγελλομένη δώσειν, εἰ φήσειαν πρὸς Ἀθάμαντα, ὡς εἰ μὴ ἀναιρεθείη τὰ τέκνα, τὰ ὑπ τῆς προτέρας γυναικὸς αὐτῷ γεγονότα, Φρύξος καὶ Ἔλλη, ὐκ ἂν ἐκφύσειεν ἡ γῆ τὺς καρπύς. πειθέντες δὲ οἱ μάντεις λέγυσι ταῦτα ὑποσρέψαντες τῷ Ἀθάμαντι. μελλόντων δὲ παίδων τῆς Νεφέλης, Ἔλλης ἐς Φρύξυ, φονέυεσθαι, κριὸς ἀπήγγειλεν αὐτοῖς τὸν ἐπερτηρθμὸν κίνδυνον· ἔνθα ἐπὶ τᾧ νώτῳ λαβὼν, ἔσησιν εἰς θάλασσαν· καὶ νηχόμυος ἔφερεν αὐτύς. ἐλθὼν δὲ εἰς τὸ Τρωϊκὸν πέλαγος, ἀποβάλλει τὴν Ἔλλω· (ὅθεν καὶ ἀπ' αὐτῆς Ἑλλήσποντος ὠνομάσθη·) τὸν δὲ Φρῦξον ἐπὶ τλὼ Σκυθίῳ διακομίζει. ἔνθα αὐτὸς σφάζει μὴ τὸν κριὸν, ἐς θύει Φυξίῳ Διΐ· ὅτι ἐξέφυγε τλὼ ἐπιβυλλὼ τῆς μητρυιᾶς. γαμεῖ δὲ Χαλκιόπλω τλὼ θυγατέρα Ἀιήτυ τᾶ Κόλχων βασιλέως· ἐς ποιεῖ ἐξ αὐτῆς παῖδας τέσσαρας, Ἄργον, Κλίσωρον, Μέλανα, ἐς Φρόντιν· καὶ ὕτως ἐκεῖ τελυτᾷ. ἀλλὰ ταῦτα μὴ ὄξι δύσπισα ἐς μυθώδη, τὸ ὡς πλοῖον τὸν κριὸν διανήχεσθαι, καὶ ταῦτα βασάζοντα δύο ἀνθρώπυς. καὶ πᾶ τὰ σιτία, καὶ ποτὰ, καὶ αὐτᾶ καὶ ἐκείνων; ὑ γὰ δή πυ ἄσιτοι τοσᾶτον χρόνον διέμειναν. εἶτα Φρύξος τὸν τλὼ σωτηρίαν αὐτῷ φράσαντα κριὸν, ἐς διασώσαντα σφάξας, καὶ τὸ δέρμα ἀποδείρας, ἔδωκεν ἔδνον Ἀιήτῃ. ὁ δὲ, ἔδωκε τῇ ἑαυτᾶ θυγατρί· ὁ γὰ Ἀιήτης τᾧ Κόλχων, ὡς ἔῤῥη-

ρη-

ρηται, τότε ἐβασίλευεν. ὅρα δὲ, τότε πῶς καὶ τὰ δέρματα σπάνια ἦν, ὡς τὸν βασιλέα ἔδνου ἰδίας θυγατρὸς τὸ κώδιον λαβεῖν· ὥτω τῦ μηδενὸς ἀξίαν τὴν ἑαυτῦ θυγατέρα ἐνόμιζε. ἤδη δέ τινες, ἵνα τὸν γέλων ἐκφύγωσι, χρυσῦν φασιν εἶναι τὸ δέρμα τυτί. εἰ χρυσῦν τὸ δέρμα ἦν, ὐκ ἐχρῆν τὸν βασιλέα λαβεῖν παρὰ ἀνδρὸς ξένυ. ἀλλ' ὐδ' ὁ Φρύξος ὥτως ἀχάρις ἦν, ὥστε τὸν εὐεργέτην ἀνελεῖν. εἶτ' εἰ σμαράγδιον ἦν τὸ κώδιον, ἐπέπλυτεν ἡ Ἀργὼ δέ αὐτό. καί γε λέγεται, ὅτι Ἰάσων ἐπὶ τὸ κώδιον τῦτο τὴν Ἀργὼ ἔστειλε, καὶ τὰς τῶν Ἑλλήνων ἀρίστας αὐτὸ κομισομένυς. ἀλλὰ περιττὸν τὸ τὰ γελοῖα ἀνασκευάζειν· καὶ γε γελοιωδέστερόν πως φαίνεται. ἡ δὲ ἀληθεστέρα ἱστορία ὥτως ἔχει· Ἄθαμας ὁ Στόλυ, τῦ Ἕλληνος, ἐβασίλευε τῆς Φρυγίας· ἦν δὲ αὐτῷ ἀνὴρ ἐπίτροπος τῶν χρημάτων, ὃν μάλιστα πιστὸν ἡγεῖτο, ὀνόματι Κριός· ὃς ἀπιθόμενος τὸν Ἀθάμαντα ἀποκτεῖναι ἐθέλοντα τὸν Φρύξου, δηλοῖ τῦτο τῷ Φρύξῳ. ὁ δὲ Φρίξος κατασκευάσε ναῦν, καὶ ἐνέθετο ἐν αὐτῇ χρήματα πάμπολλα, ἐν ᾗ νηὶ καὶ ἡ μήτηρ Πέλοπος· (ὄνομα δὲ αὐτῇ, Ἠώς.) καὶ αὐτη ἐκ τῶν αὐτῆς χρημάτων εἰκόνα ποιησαμένη χρυσῆν, ἐνέθετο. σωὶ τοῖς χρήμασι γῦν καὶ Φρύξου, καὶ Ἕλλυ ὁ Κειὸς ἐν ταύτῃ ἐνθεὶς, ᾤχετο ἀπιών· ἡ μὲν δὴ Ἕλλη κατὰ τὸν πλῦν ἀσθενήσασα, ἀπέθανεν· ἀφ' ἧς καὶ Ἑλλήσποντος ἐκλήθη. αὐτοὶ δὲ ἀφικόμενοι εἰς τὸν Φάρον, κατοικῦσιν αὐτῦ. καὶ γαμεῖ Φρύξος τὴν τῦ τῶν Κόλχων βασιλέως θυγατέρα Ἀιήτυ, δὺς ἔδνα τύτῳ, τιμὴ χρυσῆν εἰκόνα τῆς Ἠῦς, ἀλλ' ὐχὶ δέρμα Κριῦ.

ΠΕΡΙ ΤΗΣ ΕΜΠΟΥΣΗΣ.

Ἔμπουσα, φάντασμα δαιμονιῶδες, ὑπὸ Ἑκάτης ἐπιπεμπόμενον, καὶ φαινόμενον τοῖς δυστυχῦσιν· ὃ δοκεῖ πολλὰς μορφὰς ἀλλάσσειν. καί φασιν αὐτὴν μονόποδα εἶναι· καὶ ἐτυμολογῦσιν οἱονεὶ ἑνίποδα, διὰ τὸ ἑνὶ ποδὶ κεχρῆσθαι· οἱ δὲ, ὅτι ἀλλάττετο τὴν μορφήν. δοκεῖ καὶ ταῖς μεσημβρίαις φαντάζεσθαι, ὅταν τοῖς κατοιχομένοις ἐναγίζωσιν. ἔνιοι δὲ, αὐτὴν τῇ Ἑκάτῃ, ὡς Ἀριστοφάνης ἐν Ταγηνισταῖς· χθονίας Ἑκάτης πείρα σοφῶν ἐξελιζομένη. εἶτα ἐπιφέρει· τί καλεῖς τῶ Ἔμπυσαν, ὃ σκέλος χαλκῦν ἔχει. ἔνιοι δὲ ὅτι σκέλος λέγυσι· διὸ καί τισι καλεῖται ὀνόκωλον. τὸ δὲ ὅλον, φησὶ Κράτης, ἔοικέ τι εἶναι φάντασμα παντοδαπὸν γινόμενον. λέγεται δὲ ὅτι ἡ ἴασπις ἀλεξίκακός ἐστι καὶ ἀποτροπιαστικὴ φασμάτων, ὧν ἔν ἐστι καὶ ἡ Ἔμπυσα.

ΠΕΡΙ ΕΝΔΥΜΙΩΝΟΣ.

Ἐνδυμίωνα Ἡσίοδος μὲν Αἰθλίῳ τοῦ Διὸς καὶ Καλύκης παῖδα λέγει, τοῦτον δὲ Διὸς αἰτήσαντα δῶρον αὐτὸν, ταμίαν εἶναι θανάτου, ὅτε μέλλοι ἀποθνήσκειν. τοῦτον δὲ τινὲς τῆς Σελήνης ἐρασθῆναι μυθεύονται· Σαπφὼ γοῦν καὶ Νίκανδρος ἱστορεῖ τὸν τῆς Σελήνης ἔρωτος ὑπ' ἀδύτου Εὐρώτης. λέγεται καταβαίνειν εἰς τὸ Λάτμιον ἄντρον τῆς Σελήνης πρὸς Ἐνδυμίωνα. Ἐπιθυμοῦσα δὲ αὐτὸν μεθ' Θεοῖς διατελοῦντα ἐρασθῆναί φησι τῆς Ἥρας· διόπερ Διὸς χαλεπήναντος, αἰτήσασθαι διὰ παντὸς καθεύδειν. ὁ δὲ Θεόκριτος ὑπὸ παῖς Μεγάλας Ἠοίας, τὸν Ἐνδυμίωνα λέγει ἀνενεχθῆναι ὑπὸ Διὸς εἰς οὐρανόν· ἐρασθέντα δὲ Ἥρας, εἰδώλου μεταλογισθῆναι τὸν ἔρωτα νεφέλης, καὶ ἐκβληθέντα καταπεσεῖν εἰς Ἅιδου. ὁ δὲ Ἴβυκος ὑπ' ἔρωτος Ἠλίου φησὶ βασιλεῦσαι φησι. τινὲς δὲ διὰ πολλὴν δικαιοσύνην ἀποθεωθῆναί φασιν αὐτὸν, καὶ αἰτήσασθαι παρὰ Διὸς, ἀεὶ καθεύδειν. φασὶ δὲ αὐτὸν οἱ μὲν, Σπαρτιάτην, οἱ δὲ, Ἠλεῖον· ἔνιοι δὲ ἀναιροῦσι τὸν ἐπὶ τῷ Ἐνδυμίωνος ὕπνῳ μῦθον· φιλοκύνηγον γοῦν αὐτὸν γενόμενον, νύκτωρ πρὸς τὴν Σελήνην κυνηγεῖν· διὰ τὸ ἀγρεύειν τὰ θηρία καὶ τοῦτον τὸν καιρὸν ἐπὶ τὰς νομὰς, τὰς δὲ ἡμέρας ὑπὸ σπηλαίῳ αὐτὸν ἀναπαύεσθαι, ὥς τινα ὀιέσθαι πάντοτε αὐτὸν κοιμᾶσθαι. ἄλλοι δὲ ἀλληγορεῖσι τὸν μῦθον, λέγοντες, ὡς ἄρα Ἐνδυμίων πρῶτος ἐπεχείρησε τῇ Σελήνῃ τὰ μετέωρα φιλοσοφίᾳ· προσέχειν δὲ αὐτὴν τὰς ἀφορμὰς τῆς Σελήνης, ἔν τε φωτισμοῖς, καὶ κινήσεσι· διὸ καὶ νύκτωρ σχολάζοντα τούτοις, ὕπνῳ μὴ χρῆσθαι· κοιμᾶσθαι δὲ μεθ' ἡμέραν. τινὲς δὲ τὸ ὄντι φιλυπνόν τινα γενονέναι αὐτόν φασιν· ἀφ' οὗ καὶ παροιμία, Ἐνδυμίωνος ὕπνος, ἐπὶ τῶν πολὺ κοιμωμένων, ἢ ἀμελῶς τι πραττόντων, ὡς δοκεῖν κοιμᾶσθαι. καὶ Θεόκριτος μέμνηται·

Ζαλωτὸς μὲν ἐμὶν ὁ τὸν ἄτροπον ὕπνον ἰαύων
Ἐνδυμίων.

ΔΙΑ ΤΙ ΕΝΟΡΧΗΣ Ο ΔΙΟΝΥΣΟΣ.

Ἐνόρχης ὁ Διόνυσος· φασὶ γοῦν δύο ἀδελφὰς συμμιγέντας, Θυέστῃ καὶ Δαΐτᾳ, ἐξ οὗ πεσεῖν παῖδα Ἐνόρχην καλούμενον· ὃς ναὸν ἱδρυσάμενος Διονύσῳ, ἀπὸ τοῦ ἰδίου αὐτοῦ ὀνόματος τοῦτον ἐκάλεσεν. ἢ Ἐνόρχης λέγεται, ὅτι μετ' ὀρχήσεως αὐτοῦ τὰ μυστήρια ἐτελοῦντο· ἢ ὅτι οἱ ὄρχοις ἐφηγοῖς διῆγεν. οἱ δὲ αἰχρόν τινα ἰσοείκον φασί· Διόνυσον γοῦν λέγουσι ψηλαφᾶν

τὸν

τῳ μητέρα, μὴ τὸ κεφαλὴν ἀυτῷ. Πολύτυμνος δέ τις νεανίας, ἔφη δεῖξαι τῷ πρὸς ταύτῳ ὅδε, εἰ συγγένοιτο ἀυτῷ· ὁ δὲ ὑπέσχετο τοῦτο ποιῆσαι, εἰ πρῶτον ἀρήσει τῷ μητέρα· ἡ δὲ βουλὴ Πολυτύμνῳ καπελθὼν εἰς τὸν Ἅιδην, ὁκ τῆς Λέρνης πηγῆς ἀνάγει ἀυτήν· πελάτησαντος δὲ Πολυτύμνῳ, Διόνυσος θέλων πληρῶσαι τῷ ὑπόσχεσιν, σύκινα αἰδοῖα προσῆψεν ἑωυτῷ, ἡ ραλλὰς δερμαλίνας ἐλάφων· ὅθεν ἡ Ἐπόρχης, ὡς φασι, λέγεται.

ΠΕΡΙ ΈΝΥΟΥΣ.

Ἔνυω, δαιμόνιόν τι πολάττεται μάχιμον, ἀπὸ τοῦ ἔνω τὸ φονεύω, ὡς ὁ Ἡρακλέων φησί· ἢ ἡ ἐνοῦσα θυμὸν ἐς ἀλκὴν τοῖς μαχομένοις· ἢ, κατ' ἐυφημισμὸν, ἀπὸ τοῦ ἥκιστα ἐνιὴς ἡ ἐπιακὴς εἶναι. ἔτι δὲ ὁ Ἄρης τὴν ὀνομασίαν ἔσχεν ἀπὸ τοῦ αἴρειν ἐς ἀναιρεῖν· ἢ ἀπὸ τῆς ἀρᾶς, ἣν ὅσι βλάβη· ἢ πάλιν ἡ ἐναντίωσιν, ὡσανεὶ ἐκμελιτομένων αὐτὸν τῶν προσαγορεύοντων, ἀπὸ τοῦ ἄρσαι, ὅ ἐστιν ἁρμόσαι· ἡ γὰρ ἀραστικὴ δυνάμις, προσαρμόζει τὰ πράγματα, τοιαύτη τύχα τινὸς ἐγορμύσης ἡ τῆς Ἁρμονίας, ἣν ἐμύθευσαν ἐξ αὐτοῦ γενέσθαι. τὸν δὲ Ἐνυὼ, οἱ μὲν Τροφὸν, οἱ δὲ μητέρα, οἱ δὲ θυγατέρα αὐτοῦ παρέδωκαν.

ΠΕΡΙ ΈΠΕΙΟΥ.

Ἔπειός, ὁ Πανοπέως υἱός, τὸν δόρειον ἵππον κατεσκεύασε, δι' οὗ τὸ Ἴλιον ἐπορθήθη· φασὶ γὰρ ὡς γὰρ Ἀχαιοὶ ἐμβάντες εἰς αὐτὸν, ἐκάθηντο. ἑλκυσθέντος δὲ τοῦ ἵππου ἔνδον τῶν Τρώων ἔσω τοῦ τείχους, νυκτὸς ἐξελθόντες καὶ φρυκτὸν δείξαντες τοῖς λοιποῖς Ἕλλησιν ὃν ἐν Τενέδῳ, κἀκείνοις ἐλθοῦσι, κατεπόρθησαν τὸ Ἴλιον. ἄλλοι δέ φασιν ὅτως, ὅπερ καὶ ἀληθέστερον, ὅτι ὁ Ἐπειὸς ἵππον κατεσκεύασε ξύλινον, πρὸς μέγεθος μεπωρότερον τῶν πυλῶν, ὅπως μὴ ἑλκόμενος εἰσέλθῃ, ἀλλ' ὑπερέχῃ τῷ μεγέθει. οἱ δὲ λοχαγοὶ ἐκάθιζοντο ἐν κοίλῳ χωρίῳ πρὸ τῆς πόλιν, ὃ Ἀργείων λόχος ἐκαλεῖτο. αὐτόμολος δὲ ἐλθὼν ὁ Σίνων εἰς Ἴλιον, φράζει τοῖς Ἰλιεῦσιν εἰσαγαγεῖν τὸν ἵππον, πρόσθεν κρὰ τὸ μὴ εἰσελθεῖν τὰς Ἕλληνας· ὃ ἐποιησάντες, καὶ τὰς πύλας καθελόντες, τὸν ἵππον εἰσάγουσιν· αὐτῶν δὲ εὐωχουμένων, οἱ Ἕλληνες ἐπανέρχονται· καὶ ὅτως ἑάλω ἡ Τροία.

ΠΕΡΙ ΕΠΙΚΡΑΤΟΥΣ.

Ἐπικράτης· οὗτός ἐστιν ὁ τῶν Ἀθηναίων δημαγωγός, ὁ καὶ Εὔφορος ἐπικαλούμενος· οὗ μνημονεύει Δημοσθένης ἐν τῷ περὶ παραπρεσβείας. ἕτερος δέ ἐστιν Ἐπικράτης, οὗ μέμνηται Λυκοῦργος ἐν τῷ περὶ διοικήσεως, λέγων, ὡς χαλκοῦς ἐστάθη διὰ τὸν νόμον τὸν περὶ τῶν ἐφήβων· ὃν φασι κεκτῆσθαι τάλαντον ἑξακοσίων ὑσίαν. ἄλλος δέ ἐστι πάλιν Ἐπικράτης, ὁ τοῦ Αἰσχίνου τοῦ ῥήτορος κηδεστής, ὡς δηλοῦται παρ' αὐτοῦ ἐν τῇ περὶ τῆς παραπρεσβείας ἀπολογίᾳ. οὗτος μέντοι ἐπώνυμον ἦρχε Κυρηβίων, ὡς ὁ Δημοσθένης φησὶν ἐν τῷ κατ' Αἰσχίνου.

ΠΕΡΙ ΕΠΙΜΕΝΙΔΟΥ.

Ἐπιμενίδης Κρὴς Κνώσιος· τινὲς δέ τινας, Φαίστιος. ἡ δὲ Φαιστὸς λέγεται μὲν ὅτι παλαί ποτε ἠπειρώτις ἦν, διέχουσα θαλάσσης σταδίους εἴκοσι· Γόρτυνος δὲ, ἑξήκοντα. κατασκάφη δ' ἐστὶ Γορτυνίων· μεγάλη δὲ αὕτη ἡ τῶν Γορτυνίων πόλις, κατὰ τὸν Γεωγράφον εἰπόντα, πόλεις Κρήτης μέγισται, Γόρτυνα, Κυδωνία, καὶ Κνωσός. λέγει δ' ὁ αὐτὸς καὶ ὅτι Γορτύνη δευτερεῖ μετὰ Κνωσὸν κατὰ δύναμιν· καὶ ὅτι συμπράττεταί ποτε ἀλλήλαις, πάντας εἶχον ὑπηκόους τοὺς ἐκεῖ. ἐφ' οὗπερ οὖν ὁ Ἐπιμενίδης ἀνὴρ σοφός τε καὶ ἐποποιός· ὃς ποτε παρὰ τοῦ πατρὸς πεμφθεὶς εἰς τὸν ἀγρὸν ἐπὶ πρόβατον, καὶ τῆς ὁδοῦ ἁμαρτών, ὑπ' ἄντρῳ τινὶ καταπαυσθεὶς ἐκοιμήθη ἔτη ἑπτὰ πρὸς τοῖς πεντήκοντα· ὅθεν καὶ παροιμία ἐλέχθη, ὑπὲρ τὸν Ἐπιμενίδου κοιμᾶται. διανασὰς δὲ μετὰ ταῦτα, ἐζήτει τὸ πρόβατον· ὡς δὲ οὐχ εὕρισκε, παρεγένετο εἰς τὸν ἀγρόν. καὶ μετασκευασμένα πάντα οἴκων, καὶ παρ' ἄλλῳ τὸν ἀγρὸν, διαπορῶν ἦλθεν εἰς τὸ ἄστυ. καὶ μόλις τὸν ἑαυτοῦ νεώτερον ἀδελφὸν εὑρὼν, τότε ἤδη γέροντα, παρ' ἐκείνου τὸ πᾶν ἔμαθε. γνωσθεὶς δὲ παρὰ τοῖς Κρησὶ καὶ πᾶσι σχεδὸν τοῖς Ἕλλησι θεοφιλέστατος εἶναι ὑπελήφθη. ὅθεν καὶ Ἀθηναίοις τότε λοιμῷ καταχομένοις, ἔχρησεν ἡ Πυθία καθῆραι τὴν πόλιν. οἱ δ', πέμψαντες ναῦν καὶ Νικίαν τὸν Νικηράτου εἰς Κρήτην, μετεκαλέσαντο τὸν Ἐπιμενίδην. καὶ ὃς ἐλθὼν, καθάρας τε τὴν πόλιν, ἔπαυσε τὸν λοιμόν· καὶ τῶν σεμνῶν θεῶν ἱερὸν, καθάπερ καὶ ἐν Κρήτῃ, ἱδρύσατο. οἱ δὲ Ἀθηναῖοι δύγνωμοι ὄντες, τάλαντα ἐψηφίσαντο αὐτῷ δοῦναι, καὶ ναῦν εἰς Κρήτην ἀπάξασαν. ὁ δ', τὸ μὲν τάλαντον οὐκ ἐδέξατο· φιλίαν δ' καὶ συμμαχίαν Ἀθηναίων καὶ Κνωσίων

σίων ἐποιήσατο. ὃς ἐπανελθὼν μετ' ὀ πολὺ, τὸν βίον καπέστρεψεν, ἔτη βιὺς ρνζ'. οἱ δ' ὠδεὶ τ' ἔπη ζῆσαι αὐτὸν φασιν. συγγράμματα δ' αὐτῷ φέρεται τάδε· Κυρήτων καὶ Κορυβάντων γλύσις. Θεογονία εἰς ἔπη πεντακισχίλια. Ἄργως παυσηγία ὃς Ἰάσωνος ἀπόπλως εἰς Κόλχως ἔπη ἑξακισχίλια. ἐποίησε δὲ καὶ καθαρμὸς δι' ἐπῶν. καὶ τὸ κατ' ἐκλογάδων ὠδεὶ θυσιῶν συνέγραψε καὶ τῆς Κρητικῆς πολιτείας· ὃς περὶ Μίνω ὃς Ῥαδαμάνθυϑ, ἔπη τετρακισχίλια· καὶ ἄλλα τινά.

ΠΕΡΙ ΤΟΥ ΕΡΕΧΘΕΩΣ.

Ἔρεχθεὺς, υἱὸς Ἡφαίστου μυθεύεται, ὡς ἀφ' ὃ διαχίσαι αὐτὸν τὴν γῆν, καὶ γενηθῆναι ἀπὸ τοῦ σπέρματος Ἡφαίστου, ἡνίκα ἔκρυψεν αὐτὸν ἡ Ἀθηνᾶ ἐν τῇ γῇ· ἢ παρὰ τὸ ἐρέχθω, τὸ κινῶ. ἡ δὲ μυθοποιία ἔστιν αὕτη. ὁ Ζεὺς βουλόμενος ἀποκυῆσαι ἐκ τοῦ ἐγκεφάλου αὐτοῦ τὴν Ἀθηνᾶν, ἵνα κυηθείη λόγος προσφέρειν τῷ Ἡφαίστῳ περὶ τούτου. ὁ δὲ Ἥφαιστος οὐκ ἄλλως ἐθέλετο χίσαι τὴν κεφαλὴν τοῦ Διὸς, εἰ μὴ τὴν γυναικείαν ἀποπαρθενεύσειν· ὃς ἠνέσχετο ὁ Ζεύς. λαβὼν δὲ ὁ Ἥφαιστος τὸν βουπλῆγα, πέμνει τὴν κεφαλὴν τοῦ Διός· ὃς ἐξέρχεται ἡ Ἀθηνᾶ. αὐτὴν δὲ ἐπεδίωκεν ὁ Ἥφαιστος, ἵνα αὐτῇ συγγένηται. καὶ ἐπιδιώκων, ἀπεσπέρμανεν εἰς τὸν μηρὸν τῆς Ἀθηνᾶς. ἡ δὲ Ἀθηνᾶ λαβοῦσα ἔριον, ἐξέμαξε τὸ σπέρμα, καὶ ἔρριψεν ἐν τῇ γῇ. καὶ ἐκ τῆς γῆς ἐγένετο καὶ τοῦ ἐρίου ἄνθρωπος δρακοντόπους, ὃς καλεῖται Ἐρεχθεὺς ὃς Ἐριχθόνιος· ἀπὸ τοῦ ἐρίου ὃς τῆς χθονὸς τοὔνομα λαβών.

ΠΕΡΙ ΤΩΝ ΕΡΙΝΝΥΩΝ.

Ἐρινύες μυθικῶς δαίμονές εἰσι καταχθόνιοι, τιμωρητικαὶ, ὧν τὰ ὀνόματα, Μεγαῖρα, Τισιφόνη, καὶ Ἀληκτώ. φασὶν, κατὰ μὲν Ἡσίοδον ὃς τὰς λοιπὰς ποιητὰς, ἐκ τῶν σταγόνων τοῦ αἵματος τῶν αἰδοίων τοῦ Κρόνου ἐγένοντο. κατὰ δὲ Αἰσχύλον μόνον, Ἐρινύες, νυκτὸς αἰανῆς τέκνα, ταύτας φησὶ γενέσθαι. ἐρευνητῆρες τῶν ἁμαρτανόντων ὄσαι· ὥσπερεὶ μεγαίροντος τούτοις τοῦ θεοῦ, ὃς τιννυμένους, ἤγουν τιμωρουμένους τοὺς γινομένους ὑπ' αὐτῶν φόνους, ὃς ἀλήκτους καὶ ἀπαύστους τοῦτο ποιοῦντος. σεμναὶ δ' αὗται αἱ θεαὶ ὃς Εὐμενίδες λέγονται, κατὰ τὸ τὴν εἰς τοὺς ἀνθρώπους εὐμένειαν τῆς φύσεως διατάττεσθαι, ὃς τὸ τὴν ποινὴν κολάζεσθαι. φοβεραὶ δὲ τὰς ὄψεις ἔχουσαί εἰσι, καὶ πυρὶ καὶ μάστιξι τοὺς ἀσεβεῖς

διώ-

διώκεται, ἐξ ὄφεως πλοκάμους ἔχεται, τῷ τοιαύτην φαντασίαν τοῖς κακοῖς ποιεῖν, ὡς ἂν ἀποτίνωσι ποινὰς ἀντὶ τῶν πλημμεληθέντων. οἱ Ἅιδου οἰκεῖν λέγονται, διὰ τὸ οἱ ἀσαφῆ κεκλῆσθαι τὰς τούτων αἰτίας· καὶ ἀφορατον ὑφίσασθαι τιὼ φόβον αὐτῶν τοῖς ἀξίοις. ἄλλως· ἀληθοκλεῶς Ἐρινύες, αἱ τιμωρητικαὶ δυνάμεις. φασὶ τὸ ἐν τῇ ἔρα καὶ τῇ γῇ ναίειν· ἢ φασὶ τὸ τὰς ἀρὰς ἀκούειν. Τισιφόνη, φασὶ τὸ τιμωρεῖν τοὺς φονεῖς. Μεγαίρα, φασὶ τὸ μεγαίρειν καὶ τὸ φθονεῖν τοῖς κακοῖς. Ἀληκτὼ, φασὶ τὸ μὴ λήγειν τιμωρεῖν τοὺς τοιούτους. Κρόνου δὲ καὶ Νυκτὸς παῖδες, διὰ τὸ ἀφανῶς ἐξ ἀοράτως τὰς ἐνεργητικὰς ταύτας δυνάμεις ἐπέρχεσθαι, αἵτινες ἐν ταῖς τραγῳδίαις μετὰ λαμπάδων εἰσήγοντο. καὶ ἄλλως· αἱ Ἐρινύες καμπεσήγοροι λέγονται, ἀπὸ τοῦ κάμπτειν τὰ γόνατα τῶν ἁμαρτανόντων. λέγονται δὲ ἐξ στυγεραὶ, ἤγουν φρικταὶ, καὶ, ὡς εἰπεῖν, κρυεραὶ, καὶ ῥιγεδαναὶ, φασὶ τιὼ Σλύγα, τιὼ δὲ Ἅιδου πηγαίω· δαιμόνια γὰρ τιμωρητικὰ αἱ Ἐρινύες, μάλιστα μὲν ἐκδικῆσαι τὰ εἰς γονεῖς ἁμαρτήματα, δοκῆσαι δὲ καὶ τοῖς λοιποῖς ἐπεξιέναι ἀδικήμασιν, ὡς αἱ ποιηταὶ δηλοῦσιν. ἔτι δὲ πτερωταὶ πλάττονται, διὰ τὸ κατ' ἀλήθειαν πάνυ τάχυ τῆς θεόθεν δίκης ἄφυκτον. εἰσὶ δὲ ἀγελαῖόταται καὶ δημίαι, καὶ μίλαναι, διὰ τὸ ἀφανῶς ἐπιέναι τοῖς κακοῖς· ἐξ ταυύποδες, διὰ τὸ δῖον μακροσκελὲς, καὶ ἅπω πλατὺ τῆς διαβάσεως, καὶ ταχὺ, καὶ εὐκίνητον. τὸ δ' αὐτῶν ὄνομα, φασὶ τὸ ἐρι ἐπιτατικὸν, καὶ τὸ ἀκούειν, ὡς ἄγαν ἀκουστικαῖς, ἢ σκυδαίαις· ἀκούειν γὰρ ἐξ τὸ σκύδειν παρ' Ἀττικοῖς. ἢ ὡς ἀρὰς ἀίοντα, ἢ ὡς δῖον ἐλίσσειν ἀντιφραστικῶς, αἱ μάλιστα γοργαὶ, ἐξ ὅσαι ἄλλαι τούτων ἐτυμολογίαι, ζητητέον φασὶ τοῖς παλαιοῖς, οἷς δὲ ἀεὶ παρθένοι λογοποιοῦνται, διὰ τὸ μὴ λήπταὶ εἶναι σωσώποις, ἐξ ἀεὶ ὁρῶσαι πάντα τὰ ἐν βροτοῖς πάθη, καὶ, ὡς εἰπεῖν, ἄλαστοι· διὸ ἐξ μνήμονες αὐταί· ὅθεν ἐξ Ζεὺς ἀλάστωρ, ἐξ ὁ φθονερὸς δαίμων, ἀλάστωρ ἐπονομάζεται. αἱ δὲ αὐταὶ καὶ σεμναὶ· ἐξ δεναὶ, ἐξ ὀνοσπῶτες, καὶ ἔκφοβοι, ἔτι δὲ καὶ ποίνιμοι, διὰ τὸ κατ' αὐτὰς φοβερόν. λέγονται καὶ Εὐμενίδες κατ' ἀντίφρασιν, ἐξ χαλκόποδες, διὰ τὸ ἀκάματον, ἔτι δὲ καὶ βαρὺ τῆς ἐπεμβάσεως· ἐξ μετάδρομοι κακῶν ἔργων. ἔτι δὲ καὶ λωβητῆρες ὑπερφθόροι, ὡς μετὰ τὸ φραχθῆναί τι κακὸν, ἐπάγεσθαι λώβην αὐταί· καὶ ἄφυκτοι κύνες, διὰ τὸ δῖον ἰχνηλατεῖν, εἶτα καὶ δάκνειν τοὺς κακέργους. καὶ ἄῦπνοι δὲ, διὰ τὸ ἀφάλιον καὶ ἀνύσακτον ἐπὶ τοῖς ἁμαρτάνουσι, καὶ μάλιστα τοῖς φονεῦσι. διὸ καὶ μίαν τούτων Ἰσπόλιον ἐκάλεσαν, ἐπεὶ δίκας αὐτῇ τίνουσιν οἱ φονεῖς.

ΠΕ.

ΠΕΡΙ ΤΗΣ ΕΛΕΝΗΣ.

Ἑλένη, ἔργῳ μέν, Διὸς καὶ Λήδας τῆς Πλευρωνίας Θεστίου παῖδος, θυγάτηρ μυθεύεται γενέσθαι· λόγῳ δ', Τυνδάρεω τοῦ ἐν Λακεδαίμονι. ὁμοίως Κάστωρ καὶ Πολυδεύκης. ταύτην, ὥς φησι Δῆμις ὁ Σάμιος, πέντε ἔγημαν ἄνδρες. καὶ πρῶτος Θησεύς, ἑπτακαιδεκέτη ἁρπάσας, ἀφαιρεθεὶς αὐτὴν ὑπὸ Πολυδεύκους καὶ Κάστορος τῶν αὐτῆς ἀδελφῶν, ἐν Ἀφίδναις πολυχνίῳ τῆς Ἀττικῆς, καὶ γυνήσασαν Ἰφιγένειαν, καὶ θετὴν παῖδα τιθεῖ Κλυταιμνήστραν ποιεῖται. δεύτερος Ἑλένης νύμφιος, ὁ Μενέλαος, νομίμως ἐκ κλήρου ταύτην λαχών. τρίτος, Ἀλέξανδρος, ἁρπάσας αὐτήν. τέταρτος, μετὰ θάνατον Ἀλεξάνδρου, Δηίφοβος, ὁ αὐτοῦ ἀδελφός, ἀνελὼν τὸν πόλεμον, καὶ ταύτην ὡς ἀνελομένου λαβών, ἢ βίᾳ κατ' Εὐριπίδην. πέμπτος Ἀχιλλεύς, πρὸ Δηϊφόβου ὀνείρου ταύτην μιγείς, ὡς λήθουσι. Λυκόφρων δὲ καὶ αὐτὸς πεντάλεκτρον θυάδα, ἤτοι Βάκχον αὐτήν καλεῖ. ἔρηται δὲ Ἑλένη, διὰ τὸ πολλοὺς ἑλεῖν τῷ κάλλει.

ΠΕΡΙ ΤΟΥ ΕΡΜΟΥ.

Ὁ Ἑρμῆς Μαίας υἱὸς λέγεται, διά τε τὸ ἐν ζώοις θρεπτικὸν καὶ ἐπιμελές, οἱοῖά τις καὶ ἡ ἐν ἀνθρώποις Μαῖα· καὶ ἀλληγορικῶς δ', διὰ τὸ τοῦ Ἑρμοῦ λόγου ζητητικὸν καὶ ἐρευνητικόν. τοῦτον ἡγεμόνα προσδιδόασι τῶν Χαρίτων, ἐμφαίνοντες ὅτι ἀλόγως δεῖ χαρίζεσθαι, καὶ μὴ εἰκῇ, ἀλλὰ τοῖς ἀξίοις. ὁ γὰρ ἀχαριστηθεὶς, ὀκνηρότερον γίνεται πρὸς τὸν εὐεργέτην. συγχάνει δ' Ἑρμῆς ὁ λόγος, ὃν, ὥς φασιν, ἀπέστειλαν πρὸς ἡμᾶς οἱ θεοὶ, μόνον τὸν ἄνθρωπον ἀπὸ τῶν ἐπὶ γῆς ὄντων, λογικὸν ζῶον ποιήσαντες, ᾧ πρὸ πάντα ἐξοχώτατον εἶχον αὐτοί. ὠνόμασται δ', ἀπὸ τοῦ εἴρω τὸ ἀγγέλλω· ἐξ οὗ Ἐρέας ὄνομα, ὡς ὁ Αἰνείας, καὶ πλεοναστικῶς τοῦ Μ Ἑρμέας, ἐξ οὗ Ἑρμῆς· πλεοναζειν γάρ φασι πολλαχοῦ τὸ Μ, ὥσπερ καὶ ἐν τῷ μοχλὸς, ἀπὸ τοῦ ὀχλῶ· καὶ ἀπὸ τοῦ εἴρω ἔραξ, καὶ μέραξ· καὶ ἐκ τοῦ ἀχύρου ἀχυρμιά· καὶ ἐκ τοῦ πέκω πέκμαρ, τὸ πέλος· ὅτως Ἐρέας Ἑρμέας· ἐξ οὗ Ἑρμῆς καὶ Ἑρμείας, ἐπενθέσει τοῦ Ι. ἔχει δὲ ὁ Ἑρμῆς ἀπὸ κράσεως τὸ περισπᾶσθαι, ὡς δηλοῖ καὶ Ἡρωδιανός. οἱ δ' αὐτὸν ἑτυμολογοῦσιν ἀπὸ τοῦ ἐρεῖν καὶ μήσασθαι, ὅ ἐστι λέγειν· ἢ ἀπὸ τοῦ ἔρυμα ἡμῖν εἶναι, καὶ οἷον ὀχύρωμα. ἐνθένδε πρῶτον μὲν διάτορος κέκληται, ἤτοι ἀπὸ τοῦ διάτορος εἶναι καὶ τρανὸς, ἢ ἀπὸ

τῦ διαλέγειν τὰ νοήματα ἡμῶν εἰς τὰς τῶν πλησίον ψυχάς· καθὸ καὶ τὰς γλώσσας αὐτῷ καθιερῶσιν. εἶτα ἑρμῆνις ὀνομάζεται, ἀπὸ τῦ μεγαλωφελής τις εἶναι, καὶ καθ' ὑπερβολὴν ὀνεῖν τὰς χρωμένας αὐτῷ· ἐς σῶκος, ὡσανεὶ σωτὴρ τῶν ὄικων ὑπάρχων. ἢ, ὥς τινες, ἰσχυρός. ἐς τὸ ἀκάκητον λέγεται, τοιῦτό τινος σημεῖόν ἐσιν· ὁ γὰρ ὡρὸς τὸ κακῶν ἐς βλάπτειν, ἀλλὰ ὡρὸς τὸ σώζειν μᾶλλον γέγονεν ὁ λόγος. ὅθεν ἐς τιμὴ ὑγείαν αὐτῷ συνῴκισαν· ἀργεφόντης δ' ὅτιν, οἱονεὶ ἀργεφάντης· ἀπὸ τῦ ἀργῶς πάντα φαίνειν ἐς σαφηνίζειν· τὸ γὰρ λευκὸν, ἀργῦνον ἐκάλυν οἱ παλαιοί. ἢ ἀπὸ τῆς κατὰ τῦ ροιτῶ ταχύτητος· καὶ γὰρ τὸ ταχὺ, ἀργὸν λέγεται κατὰ ἀντίφρασιν. χρυσόῤῥαπις δὲ, ὅτι πολύτιμός ὅτι ἐς ὁ ὀξὺς αὐτῦ ῥαπισμός· πολλῦ γὰρ ἀξία ὅτιν ἡ δῶρημος νοθεσία, ἐς ἐπιροφὴ τῶν αὐτῇ ωροσεχόντων. ἀγγέλλεται δὲ ἐς κῆρυξ Θεῶν, ἐς διαγγέλλειν αὐτὸν ἔφασαν τὰ παρ' ἐκείνων τοῖς ἀνθρώποις. κῆρυξ μὲν, ἐπεὶ διὰ φωνῆς γεγωνυίας παιδεῦᾷ τὰ κατὰ τὸν λόγον σημαινόμενα ταῖς ἀκοαῖς· ἄγγελος δὲ, ἐπεὶ τὸ βέλημα τῶν Θεῶν γινώσκεται ἐκ τῶν ἐνδεδομένων ἡμῖν κατὰ τὸν λόγον ἐνεργειῶν. πέδιλα δ' φέρει ωτερωτὰ, καὶ δι' ἀέρος φέρεται, συμφώνως τῷ Ὁμήρῳ, καθάτερ εἴρηται τὰ ἔπη ωτερόεντα· ἐς γὰρ τὴν Ἶριν ωοδήνεμον διὰ τῦτο, καὶ ἀελλόωοδα καλῦσιν ἄγγελον, ἀπὸ τῦ ὀνόματος ωαρεισάγοντες. ψυχοωομωὸν δ' τὸν Ἑρμῆν ἐμυθύσαντο εἶναι, συμβάλλοντες, ὅωερ ἴδιον αὐτῦ ὅτι, τὸ ψυχαγωγεῖν. διὰ τῦτο ἐς ῥάβδον αὐτῷ ἐγχειρίζυσι,

---- τῇ τ' ἀνδρῶν ὄμματα θέλγει,

τὰ τῆς διανοίας δηλονότι,

---- τὺς δ' αὖτε καὶ ὑπνώοντας ἐγείρει.

καὶ ωαρορμᾶν γὰρ τὺς ωαρειμένους ῥᾳδίως, καὶ κατασέλλειν τὺς ωαρορμικότας δυνατός ὅτιν. ἐνταῦθεν ἤδη τὺς ὀνείρυς ἐωιωέμωειν ἔδοξε, ἐς μάντις εἶναι διὰ τῦ τοιῦτυ τρόωυ, τρέωων ὡς βέλεται τὰς φαντασίας· Θεῶν τ' ἄγγελοι, ὄνειροι. οἱ δ' ἀωοωληρῦντες ὧδε τιμὴ εἰρημένῳ ῥάβδον, τὸ τῦ κηρυκίυ σχῆμα δράκοντες, σύμβολόν ὅτι τῦ καὶ τὺς θνητοὺς ὑωὸ αὐτῦ κηλεῖσθαι δεύντος τὸ ἐν αὐτοῖς διαφορὰς, καὶ σιωδεόντος αὐτὰς ἄμματι δυσλύτῳ. διὰ τῦτο γὰρ ἐς εἰσηνοωοιὸν δοκεῖ τὸ κηρύκιον εἶναι. φέρυσι δ' ἄλλως οἱ μετιόντες τιμὴ εἰρήνην, καὶ θαλὺς ἀνὰ χεῖρας, ὡρὸς ὑωόμνησιν τῦ γεωργεῖσθαι θέλειν τιμὴ χώραν, καὶ φυτῷ τινα εἶναι τῶν ἡμέρων καὶ καρωοφόρων φυτῶν. ὁι δ' Μαῖας ἔφασαν γεγενῆσθαι Διὶ τὸν Ἑρμῆν, ἀωοδηλῦντες πάλιν διὰ τύτυ, θεωρίας ἐς ζητήσεως

εἶναι

εἶναι γλύπτικα τὸ ζῶον. καὶ γὰρ αἱ μαῖαι μαιεύονται τὰς γυναῖκας, ἐντεῦθεν ἔρριπται μαῖα, τῷ ὥσπερ ἐξερευνήσει προάγειν εἰς φῶς τὰ βρέφη. πλάττεται δ' καὶ ἄγκυρα, ὡς ἄρτος, ὡς τετράγωνος τῷ σχήματι ὁ Ἑρμῆς. τετράγωνος μὲν, τῷ τὸ ἑδραῖόν τε καὶ ἀσφαλὲς ἔχειν, ὥστε καὶ τὰς πτώσεις αὐτῶν βάσιν εἶναι. ἄγκυρα δ' καὶ ἄρτος, ἐπεὶ ὅτε ποδῶν ὅτε χειρῶν δεῖται πρὸς τὸ ἀνύειν τὸ προσκείμενον αὐτῷ. οἱ δ' ἀρχαῖοι τὰς μὲν πρεσβυτέρας ὡς γλυπτὰς τὸν Ἑρμῶν, ὀρθὰ ἑστῶσαν τὰ αἰδοῖα ἔχοντας· τὰς δ' νεωτέρας καὶ ἁγλυέας, ἀνεμβύους παιδιώτας, ὅτι ἐν τοῖς προβεβηκόσι ταῖς ἡλικίαις γόνιμος ὁ λόγος ὡς τελειός ἐστιν. ὃς δὴ ὡς τυχὼν τῷ ὄντι ἐστὶ, τυγχάνων ὢν ἂν προσθήκαι. ἐν δὲ τοῖς ἀώροις, ἄγονος καὶ ἀπελής. ἵδρυται δὲ καὶ ἐν ταῖς ὁδοῖς, καὶ ἑπόδιος λέγεται, ὡς ἡγεμόνι, ὡς αὐτῷ εἰς πᾶσαν πρᾶξιν ἡγεμόνι χρῆσθαι, ὡς αὐτοῦ ὄντος τοῦ ἐν ταῖς βουλαῖς εἰς τὸ δέεσθαι ἡμᾶς ἀνάγοντος. τάχα δὲ ὡς ἐπ' ἐρημίας, ἐπειδὴ κἀκεῖ τῆς σωφροσύνης αὐτοῦ καὶ τῆς θεραπείας δεῖ. διὰ δὲ τὸ κοινὸν αὐτὸν εἶναι ἔν τε ἀνθρώποις πᾶσι καὶ πᾶσι τοῖς θεοῖς, ὁπόταν τις εὑρὴ τι προάγων ἐν ὁδῷ, σύνηθες ἐπιφθέγγεσθαι κοινὸν εἶναι τῷ Ἑρμῇ. ὃς δὴ σωτὴρ ὢν ἐστὶ τῆς εὑρέσεως ἑνόδιος ὤν, ἐμφαίνοντες ὅτι κοινὸν ἄξιόν ἐστιν εἶναι ὡς τῶν εὑρημένων, ὅπεν θεν ὡς τῶν εὑρημάτων ἑρμαῖον λεγομένων. προστρόπαιοι δὲ τὰς λίθους τοῖς Ἑρμαῖς, ἕκαστος τῶν παιόντων ἕνα τινὰ αὐτοῖς προστιθεὶς, ἢ ὡς χρήσιμόν τι ὡς κοινωνικὸν τὸ παρ' αὐτοῦ ἕκαστος ποιῶν, διὰ τὸ καθαίρειν τὴν ὁδόν· εἴτε μαρτυροποιούμενος τὸν Ἑρμῆν· εἴτε ὡς ἐπιτημαινόμενος τὴν εἰς αὐτὸν τιμὴν, εἰ μηδὲν ἄλλο ἔχειν προσενεγκεῖν αὐτῷ· εἴτε ἐκδηλότερον τοῖς παισὶ τὸ ἀφίδρυμα ποιῶν· εἴτε πρὸς σύμβολον τοῦ ἐκ μικρῶν μερῶν συνεστάναι τὸν προφορικὸν λόγον. λέγεται δὲ ὡς Ἀγοραῖος πρῶτος, εἰκότως· ἐπίσκοπος γὰρ τῶν ἀγοραζόντων τι ἢ πιπρασκόντων, ὡς μὴ λόγῳ πάντα ποιεῖν δεόντως. ὅπεν θεν ὡς τὸ ἐμπορεῖν ἐπιτάττειν ἔδοξεν εἶναι, καὶ ἐμπολαῖος, καὶ κερδῶος ἐπωνομάσθη. τῆς δὲ λύρας ἁρετή ἐστιν, ὅταν τῆς συμφωνίας, ὡς ὁμονοίας, καθ' ἣν οἱ ζῶντες εὐδαιμονοῦσιν, ἁρμοστικὸν ἔχει τὸν διάθεσιν ἐπιβάλλον. παραστῆσαι δ' αὐτῷ τὸν διώκειν, ὡς τὸν τῶν ἀπεμφαινόντων θέλοντας, κλέπτην αὐτὸν παρέδωκαν, ὡς δολίῳ Ἑρμῇ ἱδρύσαντο. λανθάνει γὰρ ὑφαιρούμενος τὸν προδιδόμενον τοῖς ἀνθρώποις, ὡς κλέπτων ἔστ' ὅτε τῇ πιθανότητι τὴν ἀλήθειαν· ὅθεν τινὰς ὡς ἐπικλόποις λόγοις χρῆσθαι λέγεται. ὡς γὰρ τὸ σοφίζεσθαι τῶν εἰδότων λόγῳ χρῆσθαι ἴδιόν ἐστι. νό-

μιος δὲ λέγεται, τῷ ἐπανορθώσει νόμῳ εἰ) προστακτικὸς τῶν ὡς κοινωνίᾳ ποιητέων. διὰ γὰρ ὁμόνοιαν μετήχθη καὶ ἐπὶ τιμὴ τῶν λόγων ἐπιμέλειαν. σέβονται δὲ αὐτὸν καὶ ἐν ταῖς παλαίστραις μετὰ τοῦ Ἡρακλέους, ἐν τῇ ἰσχύει μετὰ λογισμοῦ χρῆσθαι δεόντος. τῶν γὰρ πεποιθότων μόνῃ τῇ τοῦ σώματος δυνάμει, τοῦ δὲ λόγου, ὃς δὴ τέχνας εἰς τὸν βίον ἤγαγεν, ἀμελούντων, πάνυ ἂν τις οἰκείως ἐπέποι,

Δαιμόνιε, φθίσει σε τὸ σὸν μένος.

ἄλλως· ὁ Ἑρμῆς λέγεται νόμιος δὲ αὐξητικὸς τῶν θρεμμάτων. ὃ δὴ καὶ ὁ Ἀπόλλων ἥλιος ἔχει καὶ αἱ ἀλληγορούμεναι Νύμφαι, αἳ γῆθεν ἀναδίδωσι τροφὰς τοῖς ζώοις, ὡς ἐπιστατοῦσαι κρήναις δὲ ἄλσεσι καὶ ἱεροῖς ποταμοῖς. ἡ δ' ἀλληγορία Ἑρμῆν, τὸν λόγον νοεῖ· δὲ ἐν τοῦ ἑρμηνεύειν αὐτὸν ἐτυμολογεῖ, ὡς ἑρμηνεύοντα τὰ τῆς ψυχῆς βουλεύματα, δὲ ἀγαγέλλοντα· ὅθεν καὶ διάκτορον αὐτὸν καλεῖ, οἷα τορῶς, ὅ ἐστι σαφῶς, αὐτὰ φράζοντα. τὸν δὲ αὐτὸν ἀργειφόντην ἐποιεῖ, ὡς ἀργὸν φόνον· εἰρηνικὸς γὰρ ὁ λόγος. ὁ δὲ μῦθος ἀργειφόντῃ τὸν φονέα τοῦ Ἄργου καλεῖ, ὃν φύσεως πέρας ἡ ἱστορία ἀφανίζουσιν, ὀφθαλμὸς αὐτῷ ἀνοίξασα διὰ παντὸς τοῦ σώματος, ὃς ἄλλοτε ἄλλως ἀνοίγων, καὶ τοῖς μὲν μύων, τοῖς δ' βλέπων, ἄϋπνος ἦν διὰ βίου. ἄλλοις μὲν τισὶν ἀναπέλλουσιν, ἐπανοίγων τοὺς μύοντας ὀφθαλμοὺς σωματαπέλλοντας, ὥσπερ καὶ αὐτός· ἑτέροις δὲ αὖ πάλιν τῶν ἀστέρων δυομένοις ἐγκαταμύων τοὺς βλέποντας ὀφθαλμούς· δὲ ὥσπερ συγκαταδύων τὸν ἐν αὐτοῖς ὀπτικὸν ἥλιον. ὃ δὲ Εὐριπίδης δηλοῖ, ἐν οἷς φησιν Ἄργου ὄμματα, τὰ μὲν σὺν ἄρθρων ἐπιτολαῖσι βλέποντα, τὰ δὲ κρύπτοντα δυνόντων μέτα. καὶ ὕτω μὲν ὁ μῦθος πολυωπὸν πλάττει τὸν Ἄργον. ἡ δὲ ἱστορία τὸν Ἄργον τοῦτον, ὃς καὶ πανόπτης ἐπεκαλεῖτο, πολυπράγμονα τὰ εἰς ὄψιν εἰ) βάλλεται· καὶ ὀργανώμενον πᾶσι παρεῖναι φράγμασι, καὶ ἀεί ποτε, δὲ ὡς οἷόν τε σωματικῶς πάντα ὁρᾶν, καὶ μηδὲν τῶν ὑπὸ τιμὴ ἀρχῆς αὐτοῦ διαλανθάνειν αὐτόν. ἴσως δ' καὶ ἀγχίνους ὁ ἄνθρωπος ἦν, δὲ τὰ μὲν ὁρῶν, τὰ δ' προορῶν· ὁποῖον ὁ Ποιητὴς λέγει τὸν βλέποντα τά τε ἔμπροσθεν, καὶ τὰ ὄπισθεν. τυχὸν δὲ καὶ ὀξὺς ἦν τιμὴ θέαν· ἀλλὰ καὶ ἐγρηγορὼς τὰ πολλὰ, καὶ ὀλίγῳ ὕπνῳ ἑαυτὸν ἐπιτρέπων. διὸ ὁ μῦθος πολλοὺς ὀφθαλμοὺς αὐτῷ ἐφιλοτιμήσατο. εἰκὸς δ' δὲ δύθυπνον εἰ) τὸν ἄνθρωπον· καὶ ἐδόκει καὶ κ' τοῦτο ἄϋπνος εἰ), ὡς δὲ ἐν τῷ ὕπνῳ ἐοικὼς καθορᾶν, διὰ τιμὴ ἀληθῆ τῶν φαντασιῶν ἐκβασιν. ὥσπερ δὲ τὸν Ἄργον ὁ μῦ-

μῦθος ἀινιγματωδῶς ἐσέμνυνεν, ὅτω δ' ἄλλον τινὰ πολλὰ φράττοντα ταῖς χερσὶ ἑκατόγχειρα ἔπλασε· καί τινι ἀκαμάτῳ ὄντι τῷ πορείαν, ἀπὸ χαλκοῦ τὸ σκέλος ἐσφυρηλάτησε· καὶ ἀκυτικὸν δέ τινα ὄντα, ὅτω φέρειν ὦτα εἶπε· πρακτολογῶν πολυτρόπως τὰς φιλοτιμίας τῆς φύσεως. ἄλλως· ῥάβδον χρυσείῳ δίδωσιν Ὅμηρος τῷ Ἑρμῇ, ᾗ τὴν μὲν ὄμματα θέλγει, τοὺς δὲ ὑπνώοντας ἐγείρει. δ' λέγει, ὡς ταύτῃ κινήσας ἦγε τὰς ψυχάς· ὡς εἰ καὶ ταύτῳ ἐνέργειαν τῆς ἑρμαϊκῆς ῥάβδου. γίνεται δὲ ῥάβδος, πρὸς τὸ ῥᾳδίως ποιεῖν βαδίζειν. ἡ τοίνυν τοῦ Ἑρμοῦ ἐπὶ τοῖς ἐγρηγορόσιν, ἢ καθεύδουσι, λαμβάνεται· ἡ δὲ τῆς Ἀθηνᾶς εἰς Ὀδυσσέα, ποτὲ μὲν νέον ποιεῖ, ποτὲ δὲ γέροντα· τῆς Κίρκης δὲ, καὶ τῶν πινόντων κυκεῶνα, ὅτω δὴ δ' τὸ τοῦ Ποσειδῶνος σκηπάνιον, ἤτοι σκῆπτρον. φασὶ δὲ ὅτι Ἑρμῆς πρῶτος Ἀπόλλωνι σκευωρίαν μουσικὴν ἐξ ὀστράκου χελώνης ἐμηχανήσατο, εἰς λύσιν μήνιδος τῆς ἐπὶ κλοπῇ τῶν ἑαυτοῦ. διὸ δ' χέλυς, ἡ αὐτὴ καὶ λύρα· τοῦτο μὲν ὡς οἷον λύτρα τις· ἐκεῖνο δὲ, ὡς ἀπὸ τῆς χελώνης· ἀφ' ἧς ἡ χέλυς. λέγεται δὲ τετρακέφαλος, ὥσπερ διδάσκων τὰς ὁδοὺς, καὶ ἔχων ὑπογραφὴν ποῖ μὲν αὐτὴ φέρει ἡ ὁδὸς, ποῖ δὲ αὖτη· ἴσως δὲ πρὸς ἑκάστην ὁδὸν κεφαλὴν εἶχεν. ἦν δὲ ὁ ἀναθεὶς τὸν τρικέφαλον Ἑρμῆν, Πατροκλείδης. καὶ Κυλλήνιος δὲ προσαγορεύεται· μυθικῶς μὲν ἀπὸ Κυλλήνης, ἥτις ὄρος ἔστιν Ἀρκαδίας ὀνομασθὲν ἀπὸ Κυλλήνης ἡρωΐδος τινός. περιάδεται δὲ διαφερόντως, ἐν τοῖς πρὸ τοῦτον ὄρος τιμᾶσθαι τὸν Ἑρμῆν, κἀκεῖθεν ἔχειν τὸ λεχθὲν ἐπίθετον. καὶ μύθοι ἀλληγορίαν, Κυλλήνιος τὸν ὑπνωδοτῆρα, ὃς τὰς πηγὰς τῶν κύλλων ἢ κυλλάδων ἔχων, ἃ δηλοῖ τὰ ὑπὸ τοὺς ὀφθαλμούς· ὅθεν δ' κυλλοποδίαν, τὸ τὰ κῶλα τῶν ὀφθαλμῶν οἰδεῖν, ἐκ μακροῦπνίας, τυχόν, ἢ ἀϋπνίας. λέγεται δὲ ὁ Ἑρμῆς πρῶτος, ὅια κῆρυξ καὶ διάκτορος, τὰς ὁδοὺς, εἶπε λίθους εὗρεν, ἐπετίθει ἔξω ὁδοῦ· ὅθεν τοὺς τοιοῦτόν τι ποιοῦντας, καὶ τὰς ὁδοὺς τῷ Ἑρμῇ, ὡς διακτόρῳ, ἐκκαθαίροντας εἰς τιμὴν Ἑρμοῦ, τοὺς τῶν τοιούτων λίθων σωροὺς Ἑρμέα, ἢ ἑρμαίους λόφους καλεῖν φασι. καὶ Ἑρμοῦ τὸ εἰς λόγον ἀλληγορούμενον σύμβολον εἶναι τὸ τοιοῦτον ἔργον. ὡς γὰρ σωρὸς λίθων ἐκ μικρῶν εἰς μέγαλον ὀγκοῦται κολωνὸν, ὅτω καὶ Ἑρμῆς ἀποτίθεται διεξοδικῶς, ἐκ βραχυτάτων στοιχείων τε δ' συλλαβῶν καὶ λέξεων σεσωρευμένος εἰς πολὺ κορυφοῦται. ἄλλοι δέ φασιν, Ἑρμῆ ἀνελόντι τὸν Ἄργον, ἐξ οὗ δ' Ἀργειφόντης ἐκλήθη, ἀνάγκῃ γενέσθαι δίκας τοῦ φόνου ἀποτίνυειν· ἐπεὶ δὲ Διὶ πειθεὶς ἐπλημμέλησε τὸ κακὸν, δ' ὤκνησεν αὐτὸν

τὸν τίσανδρ, προσέρριψαν τὰς ψήφους, ὁ καθ' ἕνα τῶν κρειττόνων ἡρέμα τῷ Ἑρμῇ βάλλοντες, οἷον ἐκεῖνον λίθοις· καὶ ὕστερον τὸν φόνον ποινὴν ἀφωσιώσαντο. οἱ δὲ τῶν ψήφων ἐκείνων λίθοι ἀναβάντες τῇ σωρείᾳ εἰς λόφον, εἰς τιμὴν ὕστερον ἔπεσον τῷ Ἑρμῇ. λέγεται δὲ καὶ κυβῶν εἶναι προστάτης ὁ Ἑρμῆς, ὥσπερ καὶ ὁ Πάν.

ΠΕΡΙ ΤΟΥ ΕΡΩΤΟΣ.

Ἔρως, κατὰ μὲν Ἀπολλώνιον, Ἀφροδίτης πλάττεται υἱός· κατὰ δὲ Σαπφὼ, Γῆς καὶ Οὐρανοῦ· κατὰ δὲ Σιμωνίδην, Ἀφροδίτης καὶ Ἄρεως· κατὰ δὲ Ὀρφέα, Κρόνου. Ἴβυκος δὲ καὶ Ἡσίοδος ἐκ Χάους λέγουσι τὸν Ἔρωτα γενέσθαι. οὐ καὶ τυφλὸν οἱ παλαιοὶ παραδιδόασιν, ὥσπερ καὶ τὸν Πλοῦτον. ὁ γὰρ ἐρῶν, τυφλός ἐστιν, ὅτε ἐρᾷ γυναικὸς δυσειδοῦς, ἥτις δοκεῖ αὐτῷ καλλίστη εἶναι, ὅπερ ἐστὶ τυφλότης· ὥστε ὁ Ἔρως τυφλὸς, ἦγουν τυφλοποιός· ποιεῖ γὰρ τοὺς ἐρῶντας τὰ μὴ καλὰ καλὰ ἡγεῖσθαι. ὁ δὲ Πλοῦτος τυφλὸς ἐστι· καὶ γὰρ τοὺς καλοὺς καὶ κοσμίους παρέρχεται, καὶ δίδωσιν ἑαυτὸν τοῖς κακίστοις, καὶ βδελυροῖς. ἔστι δὲ ὁ Ἔρως, θερμὸς καὶ δυσκάθεκτος πόθος, ὃς οὐδὲν φαύλως, εἰ τῇ Ἀφροδίτῃ τοιαύτῃ ὕσῃ σιωπιμᾶται, καὶ συμπαραγίνεται, τῶν πλείσων υἱὸν αὐτῆς παραδεδωκότων. πλάττεται δὲ παῖς ὁ Ἔρως, διὰ τὸ ἁπλῆ τινὶ γνώμῃ, καὶ εὐεξαπάτητον ἔχειν τοὺς ἐρῶντας. πτερωτὸς δὲ, ὅτι καὶ φόνος ποιεῖ, ἢ ὅτι ὡς ὄρνις προσίπταται ταῖς διανοίαις ἀθρόως. τοξότης δὲ, ἐπεὶ πληγῇ τινι ὁμοίαν ἀπὸ τῆς προσάξεως οἱ ἁλισκόμενοι αὐτῷ πάσχουσιν, ὅτε πλησιάσαντες ἀτιμώμενοι τῶν καλῶν, ἀλλὰ μακρόθεν αὐτοὺς ἰδόντες. ἀναδίδοται δὲ λαμπὰς αὐτῷ, πυρὸν δοκοῦντι ταῖς ψυχαῖς. καλεῖται δὲ Ἵμερος, ἤτοι διὰ τὸ ἵεσθαι καὶ φέρεσθαι ἐπὶ τὴν ἀπόλαυσιν τῶν ὡραίων ὠνομασμένος· ἢ κατὰ μίμησιν τῆς διὰ τοῦτο διάνοιαν ἐκτάσεως, ὡς ἀναμεμορεῖσθαι διὰ τοῦτο. πόθος δὲ, ἀπὸ τῆς τῶν φιλημάτων μιμήσεως· ὅθεν ἔχει τοῦτο κλῆσιν καὶ ὁ παππᾶς· ἢ ἀπὸ τοῦ πολλὰ πιωθάζεσθαι διὰ τὸ ἐρωτῶν τοὺς ἐρῶντας, καὶ αὐτῶν ἐκείνων, πόθεν ἔρχονται, καὶ πᾶ ἦσαν. ἔνιοι δὲ καὶ τὸν ὅλον κόσμον νομίζουσιν Ἔρωτα εἶναι), καλόν τε καὶ ἐπαφρόδιτον καὶ νεαρόν ὄντα, καὶ πρεσβύτατον ἅμα πάντων, καὶ πολλῷ κεχρημένον πυρὶ, καὶ ταχέαν, ὥσπερ ἀπὸ τῆς τοξείας, ἢ διὰ πτερῶν, τοῦ κίνησιν ποιοῦντος.

ΠΕ-

ΠΕΡΙ ΕΡΙΧΘΟΝΙΟΥ.

Εριχθόνιος Ἡφαίστου υἱὸς λέγεται ὁ Ἀθηνᾶς τῆς Βροντέου θυγατρὸς, τῆς καὶ Βελενίκης καλουμένης· πολλαὶ δὲ Ἀθῆναι, ὁ Ἀφροδίται, ὁ ἡ μία, ἥδε μυθική, ὡς ὁ τὰ λοιπὰ τῶν ὀνομάτων. ταύτῃ τοίνυν τῇ βασιλίδι Ἥφαιστος γάμῳ μιγεὶς, γεννᾷ τὸν Ἐριχθόνιον, ὃς ἐβασίλευεν Ἀττικῆς. ὡς δέ τισιν ἱστορεῖται, γηγενής· ὁκ ἐκ τῆς Γῆς δὲ, ὥς φασιν, ἀνεδόθη· ὅθεν τὰς Ἀθηναίους πάντας γηγενεῖς φάσκουσιν ἀπὸ τούτου. Ἀθηνᾶν δὲ λαβοῦσιν ἐλθοῦσαν παρὰ Ἥφαιστον ἔνεκεν ὅπλων κατασκευῆς, ἐραστὴς Ἥφαιστος ἐδόκει. καταλαβὼν δὲ, ὡς ἀντέπιπτεν αὐτῷ Ἀθηνᾶ, εἰς τὰς μηροὺς ἐπεσπέρμηνεν. ἡ δὲ μυσαχθεῖσα, εἰλίφ εἰς γῆν τὸν γόνον ἀπέρριψεν. ἀνεδόθη δὲ ὁ Ἐριχθόνιος, ὁ καὶ Ἐρεχθεὺς λεγόμενος, κληθεὶς ἀπὸ τοῦ εἰλίφ ὁ τῆς χθονός. ἄλλοι δὲ τοῦτο ψεύδεσθαί φασιν, ὅτε ὁ Ζεὺς τὴν Ἀθηνᾶν ἐκ τοῦ ἐγκεφάλου αὐτοῦ ἐνεργείᾳ τοῦ Ἡφαίστου ἀπεκύησε, καθὼς καὶ προείρηται.

ΠΕΡΙ ΤΩΝ ΕΣΠΕΡΙΔΩΝ.

Εσπερίδες, θυγατέρες λέγονται Φόρκυ ὁ Κητοῦς. ταύταις ἦν μῆλα χρυσᾶ ἐπὶ μηλέας, ἣν ἐφύλασσε δράκων· ἐφ᾽ ᾧ μῆλα ὁ Ἡρακλῆς ἐσυλήσατο. Ἑσπερίδες δ᾽ ἐπωνομάσθησαν, διὰ τὸ ἑσπέρας ἐπιφαίνεσθαι, ἢ ἀπὸ τοῦ ἐν τῇ Ἑσπερίᾳ κατοικεῖν. ἀπὸ τούτων δὲ ἡ νῆσος, ἣν κατῴκει Γηρυονεύς, Ἑσπερία ἐκλήθη, ἔχνα κύνα Ὄρθον, ἀδελφὸν Κερβέρου, ὃν Ἡρακλῆς ἀπέκτεινεν. οἱ δ᾽, Ἄτλαντος λέγουσιν εἶναι τὸν κύνα. ἡ δ᾽ ἀλληγορία τὰς Ἑσπερίδας, ἑσπερινὰς ὥρας λαμβάνει· μῆλα δὲ χρυσᾶ, τὰ ἄστρα. Ἡρακλέα δὲ, τὸν ἥλιον· παρερχομένου γὰρ τοῦ ἡλίου, τὰ ἄστρα ἐμφαίνονται, ὅ ἐστι τὸ τρυγᾶσθαι τὸν Ἡρακλέα τὰ μῆλα. ἡ δὲ ἱστορία ὧδε ἔχει, ἥπερ καὶ πλέον ἔχεται τῆς ἀληθείας· Ἑσπερίων ἦν ἀνὴρ Μιλήσιος, ὃς ᾤκει ἐν τῇ Καρίᾳ, καὶ εἶχε θυγατέρας δύο, αἳ ἐκαλοῦντο Ἑσπερίδες. τούτω δὲ ἦσαν οἷς καλαὶ ὁ ἐγκαρποι, οἷαι ὁ νῦν αἱ ἐν Μιλήτῳ. ἐπὶ τούτῳ δὴ ὀνομάζονται χρυσαῖ· κάλλιστον γὰρ ὁ χρυσός· ἦσαν δὲ ἐκεῖναι κάλλισται. μῆλα δὲ καλεῖται τὰ προβατα, ἅπερ ὁ Ἡρακλῆς ἰδὼν βοσκόμενα παρὰ τὴν θάλατταν, περιελάσας ἐνέθετο εἰς τὴν ναῦν, καὶ τὸν ποιμένα αὐτῶν ὀνόματι Δράκοντα, εἰσήγαγεν εἰς οἶκον, ἔτι ζῶντος τοῦ Ἑσπέρου, ἀλλὰ τῶν παίδων αὐτοῦ. ἔλεγον δὲ οἱ

ἄν-

ἄνθρωποι, ἐθεασάμεθα χρυσᾶ μῆλα, ἃ Ἡρακλῆς ἤγαγεν ἐξ Ἑσπερίδων, τὸν φύλακα ἀποκτείνας δράκοντα· ἔνθεν ὁ μῦθος προσανεπλάσθη.

ΠΕΡΙ ΕΤΗΝΟΥ.

Ἔυηνος, γαμβροκτόνος ἱστορεῖται, ὥσπερ ὁ Οἰνόμαος· εἰς ἁρματηλασίαν γὰρ τὰς μνηστῆρας τῆς θυγατρὸς προκαλούμενος, καὶ τῷ διεκφυγόντι αὐτὸν διώκοντα, εἰς ἀριστεῖον διδὰς αὐτὴν, ἐπὶ τοὺς λειπομένους, ὃ ἔστιν ἡττωμένους, καρατομῶν, ἐπὶ τὰς κεφαλὰς τῆς οἰκίας ἀπαιωρῶν εἰς ἐκφόβησιν, δεινὰ ἐποίει. ἐπεὶ δὲ ὁ Ἴδας ὑπερήλασεν αὐτὸν, ἁρπάσας τὴν Μάρπησσαν, καὶ ἐκεῖνος ἐπιδιώξας ἐκ καπέλαβε, καταφάττειν μὴν τοὺς ἵππους, ἑαυτὸν δὲ ῥίπτει εἰς τὸν πρὶν μὲν Λυκόρμαν ποταμὸν, ἀπ' ἐκείνου δὲ, Ἔυηνον. λέγεται δὲ ὁ Ἴδας εἶναι Λυγκέως ἀδελφὸς, καὶ ἄριστον γενονέναι τοξότην. ὅς γε ἐκ τῷ Ἀπόλλωνι κατ' μῦθον ἀντικατέστη, ἁρπάζοντι κατ' ἔρωτα τὴν Μάρπησσαν, ἣν ἐθέλησαν· ὡς δὲ ὁ Λυκόφρων ἱστορεῖ. καὶ φαίνεται μὲν ἀμυθήτου κάλλους ἄπιγμα εἶναι ὁ τοῦ Ἀπόλλωνος ἡλίου εἰς τὴν ἡρωΐδα ταύτην ἔρως, ὡς ἀξιοθέατον, καὶ οἷον ἡλιώδη τὸ εἶδος, ἐκ διὰ τοῦτο τῷ ἡλίῳ προσῆψαν. περιάδεται δὲ ὅμως, ἄλλως τὸ φίλανδρον τῆς Μαρπήσσας· ἦν ὁ μῦθος λέγει πολλά τε κλαῦσαι, ὅτε ὑπὸ Ἀπόλλωνος ἡρπάγη· καὶ ἄιρεσιν σχοῦσαν, προελέσθαι Ἀπόλλωνος τὸν αὐτῇ συγγηράσαντα θνητὸν Ἴδαν.

ΠΕΡΙ ΕΤΜΑΙΟΥ ΔΟΥΛΟΥ Ο'ΔΥΣΣΕΩΣ.

Ἔυμαιος, ὁ Ὀδυσσέως δοῦλος· ἀπὸ τῆς προὸς τὸν δεσπότην εὐμενείας· ὡς δὲ Φιλοίτιος, ἀπὸ τῆς προὸς αὐτὸν φιλίας. ὃς ἐς τοσοῦτον ἠξιώθη λόγου τοῖς παλαιοῖς, ὥστε δὲ μητέρα αὐτοῦ ἐξευρεῖσκουσι. Δημόκριτος μὲν, Γενίαν· Εὐφορίων δὲ, Πάνθειαν· Φιλόξενος δὲ, Δανάην.

ΠΕΡΙ ΕΤΡΥΒΑΤΟΥ.

Ἔυρυβάτης, πονηρὸς ἦν ἀνὴρ κατὰ τὴν παροιμίαν· ὃν οἱ πλείους Εὐρύβατον λέγουσιν· ἀφ' οὗ Εὐρυβατεύειν, τὸ πονηρεύεσθαι. Ἡρόδοτος δὲ ἱστορεῖ, στρατηγὸν Εὐρυβάτην Ἀργείων, πένταθλον ἐπασκήσαντα, καὶ μονομαχεῖν ἄριστον. ὁ δ' αὐτὸς δὲ Ταλθυβίου ἱερὸν ἱδρύσασθαί φησιν ἐν Σπάρτῃ, δὲ ὅτι ἀπόγονοι ἐκείνου Ταλθυβιάδαι καλοῦνται. Ταλθύβιος γὰρ καὶ Εὐρυβάτης κήρυκες εἰσὶ

πα-

παρὰ τῷ Ποιητῇ. οἱ δ' κήρυκες ἄσυλοι ἐς τὸ παντελὲς ἦσαν, ὅια θεῖον γένος νομιζόμενοι. ἐδόκων γὰρ καταγεσθαι ἀπὸ Κήρυκος υἱοῦ Ἑρμοῦ, ὃς ἐκ Πανδρόσου ἐγεννήθη αὐτῷ θυγατρὸς Κέκροπος. διὸ καὶ ἐν Ὀδυσσείᾳ στέλλων Ὀδυσσεὺς κατασκόπους εἰς ἀλλοδαπὰς χώρας, ἢ κήρυκα ἐδίδου ἕπεσθαι, διὰ τὸ ἄσυλον. καὶ ἦσαν μέσοι θείου γένους καὶ ἀνθρωπίνου· ἢ οὐκ ἦν θεμιτὸν κακοῦσθαι αὐτούς.

ΠΕΡΙ ΕΡΙΦΥΛΗΣ.

Ἐριφύλη θυγάτηρ ὑπῆρχε Ταλαοῦ ἀδελφοῦ Ἀδράστου· ἣν γήμας Ἀμφιάραος ὁ μάντις, υἱὸς Οἰκλέος, ἢ διενεχθεὶς ποτε πρὸς Ἄδραστον, εἶτα διαλυθεὶς, σωέθετο ὑπὲρ ὧν ἂν εἰς τὸ μέλλον διαφέρωνται αὐτοὶ, κρίνειν αἱρετῶς τῷ Ἐριφύλῃ αὐτοῖς· καὶ αὐτὸς συνθεῖναι τοῖς κειθεῖσι. τῆς δὲ ἐπὶ Θήβας στρατείας προκειμένης, Ἀμφιάραος μὲν, ἐκώλυεν, εἰδὼς τὸ ἐσόμενον· Ἄδραστος δ', ἤθελε μάχῃ. Ἐριφύλη δὲ δώροις προληφθεῖσα, (τὰ δὲ ἦν, ὅρμος χρύσεος δοθεὶς αὐτῇ παρὰ Πολυνείκους, ἢ Ἀδράστῃ) καὶ αἱρεθεῖσα εἰς κρίσιν, ἔκρινε δεῖν ἐπὶ στρατεύεσθαι τοὺς Ἀργείους. ἢ ὁ Ἀμφιάραος πολλὰ τῇ γυναικὶ μεμψάμενος, ἐξώρμησεν ὅμως καὶ αὐτὸς εἰς πόλεμον. τῷ δέ γε υἱῷ Ἀλκμαίωνι, ὃν Πίνδαρος Ἀλκμᾶνα καλεῖ, ἐπέταξεν ὁπότ' ἂν ἡβήσῃ, μὴ πρότερον μνᾶσθαι Ἐπιγόνων εἰς Θήβας ἐλθεῖν, πρινὴ κτεῖναι τὴν μητέρα· ὃ καὶ ποιήσας ὁ Ἀλκμαίων, ἐτιμωρήθη μὲν παρὰ Ἐρινύων, ὥσπερ καὶ Ὀρέστης· ἀπελύθη δὲ ἄυθις, ὅια τιμωρήσας πατρί. διὸ στυγερὰν τὴν Ἐριφύλην οἱ ποιηταὶ καλοῦσιν, ἣ χρυσὸν ἔλαβεν ἀντὶ τοῦ ἀνδρός, ὡς ὂν ἀπεμπολήσασα ἐκεῖνον ὅρμου χρυσοῦ.

ΠΕΡΙ ΕΥΡΥΠΥΛΟΥ.

Εὐρύπυλος, υἱὸς Τηλέφου ἢ Ἀστυόχης τῆς Πριάμου ἀδελφῆς· ὃν κάλλιστον ὁ Ποιητὴς ἱστορεῖ μετὰ τὸν Αἰθίοπα Μέμνονα, περὶ τὴν Τρωϊκῶν ἐπικούρων λαλιάν. οὗτος διὰ τὴν τῆς μητρὸς ὠροδοκίαν τοῖς Τρωσὶ συνεμάχησεν. ἡ δὲ ὑπόθεσίς ἐστιν αὕτη· Γανυμήδης υἱὸς ἦν Τρωὸς, ᾧ χρυσῆν τινα ἄμπελον Ζεὺς ἐχαρίσατο ἀντὶ Γανυμήδους. Πρίαμος δὲ ἐκ διαδοχῆς ἐλθοῦσαν εἰς αὐτὸν, ὑπέσχετο Ἀστυόχῃ, τῇ ἑαυτοῦ μὲν ἀδελφῇ, Εὐρυπύλου δὲ μητρὶ, εἰ πέμψει ἐπὶ συμμαχίᾳ τὸν υἱὸν, φάμενον, ἐπὶ τῇ μητρὶ καὶ τὴν εἰς πόλεμον ἐξέλευσιν αὐτοῦ.

ΠΕΡΙ ΕΥΡΥΤΟΥ.

Εὔρυτος, ὁ Οἰχαλίας τῆς ἐν Βοιωτίᾳ βασιλεὺς, προέθηκε τὸν τῆς θυγατρὸς Ἰόλης γάμον τῷ κρείττονι τοξικῷ αὐτὸν νικῆσαι δυναμένῳ· ἢ, ὥς τινες, τὰς παῖδας· ἔφη γὰρ Ἀπόλλωνος εἰλῆφεν τὸν τοξικόν. Ἡρακλέης δὲ διαγωνισαμένου, ἀγανακτήσας ὁ Εὔρυτος, ἐκ ἀπεδίδου τῷ κόρῳ. ὀργισθεὶς δὲ Ἡρακλῆς ἐπόρθησε τὸν Οἰχαλίαν. τῷ δὲ Ἰόλῃ αἰχμάλωτον ἤγαγεν· καὶ ἠδὲ τῆς ὀργῆς ἐπαύσατο, ἀλλὰ καὶ Ἶφιτον τὸν Εὐρύτου εἰς Τίρυνθα παραγενόμενον ἐπὶ ζήτησιν ἵππων, ξενίσας ἀπέκτεινε. φεύγων δὲ τὸ τοῦ φόνου μίασος, παρεγένετο πρὸς Νηλέα, καθάρσεως τευξόμενος. τοῦ δὲ παίδων αὐτοῦ μὴ βουλομένων ὑποδέξασθαι, ὁ Νηλεὺς ἐξέβαλεν αὐτόν. Ἡρακλῆς δὲ ἐκεῖθεν χωρισθεὶς, ἐπεξενώθη Δηϊφόβῳ τῷ τοῦ Ἀρκάδων βασιλεῖ, καὶ ὅτως ἐκαθάρθη τοῦ φόνου. καὶ ὕστερον ἐπιστραπέντας Νηλεῖ, οὐ μόνον τῷ Πύλον ἐπόρθησεν, ἀλλὰ καὶ Ἥραν Νηλεῖ συμμαχοῦσαν ἔβρωσεν· αὐτὸν δὲ Νηλέα τοῖς παισὶν ἅμα κτείνει, δίχα τοῦ νεωτέρου Νέστορος· οὗτος γὰρ ἐν Γερήνοις ἀνετρέφετο, διόπερ ἐσώθη. ὅθεν αὐτὸν Γερήνιον καὶ ὁ Ποιητὴς προσαγορεύει.

ΠΕΡΙ ΕΥΡΩΠΗΣ ΤΗΣ ΑΓΗΝΟΡΟΣ.

Εὐρώπη Ἀγήνορος ἦν θυγάτηρ τοῦ Φοίνικος. ἣν, φασὶν, ὁ Ζεὺς ἁρπάσας ταῦρος γεγονὼς, ἐπ' αὐτοῦ ὀχουμένην διὰ τῆς θαλάττης, ἐκ Τύρου εἰς Κρήτην ἤγαγεν. ἐξ ἧς ἔσχε παῖδας, Μίνω, Ἀιακὸν, Ῥαδάμανθυν, καὶ Σαρπηδόνα. Μίνω δὲ καὶ Ῥαδάμανθυς δικαιότατοι γεγονότες, ὁμοίως καὶ Ἀιακὸς, καὶ νόμους θέντες, κεῖται τοῦ ἐν Ἅδου ψυχῶν, παρὰ τοῦ ποιητῶν ἐπλάσθησαν. ἱστέον δὲ ὅτι ἄλλος ἐστὶν οὗτος ὁ Σαρπηδὼν, παρὰ τὸν Λύκιον. Σαρπηδὼν μὲν γὰρ οὗτος ὁ τῆς ῥηθείσης Εὐρώπης, ἀδελφὸς ὢν Μίνωος καὶ Ἀιακοῦ, καὶ τοῦ Ἀρριανόν· καὶ κατ' Εὐριπίδην ἐν Ῥήσῳ· ὁ δὲ ἐκ Λυκίας Σαρπηδὼν, ὁ Ὁμηρικὸς, ἐκ ἂν εἴη τούτῳ σύγχρονος. ἱστέον δὲ καὶ τοῦτο, ὅτι ἐκ ταύτης τῆς Εὐρώπης καὶ ἡ χώρα ἡ Εὐρώπη ἐκλήθη. ἡ δὲ ἀληθὴς ἱστορία περὶ τῆς Εὐρώπης, ἔχει ὅτως· Ταῦρος ὁ τῆς Κρήτης βασιλεὺς, ἐπολέμει τῇ Τυρρηνίᾳ χώρᾳ. ναυμαχίᾳ δὲ τοῦ Τύρου ἑλὼν, ἄλλας τε κόρας ἐλαβίσατο, καὶ δὴ καὶ τὴν τοῦ βασιλέως Ἀγήνορος θυγατέρα Εὐρώπην· τούτου τοίνυν συμβεβηκότος, μῦθος προσανεπλάσθη, ὅτι ταῦρος Εὐρώπην, τοῦ τοῦ βασιλέως, ἐπ' αὐτοῦ ὀχουμένην ἔχων ᾤχετο.

ΠΕ-

ΠΕΡΙ ΈΧΕΤΟΥ.

συμφόρησιν δὲ ὁπὸ τούτων κίνησιν ἐχόντων, οὐχ οἷόν τε γίνεσθαι. ἐπὶ μὲν οὖν τοῦ ἀπείρου, ὡς μὲν ἀνωτάτω ἢ κατωτάτω, οὐ δεῖ καταγορεύειν. τὸ ἄνω ἢ κάτω μέντοι τῷ ὑπὲρ κεφαλῆς. ὅθεν ἂν τὸ μὲν εἰς ἄπειρον ἄγειν ὂν, μηδέποτε φανεῖσθαι τοῦτο ἡμῖν, ἢ τὸ ὑπὸ κάτω τοῦ νοηθέντος εἰς ἄπειρον ἅμα ἄνω τε εἶναι καὶ κάτω. πρὸς τοῦτο γὰρ ἀδύνατον διανοηθῆναι. ὥστ' ἔστι μίαν λαβεῖν φορὰν τὴν ἄνω νοουμένην εἰς ἄπειρον, καὶ μίαν τὴν κάτω ἄν, καὶ μυριάκις πρὸς τοὺς πόδας τὸ ἐπάνω τὸ παρ' ἡμῖν φερόμενον τοὺς ὑπὲρ κεφαλῆς ἡμῖν τόπους ἀφικνῆται, ἢ ἐπὶ τὴν κεφαλὴν τὸ ὑπὸ κάτω τὸ παρ' ἡμῖν κάτω φερόμενον· ἡ γὰρ ὅλη φορὰ, οὐθὲν ἧττον ἑκατέρα ἀντικειμένη ἐπ' ἄπειρον νοεῖται. καὶ μὴν καὶ ἰσοταχεῖς ἀναγκαῖον τὰς ἀτόμους εἶναι, ὅταν διὰ τοῦ κενοῦ εἰσφέρωνται, μηδενὸς ἀντικόπτοντος· ὅπου γὰρ τὰ βαρέα θᾶττον οἰσθήσεται τῶν μικρῶν καὶ κούφων, ὅταν γε δὴ μηδὲν ἀπαντᾷν αὐτοῖς, ὅπου τὰ μικρὰ τῶν μεγάλων, πάντα πόρον σύμμετρον ἔχοντα, ὅταν μηθὲν μηδὲ ἐκείνοις ἀντικόπτῃ, ὅθ' ἡ ἄνω, ὅθ' ἡ εἰς τὸ πλάγιον διὰ τὰ κρύσεων φορά, ὅθ' ἡ κάτω τῶν ἰδίων βαρῶν. ἐφ' ὁτόσον γὰρ ἂν κατίσχῃ ἑκατέρων, ἐπὶ τοσοῦτον ἅμα νοήματι τὴν φορὰν σχήσειν, ἕως ἀντικόψῃ ἢ ἔξωθεν, ἢ ὑπὸ τοῦ ἰδίου βάρους, πρὸς τὴν τοῦ πλήθους δύναμιν. ἀλλὰ μηδὲ κατὰ τὰς συγκρίσεις, θάττονα ἑτέρας ἑτέρας ῥηθήσεται τῶν ἀτόμων, ἰσοταχῶς ὑπὸ τὸ ἐφ' ἕνα τόπον φέρεσθαι τὰς ὑπὸ τῶν ἀθροίσμασιν ἀτόμους, καὶ κατ' ἐλαχίστων συνεχῆ χρόνον, εἰ μὴ ἐφ' ἕνα κατὰ τὸν λόγον θεωρητὸν χρόνον, ἀλλὰ πυκνὸν ἀντικόπτωσιν ἕως ἂν ὑπὸ τὴν αἴσθησιν τὸ συνεχὲς τῆς φορᾶς γίνηται· τὸ γὰρ προσδοξαζόμενον ὡς τὸ ἀόρατον, ὡς ἄρα καὶ οἱ διὰ λόγου θεωρητοὶ χρόνοι τὸ συνεχὲς τῆς φορᾶς ἔχουσιν, οὐκ ἀληθές ἐστιν ἐπὶ τῶν τοιούτων. ἐπεὶ τό γε θεωρούμενον πᾶν, ἢ κατ' ἐπιβολὴν λαμβανόμενον τῇ διανοίᾳ, ἀληθές ἐστι. μετὰ δὲ ταῦτα δεῖ σωτηρίαν ἀναφέροντα ἐπὶ τὰς αἰσθήσεις καὶ τὰ πάθη· ἔτω γὰρ ἡ βεβαιοτάτη πίστις ἔσται, ὅτι ἡ ψυχὴ σῶμά ἐστι λεπτομερές, παρ' ὅλον τὸ ἄθροισμα παρεσπαρμένον. προσεμφερέστατον δὲ σπέρματι θερμῷ τινα κρᾶσιν ἔχοντι. καὶ πῇ μέν, τούτῳ προσεμφερές· πῇ δὲ, τούτῳ· ἔστι δὲ τὸ μέρος πολλῷ διαλλαγῇ ἐλάττους τῇ λεπτομερείᾳ καὶ αὐτῶν τούτων. σύμπαθες δὲ τούτῳ μᾶλλον καὶ τῷ λοιπῷ ἀθροίσματι. τοῦτο δὲ πᾶν αἱ δυνάμεις τῆς ψυχῆς δῆλον ποιοῦσι καὶ τὰ πάθη καὶ αἱ κινήσεις, καὶ αἱ διανοήσεις, καὶ ὧν στερόμενοι θνήσκομεν. καὶ μὴν καὶ ὅτι ἔχει ἡ ψυχὴ τῆς αἰσθήσεως τὴν πλείστην αἰτίαν, δεῖ κατέχειν. ὃ μὴν εἰλήφει ἂν τούτῳ,

εἰ μὴ ὑπὸ τοῦ λοιποῦ ἀθροίσματος ἐσεγκάζετό πως. τὸ δὲ λοιπὸν ἄθροισμα συμβασκάσθω τῷ αὐτίῳ τούτῳ, μεπίληφε καὶ αὐτὸ τοιοῦτο συμπτώματος παρ' ἐκείνης· ὁ μὴν πάντων ὧν ἐκείνη κέκτηται. διὸ ἀπαλλαγείσης τῆς ψυχῆς, ὅκ ἔχει τὴν αἴσθησιν· ὁ γὰρ αὐτὸ ἐν ἑαυτῷ τούτῳ ἐκέκτητο τὴν δυνάμιν, ἀλλ' ἑτέρῳ ἅμα συγγεγενημμένῳ αὐτῷ παρεσκεύαζε, διὰ τῆς σωπελεσθείσης περὶ αὐτὸ δυνάμεως, καὶ τῷ δύνησιν σύμπτωμα αἰσθητικὸν εὐθὺς ἀποτελεῖν ἑαυτῷ, ἀπεδίδου καὶ τῷ ὁμόρησιν καὶ συμπάθειαν, ὃ ἐκείνῳ καθάπερ εἶπον. διὸ δὴ καὶ ἐνυπάρχουσα ἡ ψυχὴ οὐδέποτε ἄλλου τινὸς μέρους ἀπηλλαγμένου ἀναισθησία· ἀλλὰ ἂν καὶ ταύτη ξωαπόληται, τοῦ σεγκάζοντος λυθέντος, εἴθ' ὅλου, εἴτε ὃ μέρους τινός, ἐάν περ διαμένῃ ὀξὺ τῷ αἴσθησιν, ἐκείνου ἀπηλλαγμένου ὅσον ποτὲ ὂν τὸ σωπεῖνον τῶν ἀτόμων πλῆθος εἰς τὸν τῆς ψυχῆς φύσιν. καὶ μὸν καὶ λυομένου τοῦ ὅλου ἀθροίσματος, ἡ ψυχὴ διασπείρεται· καὶ οὐκέτι ἔχει τὰς αὐτὰς δυνάμεις, οὐδὲ κινεῖται, ὥστ' οὐδ' αἰσθησιν κέκτηται. ὁ γὰρ οἷόν τε νοεῖν αὐτὸ αἰσθανόμενον, μὴ ἐν τούτῳ τῷ συστήματι ταῖς κινήσεσι ταύταις χρώμενον, ὅλαν σεγκάζονται ὃ περιέχοντα μὴ τοιαῦτα ἢ ἐν οἷς νῦν ὅσα ἔχει ταύτας τὰς κινήσεις. ἀλλὰ μὸν καὶ τόδε εἴρηκα ἐν ἄλλοις, καὶ ἐξ ἀτόμων αὐτὸν συγκεῖσθαι λειοτάτων καὶ σρογγυλωτάτων πολλῷ τινι διαφερόντων τοῦ τοῦ πυρός. καὶ τὸ μέντοι ἄλογον αὐτῆς ὁ τῷ λοιπῷ παρεσπαρεῖ σώματι. τὸ δ' λογικὸν ἐν τῷ σώματι, ὡς δῆλον ἔκ τε τῶ φόβων καὶ τῆς χαρᾶς, ὕπνου τε γενέσθαι τοῦ τῆς ψυχῆς μερῶν τοῦ παρ' ὅλου τινὸς σύγκρισιν παρεσπαρμένων ἐγκαπεχομένων, ἢ διαφορουμένων, εἶτα συμπιπτόντων τοῖς ἐσπαρμένοις. τό, τε σπέρμα ἀφ' ὅλων τῶν σωμάτων φέρεσθαί γε δεῖ πρὸς κατάκρισιν. λέγω δ' καὶ τινὶ πλείσιν ὁμιλίαν τοῦ ὀνόματος, ἐπὶ τοῦ καθ' ἑαυτὸν νοηθέντος ἄν. καθ' ἑαυτὸν δὲ ὅκ ἔστι νοῆσαι τὸ ἀσώματον, πλὴν τοῦ κενοῦ. τὸ δὲ κενὸν, οὔτε ποιῆσαι, οὔτε παθεῖν δύναται, ἀλλὰ κίνησιν μόνον δι' ἑαυτοῦ τοῖς σώμασι παρέχεται, ὥσθ' οἱ λέγοντες ἀσώματον εἶναι τὴν ψυχὴν, ματαιάζουσιν. οὐθὲν γὰρ ἂν ἐδύνατο ποιεῖν, οὔτε πάσχειν, εἰ μὴ τοιαύτη. νοῦν δ' ἐναργῶς ἀμφότερα ταῦτα διαλαμβάνειν περὶ τὴν ψυχὴν τὰ συμπτώματα. ταῦτα δὴ πάντα τὰ διαλογίσματα ἀνάγων τις ἐπὶ τὰ πάθη καὶ τὰς αἰσθήσεις, μνημονεύων τῶν ἐν ἀρχῇ ῥηθέντων, ἱκανῶς κατόψεται τοῖς τόποις ἐμπεριειλημμένα εἰς τὸ καὶ μέρος ἀπὸ τούτων ἐξακριβοῦν βεβαίως. ἀλλὰ μὴν καὶ τὰ σχήματα καὶ τὰ χρώματα καὶ τὰ μεγέθη καὶ τὰ

βα-

βαρέα, ἢ ἐ ὅτα ἄλλα καπηγορεῖται σώματος, ὡς ἂν εἰς αὐτὰ ξεβηκότα, ἢ πᾶσιν, ἢ τοῖς ὁρατοῖς, ἐ κ᾽ τῳ αἰσθησιν αὐτοῖς γνωστοῖς, ὅθ᾽ ὡς καθ᾽ ἑαυτὰς ἐστι φύσεις δοξαστέον· ὁ γὰ δυνατὸν ἐπινοῆσαι τοῦτο. ὅτε ὅλως ὡς ὐκ ἐστιν, ὡς ὅθ᾽ ἕτερα τὰ προσυπάρχοντα τούτῳ ἀσώματα. ὅθ᾽ ὡς μόρια τούτοις, ἀλλ᾽ ὡς τὸ ὅλον σῶμα, καθ᾽ ὅλα μὴ τούτων πάντων τῳ ἑαυτῦ φύσιν ἔχον αἰδιον, ὐχ οἷόν τ᾽ εἶ συμπεφορημένον. ὥσπερ ὅταν ἐξ αὐτῶν τῶ ὄγκων μεῖζον ἄθροισμα συστῇ, ἤτοι τῶ πρώτων, ἢ τ τῦ ὅλα μεγεθῶν, τῦ δέ τινῶ ἐλαττόνων. ἀλλὰ μόνον ὡς λέγω ἐκ τούτων ἁπάντων τῳ ἑαυτῦ φύσιν ἔχον αἰδιον, κ᾽ ἐπιβολὰς μὴ ἔχοντα ἰδίας πάντα ταῦτά ὅτι ἐ διαλήψεις· συμπαρακολουθοῦντος δὲ τῦ ἀθρόου ἐ ὑδαμῆ ἀποσχιζομένου, ἀλλὰ κ᾽ τῳ ἀθρόῳ ἔννοιαν τῦ σώματος καπηγορίαν εἰληφότος. ἐ μὴν κ᾽ τοῖς σώμασι συμπίπτει πολλάκις κ᾽ ὐκ αἰδιον παρακολουθεῖν, ὅτ᾽ ὂν τοῖς ἀοράτοις, ἐ ὅτε ἀσώματα. ὥστε δὴ κ᾽ πλείστων φορᾶν, τούτῳ τῷ ὀνόματι χρώμενοι, φανερὰ ποιοῦμεν τὰ συμπτώματα· ὅτε τῳ τῦ ὅλα φύσιν ἔχει, ὃ συλλαβόντες κ᾽ τὸ ἀθρόον, σῶμα προσαγορεύομεν, ὅτε τῳ τῶν αἰδίων παρακολουθούντων, ὧν ἄνευ, σῶμα ὐ δυνατὸν νοεῖσθαι. καὶ ἐπιβολὰς δ᾽ ἂν τινας παρακολουθοῦντος τῦ ἀθρόου ἕκαστα προσαγορεύθειη. ἀλλ᾽ ὅτε δή ποτε ἕκαστα συμβαίνοντα θεωρεῖται, ὐκ αἰδίων τῶν συμπτωμάτων παρακολουθούντων· κ᾽ ὐκ ἀξελατέον ὂν τῦ ὄντος τοιοῦτῳ τῳ ἐναργειαν, ὅτι ὐκ ἔχει τῳ τῦ ὅλα φύσιν ᾧ συμβαίνει, ὃ δὴ ἐ σῶμα προσαγορεύομεν, ὐδὲ τῳ τῶν αἰδίων παρακολουθούντων, ὐδ᾽ ὧν καθ᾽ αὐτὰ νομιστέον· ὐδὲ γὰ τοῦτο διανοητέον, ὅτ᾽ ἐπὶ τ αἰδίων συμβεβηκότων· ἀλλ᾽ ὅπερ ἐ φαίνεται, συμπτώματα πάντα τὰ σώματα νομιστέον, κ᾽ ὐκ αἰδιον παρακολουθοῦντα. ὐδ᾽ ὧν φύσεως καθ᾽ ἑαυτὰ τάγμα ἔχοντα· ἀλλ᾽ ὃν τρόπον αὐτὴ ἡ αἴσθησις τῳ ἰδιότητα ποιεῖ θεωρεῖται. ἐ μὴν ἐ τό γε δὴ προσκατανοῆσαι σφοδρῶς· τὸν γὰ δὴ χρόνον, ὁ ζητητέον ὥσπερ κ᾽ τὰ λοιπὰ ὅτα ὂν ὑποκειμένῳ ζητοῦμεν, ἀνάγοντες ἐπὶ τὰς βλεπομένας παρ᾽ ἡμῖν αὐτοῖς προλήψεις, ἀλλ᾽ αὐτὸ τὸ ἐνάργημα καθ᾽ ὃ λόν πολὺν, ἢ ὀλίγον χρόνον, ἀναφωνοῦμεν συγγενικῶς τοῦτο διαφέροντες, ἀναλογιστέον. ἐ ὅτε διαλέκτους ὡς βελτίους μεταληπτέον· ἀλλ᾽ αὐταῖς ταῖς ὑπαρχούσαις καὶ αὐτοῦ χρηστέον. ὅτε ἄλλο τι καθ᾽ ἑαυτοῦ καπηγορητέον, ὡς τῳ αὐτῳ ὅταν ἔχοντος τῷ ἰδιώματι τούτῳ· κ᾽ γὰ τοῦτο ποιοῦσί τινες· ἀλλὰ μόνον ὡς συμπλεκόμενον τὸ ἴδιον τούτῳ ἐ μεταμεθοῦμεν, μᾶλλα ἐπιλογιστέον· κ᾽

γὰ

γὰρ τοῦτο οὐκ ἀποδείξεως προσδεῖται, ἀλλ' ἐπιλογισμῷ· ὅτι ταῖς ἡμέραις καὶ ταῖς νυξὶ συμπλέκομεν· καὶ τοῖς τούτων μέρεσιν. ὡσαύτως δὲ καὶ τοῖς πάθεσι καὶ ταῖς ἀληθείαις, καὶ κινήσεσι, καὶ σάσεσιν, ἰδιόν τι σύμπτωμα φυλάττοντα πάλιν αὐτὸ τοῦτο ἐννοοῦντες καθ' χρόνον ὀνομάζομεν. ἐπί τε τοῖς προειρημένοις, τοὺς κόσμους δεῖ καὶ πᾶσαν σύγκρισιν πεπερασμένων, τὸ ὁμοιοδὲς τοῖς θεωρουμένοις πυκνῶς ἔχουσαν, νομίζειν γεγονέναι ἀπὸ τοῦ ἀπείρου πάντων τούτων ὠθισθεισῶν ἰδίων ἀποκεκριμένων, καὶ μειζόνων καὶ ἐλαττόνων, καὶ πάλιν διαλύεσθαι πάντα· τὰ μὲν, θᾶττον· τὰ δ', βραδύτερον. καὶ τὰ μὲν ὑπὸ τῶν τοιῶνδε· τὰ δὲ, ὑπὸ τῶνδε πάσχοντα. ἄδηλον δὲ ὡς καὶ ἄφθαρτοι οἱ κόσμοι μεταβαλλόντων τῶν ἡμερῶν, καὶ ἡ γῆ τῷ ἀέρι ἐποχεῖται. ἔτι δ' καὶ τοὺς κόσμους ὅπερ ἀναγκαῖον δεῖ νομίζειν ἕνα σχηματισμὸν ἔχειν· ἀλλὰ καὶ διαφόρους αὐτούς· ὃς μὲν, σφαιροειδεῖς, ὃς δὲ, ᾠοειδεῖς, καὶ ἀλλοιοσχήμονας ἄλλους· οὐ μήν τοι πᾶν σχῆμα ἔχειν· οὐδὲ ζῶα εἰ) ἀποκειθέντα ἀπὸ τοῦ ἀπείρου. οὐδὲ γὰρ ἂν ἀποδείξειεν οὐδείς, ὡς μὴ τῷ τοιούτῳ, καὶ οὐκ ἂν ἐμπεσελήφθη τὰ τοιαῦτα σπέρματα· ἐξ ὧν ζῶά τε καὶ φυτὰ, καὶ τὰ λοιπὰ πάντα θεωρούμενα συνίσταται. οὐ δὲ τῷ τοιούτῳ οὐκ ἂν ἐδυνήθη· ὡσαύτως δὲ καὶ ἐντραφῆναι, τὸν αὐτὸν δὲ τρόπον καὶ ἐπὶ γῆς νομιστέον. ἀλλὰ μὴν ὑπολητέον καὶ τὴν φύσιν πολλὰ καὶ παντοῖα ὑπὸ τῶν αὐτῶν τῶν πραγμάτων διδαχθῆναί τε καὶ ἀναγκασθῆναι· τὸν δὲ λογισμὸν τὰ ὑπὸ τούτης παρεγγυηθέντα, καὶ ὕστερον ἐπακριβῶν καὶ προσεξευρίσκειν· οὐ μὴν τισι θᾶττον· οὐ δέ τισι βραδύτερον. καὶ οὐ μέν τισι, πολλοῖς καὶ χρόνοις ἀπὸ τῶν ἀπὸ τοῦ ἀπείρου· οὐ δέ τισι κατ' ἐλάττους. ὅθεν καὶ τὰ ὀνόματα ἐξαρχῆς μὴ θέσει γένεσθαι, ἀλλ' αὐτὰς τὰς φύσεις τῶν ἀνθρώπων καθ' ἕκαστα ἔθνη ἴδια παρασχόντας πάθη καὶ ἴδια λαμβανούσας φαντάσματα, ἰδίως τὸν ἀέρα ἐκπέμπειν, στελλόμενον ὑφ' ἑκάστων τῶν παθῶν καὶ τῶν φαντασμάτων, ὡς ἂν ποτε καὶ ἡ ὑπὸ τοὺς τόπους τῶν ἐθνῶν διαφορὰ εἴη. ὕστερον δ' κοινῶς καθ' ἕκαστα ἔθνη τὰ ἴδια τεθῆναι, πρὸς τὸ τὰς δηλώσεις ἧττον ἀμφιβόλους γένεσθαι ἀλλήλαις καὶ σιωπωμένας δηλουμένας. τινὰ δὲ καὶ σωρούμενα πράγματα εἰσφέροντας τοὺς σωσιδότας παρεγγυῆσαί τινας φθόγγους τοὺς ἀναγκασθέντας ἀναφωνῆσαι· τοὺς δὲ, τῷ λογισμῷ ἑλομένους καὶ τῶν πλείστην αἰτίαν, ὅτως ἑρμηνεῦσαι. καὶ μὴν οὐ τοῖς μετεώροις, φορᾷ καὶ τροπῇ, καὶ ἕκλειψιν, καὶ ἀνατολῇ, καὶ δύσιν, καὶ τὰ σύστοιχα τούτοις, μήτε λειτουργοῦντός τινος νομίζειν δεῖ γενέσθαι,

καὶ

τῆς διατάττοντος, ἢ διατάξαντος, καὶ ἅμα τῷ πᾶσαν μακαριότητα ἔχοντος, μετὰ ἀφθαρσίας. ὁ γὰρ συμφωνῶν πράγματεῖαι καὶ φροντίδες ἢ ὀργαὶ ἢ χάριτες μακαριότητι, ἀλλ' ἀσθενείᾳ καὶ φόβῳ καὶ προσδεήσει τοῦ πλησίον ταῦτα γίνεται. μήτε δὴ πῦρ ἅμα ὂν τα σιωπερατευμένῳ τῷ μακαριότητα κεκτημένα, καὶ βλήσιν τὰς κινήσεις ταύτας λαμβάνειν, ἀλλὰ πᾶν τὸ σέμνωμα τηρεῖν καὶ πάντα ὀνόματα φερόμενα ἐπὶ τὰς τοιαύτας ἐννοίας, ἐὰν μηδ' ὑπεναντίαι ἐξ αὐτῶν τῷ σεμνώματι δόξαι. εἰ δὲ μὴ τὸν μέγιστον τάραχον, ἐν ταῖς ψυχαῖς αὐτῶν ὑπεναντιότης σκευάσει· ὅθεν ὁ ἢ τὰς ἀρχῆς ἀπολήψεις τοῦ συστρόφων τούτων ἐν τῇ τοῦ κόσμου συστάσει δεῖ δοξάζειν καὶ τὸ ἀνάγκιον τούτῳ ἢ περίοδον σιωπελεῖσθαι. καὶ μὴν καὶ τὸ ὑπὲρ τοῦ κυριωτάτων αἰτίαν ἐξακριβῶσαι, φυσιολογίας ἔργον εἶ δεῖ νομίζειν, ἢ τὸ μακάριον ἐν τῇ σοφίᾳ τῶν μετεώρων γνῶσιν, ὁπόταν θαυμάσαι πεπτωκέναι· καὶ ἐν τοῖς τίνες φύσεις αἱ θεωρούμεναι καὶ τὰ μετέωρα ταυτί, καὶ ὅσα συγγενῆ πρὸς τὰ εἰς τοῦτο ἀκείβειαν. ἔτι τε ὁ τὸ πλεοναχῶς ἐν τοῖς τοιούτοις εἶ· ἢ τὸ ἐνδεχομένας, καὶ ἄλλως πως ἔχειν· ἀλλ' ἁπλῶς μὴ εἶ ἐν ἀφθάρτῳ ἢ μακαρίᾳ φύσει τοῦ διάκρισιν ὑποβαλλόντων, ἢ τάραχον μηδέν. ἢ τοῦτο καταλαβεῖν τῇ διανοίᾳ ἔξιν ἁπλῶς εἶ. τὸ δ' ἐν τῇ ἱστορίᾳ πεπτωκὸς τῆς δύσεως καὶ ἀνατολῆς ἢ τροπῆς καὶ ἐκλείψεως, ἢ ὅσα συγγενῆ τούτοις, μηδὲν ἔτι πρὸς τὸ μακαρίαν τῆς γνώσεως σωπεῖνειν. ἀλλ' ὁμοίως τοὺς φόβους ἔχειν τοὺς ταῦτα κατιδόντας, τίνες δὲ αἱ φύσεις ἀγνοοῦντας, καὶ τίνες αἱ κυριώταται αἰτίαι. καὶ εἰ μὴ προσήδησαν ταῦτα τὰ χαλεπὰ ἢ πλεῖα. ὅταν τὸ θάμβος ἐκ τούτων προσκατανοήσεως, μὴ διωκήσεται τὸ λύτιν λαμβάνειν, καὶ τὸ περὶ τοῦ κυριωτάτων οἰκονομίαν. διὸ δὴ ἢ πλείους αἰτίας εὑρίσκομεν τροπῶν, ἢ δύσεων, καὶ ἀνατολῶν, ἢ ἐκλείψεων, καὶ τοιούτων τροπῶν. ὥσπερ καὶ ἐν τοῖς κατὰ μέρος γινομένοις, ἢ ὃ δεῖ νομίζειν τῷ ὑπὲρ τούτων χρείαν, ἀκείβειαν μὴ ἀπαληθέναι, ὅση πρὸς τὸ ἀτάραχον ἢ μακάριον ἡμῖν σωπεῖνει. ὥστε θεωρῶντας ποσαχῶς παρ' ἡμῖν τὸ ὅμοιον γίνεται, αἰτιολογητέον ὑπέρ τε τοῦ μετεώρων καὶ παντὸς τοῦ ἀδήλου καταφρονοῦντας, τὸ ὃ δὲ μοναχῶς ἔχον, ἢ γινόμενον γνωριζόντων, ὅτε τὸ πλεοναχῶς συμβαῖνον τῷ ἐν τοῦ ἀποστημάτων φαντασίαν θαμβοῦντας. ἔτι τε ἀγνοούντων, καὶ ἐν οἷοις οὐκ ἔστιν ἀταραξῆσαι. ἂν ὃν οἰόμεθα ἢ ὠδίνως ἐνδεχόμενον αὐτὸ γίνεσθαι, καὶ ἐφ' οἷοις ὁμοίως ἀταραξῆσαι αὐτὸ τὸ ὅτι πλεοναχῶς γίνεται γνωριζόντες,

ὥσ-

ὥσπερ καὶ ὅτι ὠδίπους γίνεται εἰδῶμεν, ἀταρακτήσομεν. ἐπὶ δὲ τούτοις ἅπασιν ἐκεῖνο δεῖ κατανοεῖν, ὅτι τάραχος ὁ κυριώτατος ταῖς ἀνθρωπίναις ψυχαῖς γίνεται ἐν τῷ τὰ μακάρια τε δοξάζειν εἶναι ἄφθαρτα, καὶ ὑπεναντίας ἔχειν τούτοις βλήσεις ἅμα καὶ πράξεις, καὶ αἰτίας, εἶναι δὲ ἐν τῷ αἰώνιόν τι δεινὸν εἶναι προσδοκᾶν καὶ ὑποπτεύειν καὶ τοὺς μύθους. εἶτε καὶ ταύτῃ τῇ ἀναισθησίαν τὴν ἐν τῷ τεθνάναι φοβούμενος, ὥσπερ ὅσαν εἶναι αὐτούς, καὶ ἐν τῷ μὴ δόξαις τούταις πάσχειν, ἀλλ' ἀλόγῳ γέ τινι πρέπουσάσει. ὅθεν μὴ ὁρίζοντας τὸ δεινὸν τῇ ἴσῃ ἢ καὶ ἐπιτεταγμένῃ παραχῇ λαμβάνειν τῷ εἰ καὶ ἐδόξαζον ταῦτα. ἡ δὲ ἀταραξία, τὸ τούτων πάντων ἀπολελύσθαι, εἶναι σωτηρίαν μνήμῃ ἔχειν τῶν ὅλων εἶναι κυριωτάτων. ὅθεν τοῖς πᾶσι προσεκτέον τοῖς παροῦσι· κατὰ μὲν τὸ κοινὸν ταῖς κοιναῖς· κατὰ δὲ τὸ ἴδιον, ταῖς ἰδίαις, καὶ πάσῃ τῇ παρούσῃ καθ' ἕκαστον τῶν κριτηρίων ἐναργείᾳ. ἂν γὰρ τούτοις προσέχωμεν, τὸ ὅθεν ὁ τάραχος εἶναι καὶ ὁ φόβος ἐγίνετο, ἐξαμφισβητήσομεν ὀρθῶς εἶναι ἀπολύσομεν, ὑπέρ τε μετεώρων αἰτιολογοῦντες, καὶ τῶν λοιπῶν τῶν ἀεὶ παρεμπιπτόντων, εἶναι ὅσα φοβεῖν τοὺς λοιποὺς ἐχάτως. ταῦτά σοι, ὦ Ἡρόδοτε, ἐστὶ κεφαλαιοδέστερα ὑπὲρ τὴν τῶν ὅλων φύσεως ἐπιπεπτμημένα, ὥστε ἂν γένοιτο ἔτος ὁ λόγος δυνατός, καπεσχέθη μοι ἀκριβείας ὄφελος. ἐὰν μὴ πρὸς ἅπαντα βαδίσῃ τις τῶν καθ' μέρος ἀκριβωμάτων, ἀσύγκριτον αὐτὸν πρὸς τοὺς λοιποὺς ἀνθρώπους ἀδρότητα λήψεσθαι. καὶ γὰρ εἶναι καθαρὰν ἀφ' ἑαυτοῦ ποιῆσαι πολλὰ τοῖς καθ' μέρος ἐξακριβωμένοις καὶ τὰ ὅλῳ προαγματεῖαν ἡμῖν. εἶναι αὐτὰ ταῦτα ἐν μνήματι θέμενον συνεχῶς βοηθήσαι. τοιαῦτα γάρ ἐστιν, ὥστε εἶναι τοὺς καθ' μέρος ἤδη ἐξακριβωθέντας ἱκανῶς, ἢ εἶναι πελέως εἰς τὰς τοιαύτας ἀναλύοντας ἐπιβολάς, τὰς πλείστας τῶν φροδόων ὑπὲρ τῆς ὅλης φύσεως ποιεῖσθαι. ὅσα δὲ μὴ παντελῶς αὐτῶν τῶν ἀποπεπτωμένων ἐκ τούτων ἐστὶν, ἢ καθ' τῶν ἄνευ φθόγγων τρόπον τῷ ἅμα νοήματι φροδόον τῶν κυριωτάτων, πρὸς γαληνισμὸν ποιοῦνται.

Καὶ αὗται μὲν αἱ αὐτοῦ ἐπιστολαί· περὶ δὲ τῶν βιωτικῶν αὐτοῦ, τουτέστι τί χρὴ ἡμᾶς ἐκφεύγειν, τί δ' αἱρεῖσθαι, οὐδέν τι λέξομεν. πῇ μὲν διὰ τὸ ἄθεον καὶ βλάσφημον αὐτοῦ, πῇ δὲ καὶ διὰ τὸν ἄκαιρον περιττολογίαν· γέγονε δὲ πολυγραφότατος ὁ Ἐπίκουρος, πάντας ὑπερβαλλόμενος πλήθει βιβλίων. εἶναι γὰρ ὑπὲρ τὰς τετρακοσίας τόμους λέγεται γεγραφέναι. ἔσχε δὲ εἶναι μαθητὰς πολλοὺς εἶναι σφόδρα ἐλλογίμους, καὶ μάλιστα Μητρόδωρον τὸν Ἀθηναῖον, εἶναι Τιμοκράτη, εἶναι Σάνδιν τὸν Λαμψακηνόν, οὓς οὐκ ἀπέ-

ἀπέστη ἀπ' αὐτοῦ ἀφ' οὗ τὸν ἄνδρα ἔγνω ἕως τῆς αὐτοῦ τελευτῆς. κατέστρεψε δὲ τὸν βίον ἔτη διώσας δύο πρὸς τοῖς ἑβδομήκοντα. καὶ τὴν σχολὴν αὐτοῦ διεδέξατο Ἕρμαχος ὁ Μιτυληναῖος.

ΠΕΡΙ ΕΡΜΑΓΟΡΟΥ.

Ἑρμαγόρας Ἀμφιπολίτης φιλόσοφος μαθητὴς Περσαίου. φέρονται αὐτοῦ διάλογοι, Μισοκύων, ἢ περὶ ἀτυχημάτων· περὶ σοφιστείας, πρὸς τοὺς Ἀκαδημαϊκούς· ἔκχυτον, ἔστι δὲ ὠφελιμία.

ΠΕΡΙ ΕΠΙΧΑΡΜΟΥ.

Ἐπίχαρμος Κῷος φιλόσοφος. οὗτος ἤκουσε Πυθαγόρου. φέρεται αὐτοῦ συγγράμματα φυσικά, γνωμολογικά, καὶ πολλὰ ἰατρικά. βιοὺς δὲ ἔτη ἐνενήκοντα, τὸν βίον κατέστρεψεν.

ΠΕΡΙ ΕΠΑΜΙΝΩΝΔΟΥ.

Ἐπαμινώνδας, τὸ γένος ἦν Θηβαῖος· φιλόσοφος καὶ στρατηγὸς μέγιστος. στρατηγήσας δὲ τῷ Λευκτρικῷ πολέμῳ, μαθητὴς γεγόμενος Φιλολάου τοῦ Πυθαγορείου. οὗτος πολεμῶν ἐνεγκρατεύετο πάνυ, καὶ ἀπὸ βρωμάτων, καὶ ἀφροδισίων, καὶ πάσης ἡδυπαθείας. διὸ καὶ μέγιστα τῶν Λακεδαιμονίων ἔστησε τρόπαια. συγκείνεται δὲ τούτῳ Σκηπίων ὁ Ῥωμαίων στρατηγὸς, ὅμοιος τῷ βίῳ καὶ τῷ ἤθει. ἐπίστευσε δὲ καὶ αὐτὸς ἐν τῷ πρὸς Καρχηδόνα πολέμῳ. ὃς ἐκ τῆς νίκης τοῦ ἔθνους τὴν ἐπωνυμίαν ἔλαβε, καὶ ἐκλήθη Σκηπίων Ἀφρικανός· καὶ γὰρ οἱ Καρχηδόνιοι, Ἀφρικανοί.

ΠΕΡΙ ΕΡΜΕΙΟΥ.

Ἑρμείας φιλόσοφος Ἀταρνεύς, (χώρα Μυσίας τῆς πρὸς τῷ Ἑλλησπόντῳ) ἀσκηθεὶς παιδείαν παρ' Ἀριστοτέλους. ἔγραψε θαυμασίως περὶ ψυχῆς ὅτι ἀθάνατος.

ΠΕΡΙ ΕΥΔΟΞΟΥ.

Εὔδοξος Ἀιχίνης, Κνίδιος φιλόσοφος, ἀκουστὴς Πλάτωνος καὶ ἡλικιώτης, ὥς φησι Σωτίων· ὡς δὲ Καλλίμαχος ἐν τοῖς πίναξι, Ἀρχύτα καὶ Φιλιστίωνος. ἔγραψε περὶ θεῶν, καὶ κόσμου, καὶ τῶν μετεωρολογουμένων. ἔσχε δὲ καὶ πρὸς ἰατρικὴν θαυμασίως, καὶ πρὸς γεωμετρίαν καὶ ἀστρονομίαν ὑπερφυῶς. ἔγραψέ τε πλείστας τοῦ εἴδους τούτου καὶ ὀκταετηρίδα. ἔτι δὲ δι' ἐπῶν ἀστρονομίαν.

ἐγένοντο δὲ αὐτῷ ἓξ θυγατέρες τρεῖς, Ἀκτὶς, Φιλτὶς, Δελφὶς, τῷ πατρὶ σχεδὸν παρόμοιοι.

Ζ

ΠΕΡΙ ΖΑΜΟΛΞΙΔΟΣ.

ΖΆμολξις, Γετικὸς γόης. οὗτος τὰ τοῦ Πυθαγόρου ἦν μεμυημένος, καὶ ὡρὸς αὐτὸν ἀπῳκειβωμένος· εἶτα ὡρὸς τὸ οἰκεῖον ἔθνος τὸς Γέτας ἐπανελθὼν, ἐς τοῖς Αἰγυπτίοις πολλὰ ὡροεπῶν, ἐθαυμάσθη, ἐς πιθανὸς ἦν νομοθετῶν· ὃν καὶ θανόντα τοῖς θεοῖς ἐναριθμῶσι, καὶ ὡς θεὸν ἤδη σέβονται. τοῦτον Ἡρόδοτος λέγει Πυθαγόρου δοῦλον γενέσθαι, εἶτα ἐλευθερωθέντα καὶ πλούσαντα, ἀπελθεῖν· ἐς σωφρονεστέραν μαθόντα δίαιταν καὶ Ἑλληνικωτέραν, ὡς ὡρώτους τῶν ἀστῶν συνάγειν ἐς εὐωχεῖν· λέγοντα ὡς οὔτε αὐτὸς, οὔτε οἱ συμπόται τεθνήξοιντο. ὁ δὲ Ἰσλανὸς ἔν τινι τῶν αὐτοῦ λόγων γράφει, ὅτι τὸ τῶν Γετῶν ἔθνος τῶν πώποτε μαχιμώτατον, διά τε τὴν ἀνδρείαν, ἐς διὰ τὸν Ζάμολξιν ὃν τιμῶσιν· οὐ γὰρ ἀποθνήσκειν, ἀλλὰ μετοικίζειν νομίζοντες, ἑτοιμότερον θνήσκουσιν, ἢ τὰς ἀποδημίας ὠμόβιοι. ἔστι δὲ καὶ νόμος Γετικὸς, ἐπισφάζειν τὴν γυναῖκα τῷ ἀνδρὶ θανόντι, καὶ κιθαρίζειν ὅταν ἐπικηρυκεύωνται. Ἡρόδοτος δὲ ἐς τοξεύειν φησὶν αὐτὸς ἄνω ὡρὸς τὸν βροντὴν, καὶ τὴν ἀστραπὴν, ἀπειλοῦντας τῷ θεῷ.

ΠΕΡΙ ΖΕΤΞΙΪΠΠΗΣ.

ΖΕυξίππη, κατὰ μὲν Ἀλκμᾶνα, ἡ μήτηρ τοῦ Πριάμου ἐκαλεῖτο· κατὰ δὲ Ἑλλάνικον, Τρυμώ. Στάμος δὲ ὁ ἐν τῷ περὶ Λέσβου φησὶ, Θόαντα τὸν Γοῦκρον, ὑδὲ Πριάμου, ὡς φησι Πορφύριος.

ΠΕΡΙ ΤΟΥ ΔΙΟΣ.

ΖΕὺς ὁ μόνον ὁ καθ' ἱστορίαν Κρητικὸς βασιλεὺς, οὐδὲ μόνον ὁ κατὰ μῦθον πατὴρ ἀνδρῶν τε θεῶν τε, ἀλλὰ ἐς ὁ κατὰ ἀναγωγὴν ἀὴρ καὶ αἰθὴρ, ἐς ἡ ὡρόνοια, καὶ ἡ ψυχὴ τοῦ παντός. ἐς καθ' ἱστορίαν μὲν λέγεται ὅτι Ζεὺς, βασιλεὺς ἦν Κρήτης, νομοθέτης Κρητῶν καὶ ἄλλων Ἑλλήνων. οὗτος ἁρπάσας Εὐρώπην

ὃν

ἐν Φοινίκης τ᾽ θυγατέρα Ἀγήνορος, εἰς Κρήτην ἤγαγεν· ἐξ ἧς ἔσχε παῖδας τέσσαρας, Μίνω, Ῥαδάμανθυν, Αἰακὸν καὶ Σαρπηδόνα. καὶ δὲ μῦθον, ὃν Κρόνῳ λέγουσι γυνηθῆναι αὐτὸν οἱ θεόλογοι τῶν Ἑλλήνων· ὃν γυνηθέντα περισωθῆναι τοιῶσδε. ὁ Κρόνος τῇ Ῥέᾳ γυνόμενος σύνοικος, ἅπερ ἔτικτεν αὐτῇ παιδία, αὐτὸς λαμβάνων κατέπινε. καὶ ἅτις ἐπὶ πολλῶν τότε γυνομένων, ἄπεκνος ἔμενεν ἡ Ῥέα. ὅπε ἓν ἐγέννητε τὸν Δία, ἡ Ῥέα φοβουμένη μήτως ὃ τὸ βρέφος τὸ ἔσχατον καταποθὲν ἀπόληται, λίθον μὲν σπαργανώσασα δέδωκε τῷ Κρόνῳ ὡς βρέφος καταπιεῖν. τὸν δὲ Δία ὑπερέθετο ἐν τῇ Κρήτῃ, ὃν παρέστησε τῷ βρέφει τοῦτο τοὺς Κορύβαντας καὶ τοὺς Κυρῆτας, ὀρχεῖσθαι καὶ κροτεῖν καὶ κτυπεῖν τὰ ὅπλα αὐτῶν· καὶ γενέσθαί τινα ἦχον, τὸν δυνάμενον ὑποβλέπειν καὶ παρακρύπτειν τὸν ἐκ τοῦ κλαυθμοῦ τοῦ παιδίου ἦχον, ἵνα μὴ μαθὼν ὁ Κρόνος τὸ κρύπτεται τὸ παιδίον, τοῦτο λαβὼν καταπίῃ. διὸ καὶ πατὴρ μισόπεκνος λέγεται ὁ Κρόνος· παιδίον δὲ κλαυθμυρίζον ὁ Ζεὺς παρὰ τοῖς ποιηταῖς. οἱ δὲ Κυρῆτες λέγονται οἱ μετὰ τῶν Κορυβάντων ταχθέντες, παρὰ τῆς Ῥέας ὀρχεῖσθαι. δαίμονες δέ εἰσι οἱ Κορύβαντες. καὶ ἐνόπλιον δὲ ὄρχησιν καλοῦσι τινὰ Πυρρίχιον. κτύπον γάρ τινα ἐν ταῖς ἀσπίσιν ἐποίουν εἶναι, ὡρὸς τὸ ὑπερηχεῖσθαι τὸν κλαυθμὸν τοῦ παιδίου. ὁ δὲ Ζεὺς αὐξηθεὶς καὶ μαθὼν, ὅτι τοιοῦτός ἐστιν ὁ Κρόνος τεκνοφάγος, ἐπανίσταται αὐτῷ, καὶ ἀποσπᾷ ἀπ᾽ αὐτοῦ τὴν βασιλείαν. καὶ ποιεῖ ἐκπεσεῖν τὴν ἀρχὴν τὸν Κρόνον τὸν ἴδιον πατέρα, καὶ μίμησιν αὐτοῦ· ὅτι καὶ αὐτὸς ὁ Κρόνος ἐπανέστη τῷ ἰδίῳ πατρὶ Οὐρανῷ. μὴ δυνάμενος γὰρ γυέσθαι τῷ πατρὶ ἕτερον παῖδα, λαβὼν δρέπανον, ἐξέτεμε τὰ αἰδοῖα αὐτοῦ, καὶ ῥίπτει αὐτὰ εἰς τὴν θάλατταν. ἀφρὸς δ᾽ γυομένου, ὡς λέγουσιν, ἐγυνήθη ἡ Ἀφροδίτη· ἔνθεν καὶ Ἀφροδίτη ὠνομάσθη ὅτι τοῦ ἀφροῦ. καὶ ὕστερον ἔλαβε τὴν βασιλείαν ὁ Κρόνος. ὕστερον τοίνυν ἐξορισθεὶς ὑπὸ τοῦ Διὸς, εἰς Ἰταλίαν ἀφικνεῖτο· καὶ Λατίνων βασιλεύς ἐγένετο· νόμους θεὶς αὐτοῖς, καὶ γεωργίαν διδάξας, ὃν καὶ ὡς θεὸν ἀποθανόντα ἐτίμησαν, ὡς ἡ δημώδης ἱστορία. καὶ αὐτὸν γὰρ τὸν Δία τύραννον ὄντα Κρητῶν, θέλοντες οἱ ὑπήκοοι θεραπεύειν, ἐμυθολόγησαν ὡς ἐκ Κρόνου θεοῦ καὶ Ῥέας ἔχει τὸ γένεσιν, καίπερ ἐόντα ἄνθρωπον καὶ.

Περὶ δὲ τοῦ διὰ δίψαν λιταρὰν ἰσχειν τὸν Δία, λέγεται ὅτι ὁ Ζεὺς ἀπῆλθεν ἐν τῇ Αἰθιοπίᾳ ἐπὶ ἄριστον ὃ οἱ Αἰθίοπες ποιήσαντες, ἐκάλεσαν αὐτὸν καὶ τοὺς ἄλλους θεοὺς σὺν αὐτῷ. τὸ δ᾽

ἄριστον τῶν Αἰθιόπων, ἐς ἡ αἰτία, ἄυπη ἐστίν, θυσία ἡ γινομένη τῷ Διΐ. τὰ δ' ἔπη εἰσὶ ταῦτα·

Ζεὺς γὰρ ἐς Ὠκεανὸν μετ' ἀμύμονας Αἰθιοπῆας
Χθιζὸς ἔβη μετὰ δαῖτα, θεοὶ δ' ἅμα πάντες ἕποντο.

Καὶ ἄλλως· τινὲς ἱστορικῶς ἐκλόμβοι θεραπεύειν τοῦτο, λέγουσιν ὅτι ὁ Διόσπολις, μέγιστόν ἐστι Διὸς ἱερὸν, ἀφ' οὗ λαβόντες Αἰθίοπες Διὸς ξόανον, ἐξ ἄλλων δαιμόνων σὺν αὐτῷ, κατά τινα καιρὸν τεταγμένον ἐξεποστεῖσι τὰ κατὰ τὴν Λιβύην, καὶ πανηγυρίζουσι παντελῶς ἐπὶ δώδεκα ἡμέρας, ἐπεὶ καὶ τοσοῦτοι παρ' αὐτοῖς οἱ θεοί. τοῦτο γοῦν φασιν εἰδὼς Ὅμηρος, ὅτι ἐξ τοιούτων ἐθῶν ἔμπειρος, ὃν καὶ Αἰγύπτιον γλυκαλογοῦντί τινες, πλάττεσι ἐνταῦθα δωδεκάμερον ἀποδημίαν Διὸς ἐξ ἱστορικῆς ἀφορμῆς, εἰς τὸ πλάσμα ἐλθών.

Λέγεται δὲ καὶ Ζεὺς καταχθόνιος, ὁ Ἅιδης, ὡς ἐάν τις εἴποι τις, ἀὴρ ὑπόγειος. εἰ δὲ καὶ παλαιὰν ἱστορίαν, φησί τινα Καρικὸν ποταμὸν Ζηνὸς Ποσειδῶνος ἦν ἱερόν· ἰδοὺ τὸ Ζεὺς, ἤτοι τὸ Ζὴν, κοινὸν ὄνομα Διὸς ἐξ Ποσειδῶνος ἐξ Ἅιδου τῶν ἀδελφῶν. ἄλλως δὲ Ζεὺς καταχθόνιος, ἤγουν ὑποχθόνιος, ὁ τοῦ μύθου Πλούτων· Περσεφόνη δὲ, ἄκοιτις αὐτοῦ.

Ἐνίοτε δὲ ὁ Ζεὺς ἁπλῶς λέγεται πατὴρ, διὰ τὸ τοῦ ἀέρος ζωογόνον· ἐνίοτε δὲ, πατὴρ ἀνδρῶν τε θεῶν τε, ἤτοι κηδεμών· οὐ μόνον στοιχείων καὶ ἄστρων ἐξ ὅλως τῶν θειοτέρων, ἀλλὰ καὶ ἀνδρῶν, τουτέστιν ἀνθρώπων, ὡς ἀπὸ μέρους. ἀπὸ δὲ τῶν ἀνθρώπων τοῦ τιμιωτάτου γένους, καὶ εἰς τὰ ἄλλα διαβαίνει τὸ νόημα. ὁ δὲ μῦθος πατέρα θεῶν καὶ ἀνδρῶν, ἄλλως τὸν Δία φησί· λέγων, ὅτι κατὰ τοὺς ὁμηρικοὺς μύθους τῶν ἄλλων δαιμόνων, οἱ μὲν μόνων θνητῶν πατέρες λέγονται, ὡς Ποσειδῶν Κύκλωπος καὶ Ὠρίωνος, καὶ Ἐφιάλτου· Ἀφροδίτη, Αἰνείου· Θέτις, Ἀχιλλέως· καὶ ἄλλοι ἄλλων· οἱ δὲ, μόνων ἀθανάτων, ὡς Κρόνος Διὸς, Ἥρας, Ἅιδου, Ποσειδῶνος. Ζεὺς δὲ μόνος καὶ ἀθανάτων πατήρ· οἷον Ἀπόλλωνος, Ἡφαίστου, Ἄρεος· καὶ θνητῶν δὲ, οἷον Σαρπηδόνος, Αἰακοῦ, Μίνωος, Ἡρακλέους, ἐκ τῆς Ἀλκμήνης, Περσέως, ἐκ τῆς Δανάης, Κάστορος ἐξ Πολυδεύκους, ἐκ τῆς Λήδας, Ἰασίονος, ἐκ τῆς Ἠμέρας, Ἰασίονος ἐξ Δαρδάνου, ἐκ τῆς Ἠλέκτρας, Βιθυνοῦ, ἐκ Θράικης τῆς Τιτανίδος, ἐξ ἄλλων πλείστων, ὡς οἱ μῦθοι.

Περὶ τοῦ Διὸς πάντα γινομένου διὰ τὰς γυναῖκας.

Λέγεται δὲ περὶ τοῦ Διὸς, ὅτι ἀεὶς μὲν γυνὴ ἐδόκει διὰ μαγα-

γανείας τινός, ἥρπασε τὸν Γανυμήδη, ἐραθεὶς αὐτοῦ τοῦ κάλλους παιδερασίαν· Φρὺξ δὲ ὁ Γανυμήδης. ὁ δὲ μῦθος ἔχει ὅτι ἥρπασεν ὁ Ζεὺς τὸν Γανυμήδη, ἵνα ποιήσῃ αὐτὸν οἰνοχόον, ὅταν ἀριστοποιῆται τοῖς θεοῖς. καὶ πάλιν γοητείᾳ τινὶ γέγονε χρυσὸς, εἰς Δανάην σιωπεχύσετο. πάλιν ταῦρος καὶ τὴν Εὐρώπην ἥρπασε. κύκνος δὲ γενόμενος, Λήδαν ἐπόρισεν. Σάτυρος ὁ μυθικὸς, τὴν Ἀντιόπην ἔφθειρε· εἰς ἄλλα μυρία κακὰ ἔπραξε, πάντα γινόμενος διὰ φιληδονίαν εἰς λαγνείαν ὁ παρ' Ἕλλησιν ὀξυχώτατος θεός.

Περὶ τοῦ νεφεληγερέτου Διὸς τοῦ πρὸς τὴν Ἥραν.

Ἔστι μῦθος διαπλασθεὶς διὰ τοιούτου αἰτίαν· ὁ Ζεὺς μᾶλλον χαρίζεται τοῖς Τρωσὶ, εἰς ἐτόλμησε πολλὰς τῶν Ἑλλήνων διὰ τὴν ἱκεσίαν τῆς Θέτιδος ἕνεκεν τοῦ Ἀχιλλέως, ἵνα ζητήσωσι τὸν Ἀχιλλέα οἱ Ἕλληνες πολεμίως. ἡ δὲ Ἥρα ἐφρόντιζε τῶν Ἑλλήνων. φροντίζουσα δὲ βούλεται ἀπατῆσαι τὸν Δία πρὸς μίξιν αὐτῆς. καὶ μὴ τοῦτο, ὕπνον αὐτῷ προσποιεῖ, ἐκβακχεύουσα πρὸς αὐτόν· ἵνα, καθεύδοντος τοῦ Διὸς, ἀβοήθητοι οἱ Τρῶες γένωνται, ἡττηθῶσιν ὑπὸ τῶν Ἑλλήνων. τοῦτο βουλευσαμένη λαμβάνει τὰ πορνικὰ καλλωτίσματα ἐκ τοῦ κεστοῦ τῆς Ἀφροδίτης. ὁ δὲ κεστὸς μυθεύεται ὅτι καμψίον τί ἐστιν ἐν ᾧ πάντα τὰ πρὸς κάλλος εἰς εὐμορφίαν, εἰς χάριτας, καὶ λαμπρότητας προσώπου ἐναπόκειται εἴδη ἀπατηλά. εἶτα κοσμησαμένη ἄνεσι πρὸς τὸν Δία. εἰς κινεῖ αὐτὸν ἐκ τοῦ πλάσματος τούτου, πρὸς ἡδονὴν, εἰς λαγνείαν. ἐκ γῆς δὲ ἐβλάστησεν αὐτῇ, εἰς τὰς τῶν μύρων εὐωδίας· καὶ γὰρ ἡ γῆ, φησὶν ὁ μῦθος, ἐβλάστησε βοτάνας, οἷον κρόκον, ῥόδα, λωτὸν, ἴα, κρίνα, κασίαν, κινάμωμον, σάκτην, εἰς τὰ λοιπὰ ἀρώματα ἔργα τοιαύτης πράξεως.

Περὶ τοῦ ἐμτεσόντος φόβου τῷ Διΐ.

Τοῦ Ἀχιλλέως κατακράτος ἀριστεύοντος, φόβος ἔλαβε τὸν Δία, μήπως παρὰ τὸ εἱμαρμένον ὁ Ἀχιλλεὺς πορθήσῃ τὸ Ἴλιον. τοῦτο φοβούμενος, ἐπιτρέπει τοῖς θεοῖς τὸν βουλόμενον ὑπὲρ βούλεται ἀπελθεῖν καὶ βοηθῆσαι· ἵνα οἱ μὲν τοῖς Τρωσὶν, οἱ δὲ τοῖς Ἕλλησι βοηθήσωσι. τούτων ἐπιτραπέντων, ὁ μὲν Ζεὺς, καὶ τὸν μῦθον, ἐβρόντησεν ἐκ τοῦ οὐρανοῦ· ὁ δὲ Ποσειδῶν σείει τὴν θάλασσαν· ὁ δὲ Ἅδης, σεισθέντων τῆς θαλάσσης εἰς τοῦ οὐρανοῦ, ἐφοβήθη, μήπως σεισθείσης τῆς γῆς, ἀναῤῥηξία γένηται τῶν καταχθονίων, εἰς δημοσιευθῇ τὰ κατ' αὐτόν.

Περὶ τῆς συνδύσεως τῶν ὀφρύων καὶ συγκινήσεως τῶν τριχῶν τοῦ Διός.

Ὅμηρος εἰσφέρει τὸν Δία μετὰ τὴν τῆς Θέτιδος ἱκετείαν τῷ Ἀχιλλέως προσχόμενον, κεκινηκότα αὐτὸν τὰς ὀφρῦς, ἐπὶ τῇ προσχέσει· σείσαντα δὲ τὰς τείχας ἐπὶ καταδύσει τῆς κεφαλῆς, καὶ συγκινήσαντα ὅλον τὸν οὐρανόν, τῶν τειχῶν αὐτῷ κινηθεισῶν. ἀμβροσίας δὲ τὰς τείχας εἶπεν ὁ Ποιητὴς, οἷον, ἃς ὑδὲ βροτὸς δυνάται ἔχειν.

Περὶ τοῦ ἐν Κρήτῃ τάφου τοῦ Διός.

Ὁ Ζεὺς λέγεται ἐν Κρήτῃ, ὡς εἴρηται, καὶ τραφῆναι καὶ ἀποθανεῖν, καὶ εἶναι αὐτοῦ τὸν τάφον· ἐν ᾧ ἐπιγέγραπται καθ' ἑκάστην τὸν Δία. καὶ εἰ ἔλεγχον τοῦτο καὶ τῶν λεγόντων τὸν Δία μὴ ταφῆναι ἐν Κρήτῃ. καὶ γὰρ αὐτὸς ὁ Ἑρμῆς τὰ τῆς δύσεως ἀρχὴν τῷ ἰδίῳ υἱεῖ Ἑρμῇ, πολυτρόπως ζήσας ἔτη ἑκατόν. καὶ τελευτῶν ἐκέλευσεν ἀποτεθῆναι τὸ ἑαυτοῦ σῶμα ἐν Κρήτῃ τῇ νήσῳ· ἐν ᾧ ἐπιγέγραπται· ἐνθάδε κεῖται θανὼν πῆκος ὁ Ζεύς. μέμνηται τοῦ τάφου τούτου πλεῖστοι ἐν τοῖς ἰδίοις συγγράμμασιν· ἐλέγχονται δὲ προσέτι ὅτι καὶ ἄνθρωπος ἦν, καὶ πέθνηκε, καὶ κεῖται ἐν Κρήτῃ.

Ποσαχῶς ὁ Ζεύς· ἤτοι περὶ τῶν ἐπωνυμιῶν αὐτοῦ.

Μετὰ δὲ ταῦτα, ἄλλως ὁ Ζεὺς πατὴρ λέγεται θεῶν καὶ ἀνθρώπων εἰ, διὰ τὸ τοῦ κόσμου φύσιν αἰτίαν γεγονέναι τῆς τούτων ὑποστάσεως, ὡς οἱ πατέρες γίνονται τὰ τέκνα.

Νεφεληγερέτης δὲ καὶ εἰγίοδος ἐπωνόμασται, τῷ ὑπὲρ ἡμᾶς νέφη καὶ βροντὰς σιωπᾶσθαι, καὶ τοὺς κεραυνοὺς ἐκεῖθεν, καὶ τὰς καταιγίδας ἐνσκήπτειν. ἄλλως, ἤδη τῷ τὸν οὐρανὸν λελογχότι θεῷ πάντας τοὺς ὑπὲρ γῆν τόπους ἀπονεμομένῳ, διὰ μὲν τὰς αἰγίδας, ὡς δὴ ἀπὸ τοῦ αἴσσειν, τοῦ ὁρμᾶν, τὸ ὄνομα Αἰγίοχος ἐκλήθη. δι' ἄλλας ὃ ὁμοιοειδεῖς καὶ εὐεπιγνώστους αἰτίας, ὑέτιος, καὶ ἐπικάρπιος, καὶ καταβάτης, καὶ ἀστεροπαῖος, καὶ ἰκέσιος, καὶ κεραύνιος, καὶ τροπάτωρ, καὶ παννύχιος, καὶ λατεάριος, καὶ Κάσιος, καὶ πολυοῦχος, καὶ φίλιος, καὶ ἑφέστιος, καὶ ἑρκεῖος, ἤτοι ἀὴρ πολύηχος, καὶ ὅρκιος, καὶ Καπετώλιος, καὶ ἀστεροπητὴς, καὶ ἑταιρεῖος, καὶ ὁμόγνιος. καὶ ἄλλως δὲ πολλαχῶς, καὶ διαφόρους ἐπινοίας. καὶ σωτῆρα, καὶ πολυέα, καὶ ὁμόγνιον, καὶ ξένιον, καὶ κτήσιον, καὶ βουλαῖον, καὶ τροπαιοῦχον, καὶ ἐλευθέριον αὐτὸν προσαγορεύουσιν, ἀπερείλητον ὅσων ὁμοιοτήτων αὐτῷ τούτων ὄντων. ἐπεὶ διατέτακεν εἰς πᾶσαν δύναμιν καὶ χέσιν, καὶ πάντων αἴτιος καὶ ἐπόπτης ἐστίν.

οὕτω

ὕτω δὲ ἐρρέθη ⸂ τῆς δίκης πατὴρ εἶ⸃· ὁ γὰρ ⸂προαγαγὼν⸃ εἰς τὰ πράγματα τὴν κοινωνίαν τῶν ἀνθρώπων, ⸂ παραγγείλας αὐτοῖς μὴ ἀδικεῖν ἀλλήλους, ⸂ τοῦτό ⸀ἐστι. καὶ τῶν Χαρίτων· ἐνταῦθα γάρ εἰσιν αἱ τοῦ δανείζειν ⸂ εὐεργετεῖν ἀρχαί. καὶ τῶν ὡρῶν ⸂ τοῦ ⸂προέχοντος ποιοῦσῶν μεταβολὰς σωτηρίας, ⸂ τῶν γινομένων ἐπὶ τῆς γῆς ἄλλων, ⸂ ὠνομασμένων ἀπὸ τῆς φύσεως, ⸂ τοῦτό ⸀ἐστι παροχάς. λέγεται δὲ ⸂ ὑπό τινων ⸂ ἁλάστωρ, καὶ παλαμναῖος, τῷ τοὺς ἁλάστορας καὶ παλαμναίους κολάζειν· τῶν μὴ ὠνομασμένων ἀπὸ τοῦ τὰ τοιαῦτα ἁμαρτάνειν, ἐφ' οἷς ⸀ἐστιν ἁλαστῆσαι ⸂ στενάξαι· τὸ δὲ ἀπὸ τοῦ τὰς παλάμας μιάσματος ἀνεκπλύτους ἀποπλεῖν.

Καὶ ὑψίζυγος, ὁ ἀφ' ὕψους τὰ κάτω κυβερνῶν, ⸂ ἀπὸ ζυγῶν κυβερνητικῶν, ἢ ὃ ἄνωθεν παλαντεύων, οἷον τὰ ⸂ ἀνθρώπους. διὸ λέγει Ὅμηρος, ὅτι ὑπερθεν, ἤγαγον ⸂ θεοῦ, νίκης πείρατα ἔχονται. καὶ γίνεται τούτου ἀφορμὴ τοῦ γραφῆναι τὸν Δία μεταχειριζόμενον πάλαντα, ὡς ⸂ ζυγοστατήματι. τοῦτο δὲ νοεῖν οἱ πάνυ φιλοῦσιν οἱ παλαιοὶ, ζυγὸν εἰδότες ἅρματος καὶ ἁμάξης. ὅθεν καὶ ζυγόδεσμον Ὅμηρός φησιν ἱμάντα. τὸν ζυγὸν φασι τῶν ζώων ζευγνύοντα. εἰδότες δὲ ⸂ ζυγὰ, καὶ καθέδρας ἐρεισόντων. ὅθεν, φασὶν, ὑψίζυγος, ὁ ὑψι καθέδραν ἔχων. ⸂ ὅμως οἱ μεθ' Ὅμηρον ὅιδασι ζυγὸν καὶ ἐπὶ ⸀ἁθμοῦ. καὶ αὐτοὶ ⸂προ τὸ δύο ἄγειν ἐτυμολογικῶς τὰς ἐκπέρωθεν δηλαδὴ πλάστιγγας· ἀφ' οὗ ⸂ παροιμία τὸ, ζυγοῦ πρὸς δίκην ἀνθέστηκεν.

Καὶ ὁμολώϊος ⸂ προσηγορεύθη ⸀ἐν Θήβαις, ἀπὸ Ὁμολωΐας προφήτιδος τῆς Ἐνυέως· ἣν προφῆτιν εἰς Δελφοὺς πεμφθῆναι, ὡς Ἀριστόδημος ⸀ἐν δευτέρῳ τῶν Θηβαϊκῶν· Ἴστρος ⸂ ⸀ἐν τῇ δωδεκάτῃ τῶν σωναγωγῆς, διὰ τὸ παρ' Αἰολεῦσι, τὸ ὁμοιοπτικὸν, ⸂ εἰρηνικὸν, ὁμόλον λέγεται. ἔστι δὲ ⸂ Ὁμολώϊα ⸀ἐν Θήβαις.

Καὶ Σινωπίτης, ἢ ἀπὸ Σινωπίδος ὄρους Μέμφιδος· ἢ ἀπὸ Σινώπης τῆς Ποντικῆς. φέρεται γὰρ τοιοῦτος λόγος, ὅτι βασιλεῖ τῶν Ἀλεξανδρείας Πτολεμαίῳ τῷ Λάγου δαίμων τις ἐπιφανεὶς ἐκέλευσε πέμψαντα ναῦν, κομίσαι αὐτόν· μὴ προσδηλώσας ⸂ τόπον ὅθεν αὐτὸν ἀνακομίσεται. ὁ ⸂ πέμπει φέρεται πανάλλως ⸂ τὴν ναῦν ὅπη τύχῃ· ⸂ ὡς προσέβαλεν ἡ ναῦς τῇ Φωκίδι, λαβόντες χρησμὸν οἱ ἐμπλέοντες ἀπελθεῖν εἰς Σινώπην, καὶ ἐνέγκαι τὸ προσαχθὲν, ἤνεγκαν ἐκεῖθεν τὸ τοῦ Σαράπιδος Διὸς ἄγαλμα. κἀντεῦθεν Σινωπίτης Ζεὺς, ἤτοι Σάραπις· ὃ φασι τὸ ἄγαλμα τοῖς ὁρῶσιν ἄδηλον εἶ ὅιας φύσεως ἦν. οἱ δὲ ἀπὸ Σίνωπος ποταμοῦ τὸν Σινωπίτην τοῦτον Δία παράγουσιν.

Καὶ

Καὶ Ἑρκεῖος, ᾧ βωμὸς ἐντὸς ἕρκους ἐν τῇ αὐλῇ ἵδρυται· τὸν γὰρ περίβολον ἕρκος ἔλεγον. μετ' ὀλίγον δὲ τ πολιτείας, ὃς ἦν Ζεὺς Ἑρκεῖος. ἑρκεῖον δὲ, τὸ ἀφίφραγμα τ αὐλῆς, ἢ ἡ τ δώματος στέγη. Σοφοκλῆς Αἰαντι· φρὶν ἂν δεθεὶς φρὸς κίονα στέγης, μάστιγι φρῶτα φοινιχθεὶς θάνῃ. καὶ μείλιχος, ἐυμείλικτος ὢν τοῖς ἐξ ἀδικίας μετατιθεμένοις· ὅθεν γὰρ ἀδιαλλάκτως ἔχει φρὸς αὐτούς. διὰ τοῦτο καὶ ἱκεσίῳ Διός εἰσι βωμοί.

Καὶ πατρῷος, ὥσπερ ἔ ὁ Ἀπόλλων, ὃν Ἀθήναις τιμώμενοι. ὁ Ζεὺς μὲν, μὴ τ ὃν Ἀρκαδίᾳ, ἢ ὡς οἱ πλείους, μὴ τ ὃν Κρήτῃ ἀνατροφὴν, ὅτε πρῶτον ταῖς Ἀθήναις ἐπέστη, ἔ ἐφάνη ἰοῖς πατράσιν αὐτῶν· οἵ τινες τούτῳ τῇ φροσηγορίᾳ τετιμήκασιν αὐτόν. Ἀπόλλων δὲ, ὅτι Ἐρεχθέως θυγατέρα ἔγημε τ Κρέουσαν, ἐξ ἧς ἐγένετο ὁ Ἴων· ὡς φρόγονον οὖν αὐτὸν ἐτίμα, καὶ οἱ ἄρχοντες ὅτε ἐχειροτονοῦντο· ἐκ γὰρ τοῦ μὴ εἰδέναι, ξένους αὐτοὺς ἐνόμιζον.

Οἱ ὅ, ὅτω τιμᾶται παρ' Ἀθηναίοις Ζεὺς πατρῷος, ἔ Ἀπόλλων, διὰ τὸ φρώτους ὑποδέξασθαι τὸν θεὸν εἰς τ χώραν, καὶ θυσίας σωτελέσαι κατὰ φρήτρας, καὶ δήμους, ἔ συγγενείας, μόνους ἀλλήλων.

Καὶ ἐπάκριος, ὁ ἐπὶ τ ἄκρων τ ὀρῶν ἱδρυμένος· ἐπὶ γὰρ τῶν ὀρῶν τοὺς βωμοὺς αὐτῷ ἵδρυον, ὡς ἐφιπολύ.

Καὶ ὁμομαστιγίας καὶ δήλιος, ἐπεὶ δήλων ὄζιν ἔφορος· οἱ δὲ δῆλοι μάστιξιν ὑπόκεινται καὶ πληγαῖς· διὰ τοῦτο ὁμομαστιγίας ἤκουσεν.

Καὶ Δωδωναῖος, ὥσπερ Ἰλιάδος Π'·

Ζεῦ ἄνα Δωδωναῖε, -----

ἐν χωλῷ τῶν Ὑπερβορέων ᾗ Δωδώνῃ τιμώμενος, ὃν Θεσπρωτίαν· λέγεται γὰρ ὅτι Δευκαλίων, μὴ τὸν ἐπ' αὐτοῦ γενόμενον κατακλυσμόν, εἰς τὸν Ἤπειρον ἐμαντεύετο ὑπὸ τῇ δρυΐ. τελειάδος δὲ αὐτῷ χρησμὸν δόντος, κατοικίζει τὸν τόπον, σωαθροίσας ὓς ὠφιλεφθέντας ἀπὸ τοῦ κατακλυσμοῦ. ἔ ἀπὸ τοῦ Διὸς ἔ Δωδώνης μιᾶς τῶν Ὠκεανίδων, Δωδώνῃ τῷ χώραν φροσηγόρευσεν· ὡς Θρασύβυλος ἔ Ἀκεσόδωρος ἱστοροῦσι.

Καὶ ἄλλως· Δωδωναῖος Ζεύς, ὁ φρὸ Δωδώνης ἐξέχουσαν ἔχων τιμώ. καὶ κ' τῷ ποιητικῷ ἑρμηνείαν, Δωδώνης μεδέων, ἡ Ἑλλοπία κ' τοὺς παλαιοὺς ἐκαλεῖτο φρότερον. τὴν ὃ Δωδώνην καὶ δυσχείμερον λέγει ὁ Ποιητὴς, εἰδὼς τοιαύτην οὖσαν, φρὸ ἧς Πελασγοὶ τὸ ἀδόμενον ἵδρυσαν ἱερὸν, κ' τοὺς παλαιούς. ὅθεν καὶ

Πε-

Πελασγικὸς ὁ αὐτός. ἰστέον δ' ὅτι Δωδῶνα, κατά τινας, ἡ μὲν Θεσσαλίας, ἡ δὲ Μολοσσίας, ἧς καὶ μεμνῆσθαί φασι τὸν Ποιητὴν, διὰ τὸ καὶ δυσχείμερον αὐλῶνα ἱστορεῖσθαι· καὶ τὸ τοῦ Διὸς δὲ ἱερὸν ἐκεῖσε εἶναι, τὸ καὶ τῷ μαντικῷ φηγόν· ἣν Σοφοκλῆς πολύγλωσσον ἐν Τραχινίαις φησὶν, ὡς πολύφωνον, ὅια καὶ πολλοῖς μαντευομένοις. ἔτεροι δὲ ἀλληγοροῦντες τὴν Δωδώνην, τὴν γῆν φασι, καὶ τὸ δῶ δώτω, ὡς δοτείραν, καὶ ἀνησίδωρον, καὶ ζείδωρον. οἱ δὲ αὐτοὶ φυσιολογικῶς ἅμα καὶ ἀναθετικῶς φασι,

Ζεῦ ἄνα Δωδωναῖε,

τουτέστιν, ἀίθερι, καὶ περίγειε· τοῦτο μὲν διὰ τὸ Δωδωναῖε· ἐκεῖνο δὲ, διὰ τὸ ἄνα. καὶ ὡσεὶ μὲν τὸ αὐτοῦ προστηγοριῶν ἀρκούντως ἔχει· ὡσεὶ δὲ τῶν παρεισαγομένων αὐτῷ ἀπεικονισμάτων ταῦτα ῥητέον· παρεισάγεται τὸν Δία τελείου ἀνδρὸς ἡλικίαν ἔχοντα, ἐπεὶ ὅτε τὸ παρηκμακὸς, ὅτε τὸ ἐλλιπὲς ἐμφαίνει. τὸ δὲ καπρτυκὸς οἰκεῖον· διὰ τοῦτο καὶ τέλεια αὐτῷ θύεται. τὸ δὲ σκῆπτρον, τῆς δυνασείας αὐτοῦ σύμβολόν ἐστι. πολλαχοῦ δὲ καὶ νίκαις κρατῶν πλάττεται. ὡσεῖσι γὰρ πάντων, καὶ οὐδὲν ἥττων αὐτοῦ δοκεῖται· ἱερὸς δὲ ὄρνις αὐτοῦ ὁ ἀετὸς λέγεται εἶναι, διὰ τὸ ὀξύτατον τοῦτον εἶναι τῶν ἄλλων πτηνῶν.

Στέφεται δὲ ἐλαίᾳ, διὰ τὸ ἀεθαλὲς, καὶ λιπαρὸν, καὶ πολύχρηστον· ἢ διὰ τὴν ἐμφέρειαν τῆς ὥρας τὸν οὐρανὸν γλαυκότητος. λέγεται δὲ ὑπό τινων καὶ ἀλληγορικώτερόν πως ὡσεὶ αὐτοῦ τοιαυτοτρόπως· ὥσπερ οἱ ἄνθρωποι ἀπὸ ψυχῆς διοικούμεθα, οὕτω καὶ ὁ κόσμος ψυχὴν ἔχει τὴν συνέχουσαν αὐτόν· καὶ αὕτη καλεῖται Ζεύς· πότερον διὰ τὸ σώζουσα καὶ αἰτία ὅσα τοῖς ζῶσι τοῦ ζῆν. διὰ τοῦτο βασιλεύειν ὁ Ζεὺς λέγεται τῶν ὅλων· ἢ ὡς ἂν καὶ ἐν ἡμῖν ἡ ψυχὴ καὶ ἡ φύσις ἡμῶν βασιλεύειν ῥηθείη. Δία δ' αὐτὸν καλοῦμεν, ὅτι δι' αὐτὸν γίνεται καὶ σώζεται τὰ πάντα. ὥσπέ τισι δὲ καὶ Δεὺς λέγεται, τάχα ἀπὸ τοῦ δεύειν τὴν γῆν, ἢ μεταδιδόναι τοῖς ζῶσι ζωτικῆς ἰκμάδος. καὶ ἡ ὑγρὰ πτῶσις, ἀπ' αὐτῆς ὅτι Διός, παρακειμένη πῶς τῇ Δεύς. οἰκεῖον δὲ ἐν τῷ ἀέρι λέγεται, ἐπεὶ ἐκεῖ τὸ κυριώτατον μέρος τοῦ κόσμου ψυχῆς. καὶ γὰρ αἱ ἡμέτεραι ψυχαὶ πῦρ εἰσιν, ὡς οἱ πάλαι λέγουσιν.

Ἀκολούθως δὲ τούτοις λέγεται, καὶ ὅτι πάντ' ἐφορᾷ Διὸς ὀφθαλμὸς, καὶ πάντ' ἐπακούει. πῶς γὰρ οἷόν τε ἦν, διὰ πάντων διοικοῦσαν δύναμιν, λανθάνειν τι τῶν ἐν τῷ κόσμῳ γινομένων; λαμβάνεται δὲ ὁ Ζεὺς ἀλληγορικῶς καὶ ἀντὶ τοῦ νοὸς, ὃς καὶ τὰς Μέσας, ἤτοι τὰς γνώσεις φησὶ, καὶ ἀντὶ τοῦ νοὸς τοῦ κατ' ἄνθρωπον,

καθωμίληται τοῖς πολλοῖς· καὶ στοιχειακῶς, ἀντὶ παντὸς ὑγρᾶς σώματος, καὶ τῶν αὐτοῦ μερῶν· ὡς ἀπὶ τοῦ ἀέρος, ὡς τοῦ νεφελώδους καταστήματος, καὶ ὁμβρίου ἡλίου· ὡρὸς ἰάτοις ὁ καὶ ἀντὶ τῶν ἀστέρων καὶ πλανήτων· ὁ μὲν ἀλλὰ ὡς ἀντὶ τῆς εἱμαρμένης καὶ τοῦ Στωϊκοῦ· καὶ ὡδὶ μὲν τούτων ἄλις. λέξομεν δ' ὡς ἐπὶ τοῦ γάμου Διός τε καὶ Ἥρας.

Περὶ τοῦ γάμου τοῦ Διὸς ὡς τῆς Ἥρας.

Τὸν Δία μυθολογοῦσιν ἐπιβουλεύειν τῇ Ἥρᾳ μιγῆναι, ὅτε αὐτῷ ἴδοι χωρισθεῖσαν ἀπὸ τῶν ἄλλων θεῶν· βουλόμενος δὲ ἀφανὴς γενέσθαι, καὶ μὴ ὀφθῆναι ὑπ' αὐτῆς, τὸ ὄψιν μεταβάλλει εἰς κόκκυγα, ὡς καθέζεται εἰς ὄρθ, ὃ πρῶτον μὲν Θρόναξ ἐκαλεῖτο, ὕστερον δὲ, Κόκκυξ. τὸ δὲ Δία χειμῶνα ποιῆσαι δεινὸν τῇ ἡμέρᾳ ἐκείνῃ, τὸ δὲ Ἥραν προσομβρῆσαι ἀσικέως πρὸς τὸ ὄρος, ὡς καθέζεσθαι ἐπ' αὐτό, ὅπως ὡς ἱερὸν μεπέτηται αὐτῆς ἴδρυτο Τελέας Ἥρας ἐπωνομασθέν· τὸν δὲ κόκκυγα ῥιγῶντα, καὶ πεφεικότα διὰ τὸ χειμῶνα, καταπεπτωθῆναι καὶ καθεσθῆναι ἐπὶ τὰ γόνατα αὐτῆς, τὸ δὲ Ἥραν ἰδοῦσαν αὐτὸν, οἰκτεῖραι καὶ περιβαλεῖν τῇ ἀμπεχόνῃ· τὸν δὲ Δία αὖθις μεταβαλεῖν τὸ ὄψιν, καὶ ἐπιλαβέσθαι τῆς Ἥρας· τῆς δὲ τὸ μίξιν παραιτουμένης διὰ τὸ μητέρα αὐτῶν Ῥέαν, αὐτὸν ὑποσχέσθαι γυναῖκα ταύτην ποιήσασθαι· καὶ παρ' Ἀργείοις δὲ οἱ μέγιστοι τῶν Ἑλλήνων ἐτίμων τὸ θεόν· τὸ δὲ ἄγαλμα τῆς Ἥρας ὃν τῷ ναῷ καθήμενον ὃν θρόνῳ, τῇ χειρὶ εἶχε σκῆπτρον, καὶ ἐπ' αὐτῷ τῷ σκήπτρῳ κόκκυξ.

ΠΕΡΙ ΖΗΘΟΥ ΚΑΙ ΑΜΦΙΟΝΟΣ.

Ζῆθος, καὶ Ἀμφίων, μυθολογοῦνται ὅτι κιθάρᾳ τὰς Θήβας ἐτείχισαν· κιθαρίζοντες γὰρ, αὐτοὶ οἱ λίθοι αὐτομάτως ἐπὶ τὸ τεῖχος ἀνέβαινον. ἡ δὲ ἱστορία ἔχει ὅτως· Ζῆθος καὶ Ἀμφίων, Θηβαῖοι τὸ γένος, ἄριστοι κιθαρῳδοὶ ἐγένοντο, καὶ ἀπεδείκνυντο μισθῷ. ἀργύριον δὲ οὐκ εἶχον τότε οἱ ἄνθρωποι· ἐκέλευον δὲ οἱ περὶ τὸ Ἀμφίονα, καὶ εἴ τις βούλοιτο ἀκοῦσαι αὐτῶν, ἐρχόμενος ἐργάζετο ἐπὶ τὸ τεῖχος· οἱ μέντοι οἱ λίθοι ἀκροώμενοι ἵσαντο. εὐλόγως δὲν ὁ μῦθος προσανεπλάσθη, ὅτι λύρᾳ τὸ τεῖχος ἐκλίσθη.

ΠΕΡΙ ΖΗΤΟΥ ΚΑΙ ΚΑΛΑΪΔΟΣ.

Ζήτης καὶ Κάλαϊς υἱοὶ Βορέου ἐξ Ὠριθυίας τῆς Ἐρεχθέως πτερωτοὶ πλάττονται· ἔσχον δὲ ὡς ἀδελφὸν Κλεοπάτραν· ἣν τινα Φινεὺς ἔγημε. μετὰ ταῦτα Ἰδαίαν τὴν Δαρδάνου· ἥτις ἀπεχθῶς

ἔχο-

ἔχθρα πρὸς τὺς προγόνους, λέγω δὲ τὺς ἀπὸ Κλεοπάτρας υἱύς, ἐπειρᾶτο τυφλῶσαι αὐτύς· οἱ δὲ, ὅτι ὁ πατὴρ ἐτύφλωσεν αὐτύς, διαβαλλύσης τῆς μητρυιᾶς πρὸς αὐτόν.

ΠΕΡΙ ΖΩΠΥΡΟΥ ΤΟΥ ΒΑΒΥΛΩΝΙΟΥ.

Δαρεῖος, ὁ Περσῶν βασιλεύς, ἐπολιόρκει τὴ Βαβυλῶνα ἐπὶ χρόνον πολύν. καὶ δυσπορθήτου ὄσης αὐτῆς, καὶ ἀχάλλοντος ἐπὶ πολλῷ καιρόν, Ζώπυρός τις ἀνδρεῖος τὴ ψυχίω, ὡς ἔδοξε τὸ πρᾶγμα, καὶ οὐκ ἄδοξος παρὰ τῷ Κύρῳ, μηχανᾶται τοιόνδε· κόψας ἑαυτοῦ τὴ ῥῖνα καὶ τὰ ὦτα, καὶ μάστιξιν ἑαυτὸν ξάνας, δῆθεν αὐτομολεῖ πρὸς τὺς Βαβυλωνίους, ὡς δεινὰ πεπονθὼς παρὰ τοῦ Κύρου. εἶτα ἀπελθὼν προσποιᾶται δύνοιαν τοῖς Βαβυλωνίοις, στρατηγήσας ὑπὲρ Βαβυλωνίων, καὶ ἀνελὼν πολλὺς τοῦ Δαρείου. συνθεὶς δὲ σώθημα μὴ τοῦ Δαρείου ἡμέραν ὡεισμβίλω ὃν ᾗ δεῖ αὐτὸν προσβαλεῖν ὃν τῇ Βαβυλῶνι, ὃν ταύτῃ πείθει τοὺς Βαβυλωνίους λαβεῖν τὰς κλεῖς τῶν πυλῶν, εἶτα λαβὼν ἤνοιξε καὶ εἰσήγαγε τοὺς Πέρσας· καὶ ὕτως ἐχειρώθη ἡ Βαβυλών.

ῬΗΤΟΡΕΣ.

ΠΕΡΙ ΖΗΝΟΒΙΟΥ ΤΟΥ ΣΟΦΙΣΤΟΥ.

Ζηνόβιος σοφιστὴς, παιδεύσας ὃν Ῥώμῃ ἐπὶ Ἀδριανοῦ· ἔγραψεν ἐπιτομὼ τῶν παροιμιῶν Διδύμου καὶ Ταῤῥαίου ὃν βιβλίοις τρισί· μετάφρασιν Ἑλληνιστὶ τῶν ἱστοριῶν Σαλλυστίου τοῦ Ῥωμαϊκοῦ ἱστορικοῦ καὶ τῶν καλουμβίων αὐτῷ Βελῶν· γλυφθλιακὸν εἰς Ἀδριανὸν Καίσαρα, καὶ ἄλλα.

ΠΕΡΙ ΖΩΪΛΟΥ.

Ζώϊλος Ἀμφιπολίτης (πόλις Μακεδονίας) ὃς ἐπεκλήθη Ὁμηρομάστιξ, ὅτι ἐπέσκωπτεν Ὅμηρον. ῥήτωρ ἦν καὶ φιλόσοφος· ἔγραψε τινὰ γραμματικά· καὶ τὸ Ὁμήρου ποιήσεως λόγους ἑνδέκα· ἱστορίαν ἕως τοῦ Φιλίππου τελευτῆς, βιβλία δέκα· καὶ Ἀμφιπόλεως βιβλία τρία· καὶ τοῦ Ἰσοκράτους τοῦ ῥήτορος, καὶ ἄλλα πλεῖστα.

ΠΕΡΙ ΖΩΣΙΜΟΥ ΤΟΥ ΣΟΦΙΣΤΟΥ.

Ζώσιμος Γαζαῖος, ἢ Ἀσκαλωνίτης, σοφιστὴς καὶ τοῦ χρόνου Ἀναστασίου· ἔγραψε λέξιν ῥητορικὴν καὶ στοιχεῖον· καὶ ὑπόμνημα εἰς τὸν Δημοσθένην καὶ εἰς Λυσίαν.

ΠΕΡΙ ΖΗΝΟΔΟΤΟΥ ΤΟΥ ΓΡΑΜΜΑΤΙΚΟΥ.

ΖΗνόδοτος Ἀλεξανδρεύς γραμματικός· ὁ ἐπ. ἄτ. κληθεὶς πρὸς τὰ ὑπ. Ἀριστάρχου ἀθετήματα τῆς Ποιητ. ἔγραψε περὶ Πλάτωνα περὶ θεῶν· περὶ τῆς Ὁμηρικῆς συνηθείας· λύσεις Ὁμηρικῶν ἀπορημάτων· εἰς τὴν Ἡσιόδου Θεογονίαν, καὶ ἄλλα πολλά.

ΠΕΡΙ ΖΗΝΟΔΟΤΟΥ ΤΟΥ ΕΦΕΣΙΟΥ.

ΖΗνόδοτος, ἕτερος γραμματικὸς ἐπικαλούμενος Ἐφέσιος· μαθητὴς Φιλητᾶ, ἐπὶ Πτολεμαίου γεγονώς· ἔγραψε περὶ ἀνυποτάκτων, καὶ ὑποτάκτων.

ΠΕΡΙ ΖΩΝΑΙΟΥ.

ΖΩναῖος, ἔγραψεν ἐρωτικὰς ἐπιστολὰς, καὶ περὶ τοῦ σφαιρίζειν. φέρονται δὲ αὐτοῦ καὶ ἕτεραι ἐπιστολαὶ ἀγροικικαὶ, καὶ ἄλλα γραμματικά τε καὶ ῥητορικά.

ΠΕΡΙ ΖΗΝΩΝΟΣ ΤΟΥ ΕΛΕΑΤΟΥ ΦΙΛΟΣΟΦΟΥ.

ΖΗνων Τελαυταγόρου Ἐλεάτης φιλόσοφος τῶν ἐγγιζόντων Πυθαγόρᾳ καὶ Δημοκρίτῳ κατὰ τοὺς χρόνους. ὅστις πλέων, καὶ χειμῶνος συμβάντος, καὶ ναυαγίου γενομένου, ἀχρείως φέρων τὴν ἐσομένην αὐτῷ πενίαν, πρὸς τὴν τύχην ἐφθέγξατο· εὖγε, ὦ Τύχη, χάριτάς σοι ὁμολογῶ, ὅτι τὴν ἐμὴν οὐσίαν ἄχει τοῦ τελβωνίου περιέστησας· ὡς δηλονότι τινῶν τῶν σὺν τῇ οὐσίᾳ αὐτοῦ ἐμπεφορτισμένων τῇ νηΐ. καθελεῖν γ' θελήσας Νέαρχον, ὁ γ', Διομέδοντα τὸν Ἐλέας τύραννον, ἑάλω. καὶ ἐρωτώμενος ὑπ' αὐτοῦ, τὴν γλῶτταν αὐτοῦ σιδαικὼν καὶ ἀποπεμών, προσέπτυσε τῷ τυράννῳ· καὶ σὺν ὅλμῳ βληθεὶς, σωτρίβη πτισσόμενος. τοῦτόν φασιν εὑρετὴν εἶ) διαλεκτικῆς, ὡς Ἐμπεδοκλέα τὴν ῥητορικῆς· καθὰ καὶ Ἀριστοτέλης ἐν τῷ Σοφιστῇ. ἔγραψεν ἔτι δας, ἐξήγησιν τῶν Ἐμπεδοκλέους περὶ τοὺς φιλοσόφους περὶ φύσεως.

ΠΕΡΙ ΖΗΝΩΝΟΣ ΤΟΥ ΣΙΔΩΝΙΟΥ.

ΖΗνων Μουσαίου, Σιδώνιος, φιλόσοφος Στωϊκός· μαθητὴς Διοδώρου τοῦ καλουμένου Κρόνου, διδάσκαλος Ζήνωνος τοῦ Κιτιέως· ἔγραψεν ἀπολογίαν ὑπὲρ Σωκράτους, καὶ Σιδωνιακά.

ΠΕ-

ΠΕΡΙ ΖΗΝΩΝΟΣ ΤΟΥ ΤΑΡΣΕΩΣ.

ΖΗνων Διοσκοείδυ, Ταρσεύς· ὡς δέ τινες, Σιδώνιος φιλόσοφος· μαθητὴς Χρυσίππυ τοῦ Ταρσέως φιλοσόφυ Στωϊκοῦ.

ΠΕΡΙ ΖΗΝΩΝΟΣ ΤΟΥ ΜΝΑΣΕΟΥ.

ΖΗνων Μνασέυ, Κιτιεὺς, (πόλις Κύπρυ) φιλόσοφος· ὃς ἦρξε τῆς Στωϊκῆς αἱρέσεως· ἐπεκλήθη δὲ καὶ αὐτὸς Στωϊκός.

ΠΕΡΙ ΖΗΝΩΝΟΣ ΤΟΥ ΚΙΤΙΕΩΣ.

ΖΗνων ἕτερος Κιτιεὺς, οὗ δὲ ῥήτωρ τις ἰῶ, ἢ φιλόσοφος, ἄδηλον. ἔγραψε περὶ στάσεως· περὶ σχημάτων· ὑπόμνημα εἰς Ξενοφῶντα, εἰς Λυσίαν, εἰς Δημοσθένην, περὶ ἐπιχειρημάτων.

ΠΕΡΙ ΖΩΡΟΑΣΤΡΟΥ.

ΖΩροάστρης, Περσομήδης, σοφὸς ἐν τῇ ἀστρονομίᾳ. ἔγραψε περὶ φύσεως βιβλία πέντε· περὶ λίθων τιμίων ἕν· ἀστροσκοπικὰ ἀποτελεσματικὰ βιβλία ε.

ΠΕΡΙ ΖΩΡΟΜΑΣΔΟΥ.

ΖΩρομάσδρης Χαλδαῖος σοφός. ἔγραψε φυσικὰ καὶ μαθηματικά.

ΠΕΡΙ ΖΩΣΙΜΟΥ ΤΟΥ ΦΙΛΟΣΟΦΟΥ.

ΖΩσιμος Ἀλεξανδρεὺς φιλόσοφος· ἔγραψε χυμευτικὰ πρὸς Θεοσεβίαν τὴν ἀδελφήν· ἔστι δὲ καὶ στοιχεῖον ἐν βιβλίοις κή. ὑπογράφεται δὲ ὑπό τινων χειρόκμητα, καὶ Πλάτωνος βίος.

H

ΠΕΡΙ ΗΒΗΣ.

ΗΒη, θυγάτηρ Ἥρας ἐκ Διός· ἣν ὁ Ἡρακλῆς μετὰ θάνατον εἰς οὐρανὸν ἀνελθὼν ἔγημεν, ὡς λήθην. ταύτην πάλιν ὁ μῦθος Θεοῖς φησι παρθένον οὖσαν οἰνοχοεῖν. ἀλληγορικῶς δὲ

ἡ

ἡ Ἥβη Διὸς καὶ Ἥρας λέγεται, διὰ τὸ ἀκάματον καὶ ἀεὶ νεάζον τῶν στοιχείων, εἰς ἅπερ ἀλληγορεῖται Ἥρα καὶ Ζεύς.

ΠΕΡΙ ΗΕΤΙΩΝΟΣ.

Ἡετίων, ὁ πατὴρ Ἀνδρομάχης βασιλεὺς Θήβης. Κίλικες δὲ οἱ περὶ τὸν Θήβην ἐλέγοντο· ὧν ἦρχεν Ἡετίων, ὅτως ἀπὸ τοῦ αἰετοῦ ὀνομαζόμενος.

ΠΕΡΙ ΤΟΥ ΗΛΙΟΥ ΚΑΙ ΤΩΝ ΑΥΤΟΥ ΠΑΙΔΩΝ.

Ὁ Ἥλιος μυθεύεται εἶναι υἱὸς τῆς Θείας, ἥτις καὶ Λητὼ λέγεται, ὥσπερ καὶ ἡ Σελήνη· τοῦ δὲ Ἡλίου παῖδες γεγόνηνται παῖδες ὅτοι, Κέκαρφος, Τεναγής, Τριότης, Ἀκτὶς, Μακρὰς, καὶ Φαέθων ὁ νεώτατος, καὶ αἱ καλούμεναι Ἡλιάδες· καὶ ἄλλοι, ὡς ἐν τῇ παρούσῃ καταγραφῇ. Τὸ δὲ Φαέθοντα ἐκπεσόντα τοῦ πατρῴου ἡλιακοῦ ἅρματος μυθεύουσι καὶ τῷ Ἠριδανῷ ποταμῷ ἐμπεσόντα· ὅπερ γε καὶ αἱ αὐτοῦ ἀδελφαὶ Ἡλιάδες νυκτὸς ἐκώκυσαν· καὶ τῶν ὀφθαλμῶν ἀπέσταξαν δάκρυον ἠλέκτρου· εἶτα ὠγυγοι χρυσάμβαι ἀποστάζουσι τὸ τοιοῦτο δάκρυον.

Ἰστέον δὲ ὅτι ἤλεκτρος, οὐ τὸ ἐκ χρυσοῦ καὶ ἀργύρου κρᾶμα ἦν· ἀλλά τις λίθος χρυσοειδής· ἐξ οὗ καὶ λαβαὶ γίνονται μαχαίρας. ἔστι δὲ ἀχύρων ἐφελκυστική, ὡς ἡ μαγνῆτις σιδήρου. τινὲς δὲ τῶν παλαιῶν λέγουσιν ὅτι οὐ λίθος ἐστὶν ὁ τοιοῦτος ἤλεκτρος, ἀλλὰ δένδρου δάκρυον, πεπηγὸς εἰς σῶμα λιθοειδές.

Λέγεται δὲ Ἥλιος, οἱονεὶ δήλιός τις ὤν, καὶ φανερὸς, καὶ ἀφαιρέσει ἥλιος· ἢ ἅλιός τις ὤν, ὡς ἐξ ἁλὸς, ἤγουν θαλάσσης τὴν γένεσιν ἔχων. ἔστι δὲ ὀξυκίνητος ὁ ἥλιος ὑπὲρ τοὺς λοιποὺς τῶν ἀπλανῶν ἀστέρων· οὐ μὴν ὑπὲς τὸν οὐρανόν· ὁ γὰρ οὐρανὸς εἰς νυχθήμερον διάστημα περιστρέφεται, τοῦτο ὁ ἥλιος περιδινεῖται ἐνιαυτῷ. τοσοῦτον ὁ ἥλιος τοῦ οὐρανοῦ μὴν βραδύτερος, Κρόνου δὲ καὶ τῶν λοιπῶν ἀστέρων ταχύτερος· Κρόνος μὲν γὰρ τριάκοντα ἔτεσι περιοδεύει τὸν τοῦ οὐρανοῦ, ἓν ἔφιον νυκθημερείῳ περιστροφῷ. Ζεὺς δὲ, ἔτεσι ιβ'· Ἄρης, ἥλιος, ὡς ἔφιον, ἐνιαυτῷ· Ἀφροδίτη, μησὶ ιδ'· Ἑρμῆς, ἐνιαυτῷ, ἢ μᾶλλον μησὶν ἡ· ἡ δὲ σελήνη, ἐνὶ μόνῳ μηνί.

ΠΕΡΙ ΗΡΑΣ.

Ἡ Ἥρα, εἰς βασιλείαν, ἀνδρείαν, καὶ αἰθέρα μεταλαμβάνεται· ὅθεν καὶ ἡρῴα ζωὴ, ἡ βασιλική. διὸ ἀδελφὴ καὶ γυνὴ τοῦ Διὸς παραδέδοται· σωῆπται γὰρ αὐτῷ, καὶ κεκόλληται,

ται, αἰρομένη ἀπὸ τ γῆς, ἐκείνε αὐτῆς ἐπιβεβηκότος. ἐ γενόμενον ἐπὶ τῆς αὐτῆς νεώτεως· ῥυεῖσα γὰ εἰς λεπτότητα ἡ ὑγρὰ, τό, τε πῦρ, ἐ τὸν ἀέρα ὑφίστησιν· ἐφ' ᾧ κ) Γέην τινὰ μητέρα αὐτῶν ἐμυθεύσαντο εἶ), παπέρα δὲ τ Κρόνον. ἤτοι διὰ τὸ ὀκ πεπαχυμβύοις μέτροις χρόνε χρυέζ τωῦτα, ἢ διὰ τὸ κ) σύγκρισιν ἐ κρασμὸν τ ὕλης, τ εἰς τὰ στοιχεῖα διάκρισιν ἀποτελεῖζ· ἃ ὅπερ πιθανώτερον, διὰ τὸ πυκνοῦται ὑφίστασζ τ ἀέρα, ἡνίκ' ἂν ὀκ πυρὸς ἐκινεῖτο ἡ φύσις, ἐπὶ τὸ κρύπτειν κ) ἀποπλεῖν τὰ ὄντα. δοτέραν δὲ εἴδος ἐ πυκνότητος τ Ἥραν ὁ μῦθος ὅιδεν· εἰ κ) ἄλλως κοινότερον Ἀθηνᾶ τοῖς πυκνοῖς ἐστιτεῖ· Ἄρτεμιν ὃ μεγέθος τ κ) γυναῖκας, Ἀθηνᾶν ὃ τ γυμνασίας ἐφιᾶσι τέχνας· Ἀφροδίτην ὃ, γάμους. εἰ κ) ἑτέρως Ἥρα γάμων ἐπισατεῖν λέγεται. μυθικῶς ὃ Ἥρα ἐ Ἅδης βάλλονται· ἡ μὲν ὑπὸ Πύλῳ συμμαχοῦσα τῷ Νηλεῖ κ) τῷ Ἡρακλέες, ὅτε ἐ τ Πύλον ἐκεῖνος ἐπόρθησε φυγαδεύοντος, ἢ ἐ ἄλλως τρεφομένη παιδὸς ὑπὸ Γερήνοις τῷ Νέτορος· ὁ δὲ Ἅδης, κάτω ὑπὸ γῆν, ὅτε ὑπεχωρηθεὶς ὁ ῥηθεὶς Ἡρακλῆς, ὑπὸ Πλούτωνος ἄνευ ἀσπίδος κ) σιδήρε χειρώσαζ, εἰ ὅιός τέ ἐσι, τὸν Κέρβερον, αὐτὸς τῇ μὲν λεοντῇ ἀνὶ ἀσπίδος χρησάμενος, τοῖς ὃ βέλεσι λιθίνας ἐναρμόσας ἀκίδας, ὁποῖαι πολλαχῆ ἱσορῶνται, τὸν κύνα κατηγωνίσατο· μὴ δὲ τ ὑπνον, ἐναντιώμενον τὸν Ἅδην καπτόξασε, ἐ ὕπω τ Κέρβερον ἀνήγαγε.

Περὶ τῆς Ἥρας τῆς ἐν τῷ αἰθέρι ἐ ταῖς νεφέλαις κρεμαμένης σιδηροδέτε.

Ἡ Ἥρα, ὡς πολλάκις ἴσμεν, ἐζηλοτύπει τὸν Ἡρακλέα. τὸν αὐτὸν μὴ τὸ ὑποστρέφειν ὀκ τ Τροίας, ὅταν μὴ Τελαμῶνα ἐπόρθητεν αὐτῇ, ἐλυμήνατο· διαγόντων γὰ αὐτῶν, διεπόμπευεν ἡ Ἥρα τ θάλασσαν, ἐ ἐχείμαζεν αὐτόν, ἐ ἐκ τῆς ἀνέμης διήγειρεν. ἐ ὕπω τὸ τῷ Ἡρακλέες σκάφος τῇ βίᾳ κ) τῷ κλύδωνι ἐχειμάζετο. μαγγανείᾳ δέ τινι χρησαμένη, προτελθεῖν ἐποίησε τὸν ὕπνον τῷ Διΐ, κ) ἀφύπνωσεν αὐτόν· ἵνα μὴ ἐγρηγορὼς βοηθήσῃ τῷ Ἡρακλεῖ χειμαζομένῳ. μαθὼν ὃ μὴ τὸν ὕπνον ὁ Ζεὺς τὸ κατασκάσμα τ Ἥρας, τιμωρεῖται αὐτῇ ὕπας· δύο ἄκμονας δήσας αὐτῆς ἀπὸ τὰς πόδας, περὶ δὲ τὰς χεῖρας πέδας ἀλύτες, ἐκρέμασεν αὐτῇ ὀκ τῷ ὑρανῷ τιμωρῶν αὐτῇ.

Οὕτω μυθικῶς χαριέστερόν πως λήρεσιν, ὥσπερ κ) περὶ τῶ γάμε αὐτῶν ῥηθήται ὀκ τῷ τῶ Διός.

Περὶ

Περὶ τοῦ τ̃ Ἥρας ἐν τῷ Ἀργει ἱδρύματος.

Τιμὴν Ἥραν πολιοῦχον οἱ Ἀργεῖοι αὐτοῖς ἡγοῦντο· καὶ διὰ τοῦτο καὶ πανήγυριν αὐτῇ πεταγμένην ἦγον. ὁ δὲ τ̃ ἑορτῆς τρόπος, ἅμαξα βοῶν, τὸ χρῶμα λευκῶν· ἀπὸ δὲ τ̃ ἁμάξης ἔδει τ̃ ἱέρειαν ἐπ̃· ὅτε δὲ ἦγεν ἄγει τ̃ ναῦ. τὸ δὲ ἱερόν, ἔξω τ̃ ἄστεος· ὅτε δὲ τὸ αὐτῆς εἴδωλον ἵδρυτο· ὁ δὲ ψαλίδα χαλκῆν ἀνεβάστασεν· ἀπὸ μεταφορᾶς τῆς κειρούσης ψαλίδος τὰς τρίχας, ἐς καθαρὸν ἀποδεικνύσης τὸ σῶμα· ἐπεὶ ὁ ἀὴρ καθαίρει, εἰς ὃν ἀλλαγορεῖται ἡ Ἥρα.

Ἦκεν δ̃ ποτε ὁ χρόνος φέρων τ̃ ἑορτήν. ἐ δὲ νόμος ἀπὸ τ̃ βοῶν μὴ ὄντων, ἐχώλευεν· ἀλλ' ἡ ἱέρεια τ̃ ἀτοξίαν ἐσορίσατο, μήτηρ ὖσα νεανίσκων δύο Βίτωνος ἐς Κλεόβι, ἀντὶ βοῶν τῷ ἁρματι ζυομένων. ἐπεὶ τοίνυν τὸ ἐπ̃ τ̃ βοῶν, ἐπ̃ τ̃ παίδων ἐγένετο, στᾶσα κ̃ τὸ ἄγαλμα, μισθὸν ἀπήτει τ̃ πόνου· καὶ ἔδωκεν, φασίν, ἡ θεός. ὕπνον δ̃ ἦν ὁ αὐτὸς, κ̃ τ̃ βίου πέρας ἐζυόμενος. ταῦτα ἐπ̃ τῶν Ἀργείων ἐθρυλλεῖτο.

ΠΕΡΙ̃ ΤΟΥ̃ ΗΡΑΚΛΕΟΥ̃Σ.

Ἡρακλῆς, υἱὸς ἔργῳ μὲν Διὸς, λόγῳ δὲ Ἀμφιτρύωνος, ἐκ τῆς Ἀλκμήνης, κ̃ τ̃ τοῦ μύθου· καὶ γὰρ ὁ Ζεὺς ὁμοιωθεὶς τῷ Ἀμφιτρύωνι, συνεγένετο τῇ Ἀλκμήνῃ· καὶ ἐγεννήθη ὁ Ἡρακλῆς· ὃς ἐς τοὺς μεγάλους ἐκείνους ἄθλους δύνυσε· περὶ ὧν λέξομεν. ἀπ' αὐτοῦ δὲ πολλοὶ γεγόνασιν, ὧν πρῶτος ἐς ἔνδοξος ὁ Ὕλλος· ἐξ οὗ καὶ οἱ τῶν Λακεδαιμονίων βασιλεῖς, Ἡρακλεῖδαι λέγονται· καὶ γὰρ ἐ μόνον Δηϊάνειραν, ἐς Μεγάραν, ὡς οἱ μῦθοι, ἔγημεν, ἀλλὰ καὶ Ὀμφάλην, ἐς ἑτέρας. μ̃ θάνατον δὲ εἰς οὐρανὸν ἀνελθὼν, τ̃ Διὸς ἐς Ἥρας θυγατέρα Ἥβην ἔγημεν· ἣν ὁ μῦθος θεοῖς φησιν παρθένον οὖσαν οἰνοχοεῖν.

Πρῶτον τοιγαροῦν ὁ Ἡρακλῆς ἆθλον κατορθώσατο, φονεύσας τὸν ἐν Νεμέᾳ λέοντα, ὡς νεμόμενον καὶ ἀφανίζοντα τοὺς ἐν Ἀργείοις· Νεμέα δὲ, ὄρος ἐν Ἀργει.

Δεύτερον, ἀνελὼν τ̃ πεντηκοντακέφαλον Ὕδραν. περὶ δὲ τῆς Ὕδρας μυθεύεται, ὅτι θηρίον ἦν περὶ τ̃ Λέρνην, ἔχον πεντήκοντα κεφαλάς· τὰς δὲ κεφαλὰς εἶ ὀρέων. ὃ θηρίον, ἐλθὼν ὁ Ἡρακλῆς, ἀπέκτεινε. πεμνομένης δὲ μιᾶς κεφαλῆς, δύο ἀνῐ αὐτῆς παρεφύοντο· ὡς γίνεσθαι ἐπὶ τὸ διπλάσιον ἑκατὸν κεφαλάς· Ἰόλαος δὲ ὁ Ἰφικλέους, ἀδελφιδοῦς ὢν τῷ Ἡρακλεῖ, γνοὺς, τοῦτο ἐμηχανήσατο· καὶ πῦρ ἔφερε· ἐς τ̃ πεμνομένῳ κεφαλῇ ἐνεπίμ-

πρα-

πρα. καὶ ὕτως ἴσχυσεν ἀνελεῖν τὸ Ὕδραν ὁ Ἡρακλῆς· Ἡσίοδος δ' λέγει τοῦτον γενηθῆναι ἐκ τοῦ στόματος τῶν Γιγάντων. ἀφιγμένος δὲ εἰς Καλυδῶνα, τὴν Οἰνέως θυγατέρα Δηϊάνειραν ἐμνηστεύσατο· καὶ διαπαλαίσας ὑπὲρ τῶν γάμων αὐτῆς πρὸς τὸν Ἀχελῶον ἀπεκαθέντα ταύρῳ, περιέκλασε τὸ ἕτερον τῶν κεράτων· καὶ τὴν μὲν Δηϊάνειραν γαμεῖ· τὸ δὲ κέρας Ἀχελῶος λαμβάνει, δῶς ἀντὶ τούτου τὸ τῆς Ἀμαλθείας. Ἀμαλθεία δ' ἦν Αἰμονίδος θυγάτηρ, ἣ κέρας εἶχε ταύρου. τοῦτο δ', ὡς Φερεκύδης φησὶ, δύναμιν εἶχε τοιαύτην, ὥστε ποτὸν, ἢ βρωτὸν, ὅπερ ἂν αἰτήσαιτό τις, παρέχειν ἄφθονον. στρατεύει δὲ Ἡρακλῆς μετὰ Καλυδωνίων, ἐπὶ Θεσπρωτοὺς καὶ πόλιν ἑλὼν Ἔφυραν, ἧς ἐβασίλευε Φύλας, Ἀστυόχῃ τῇ τούτου θυγατρὶ συνελθών, παῖδα Τληπολέμου γίνεται. γνωρισθεὶς δὲ τούτων, αἰωχθέντος πρὸς Οἰνέα, κοινὸν παῖδας, ἀπέκτεινεν Εὔνομον τὸν Ἀρχιτέλους παῖδα, καὶ χειρῶν διδόντα. συγγενὴς δὲ ὢν τοῦ Οἰνέως. ὁ μὲν πατὴρ τοῦ παιδὸς, ἀκουσίᾳ γνωσθέντος τοῦ συμβεβηκότος, συνεχωρούνει. Ἡρακλῆς δὲ καὶ τὸν νόμον, φυγὴν ὑπομένειν ἤθελε· καὶ δὴ ἔγνω, πρὸς Κήϋκα εἰς Τραχῖνα ἀπιέναι. ἄγων δὲ Δηϊάνειραν, εἰς ποταμὸν Εὔηνον ἦλθεν· ὃν ᾧ καθεζόμενος Νέσος ὁ Κένταυρος, τοὺς παριόντας διεπόρθμευε· μισθὸν λέγων πρὸς Θεῶν τοῦτο τὸν πορθμὸν εἰληφέναι διὰ τὸ δίκαιον εἶναι. αὐτὸς μὲν ὢν Ἡρακλῆς τὸν ποταμὸν διέβη. Δηϊάνειραν δὲ μισθὸν αἰτηθεὶς, ἐπέτρεψεν ἔσω κομίζειν· ὁ δὲ, πορθμεύων αὐτὸν, ἐπεχείρει βιάζεσθαι. τῆς δὲ ἀναβοησάσης αἰσθόμενος, ἐξελθόντα Νέσον ἐτόξευσεν εἰς τὴν καρδίαν. ὁ δὲ, μέλλων τελευτᾶν, (ἄφυκτα γὰρ τὰ βέλη τοῦ Ἡρακλέους, ὡς κεχειρωμένα τῷ ἰῷ τῆς Ὕδρας) προσκαλεσάμενος Δηϊάνειραν, εἶπεν· ἐγὼ μὲν διὰ σὲ πλουτῶ, τοῦτο δέ σοι χαρίζομαι φιλίας ἐπιστάσης δικαίως. τὸ δὲ ἦν, ἀγγεῖον πλῆρες αἵματος ἐκ τοῦ αὐτοῦ τρώματος. ἀπατήσας τοίνυν αὐτὴν δέδωκε λέγων· εἴπερ Ἡρακλέα νοήτης ἑτέρας πόθῳ καταχεθέντα, ἐπίχεισον τοῦτο τοῖς ἱματίοις αὐτοῦ, καὶ πρὸς σὲ πάλιν ἀντιστρέψει τὸ πόθον. ἡ δὲ, λαβοῦσα, ἐφύλαττε παρ' ἑαυτῇ. διεξιὼν δὲ Ἡρακλῆς τὴν Δρυόπων χώραν, καὶ τροφῆς ἀπορῶν, σὺν τῷ παιδὶ αὐτοῦ Ὕλῳ, ὅντερ ἐπ' ὤμων ἐβάστασεν, ἀροτριῶντα, λεγόμενον Θειοδάμαντα, εὗρεν, καὶ ἠτήσατο αὐτὸν δοῦναι αὐτῷ ἄρτον. ὁ δὲ, οὐκ ἔδωκεν, ἀλλὰ καὶ ὕβρισε τὸν Ἡρακλέα. εἶτα ὁ Ἡρακλῆς ἕνα τῶν ἀροτριώντων βοῶν λαβὼν, ἔσφαξε, καὶ ἐθοινήθη, καὶ ὁ υἱὸς αὐτοῦ καὶ αὐτός. καὶ ἐκλήθη διὰ τὴν αἰτίαν ταύτην Βουθόινας, ἐπειδὴ ὅλον ἐθοι-

νήθη τὸν βῦν. ἔνθεν αὐτῷ γένονεν, ὁ πρὸς τὺς Δρύοπας πόλεμος. τῦ γὰρ Θειοδάμαντος ἀνελθόντος εἰς τ πόλιν, κὴ εἰπόντος ὡς πολέμιος ἦλθεν εἰς τὴν χώραν ἡμῶν, λέγων περὶ τῦ Ἡρακλέους, ἐξῆλθον καὶ αὐτὸς· κὴ νενίκηκε πάντας ὁ Ἡρακλῆς. ὧθις ἐκεῖθεν Αἰγιμίῳ βασιλεῖ συνεμάχησε Δωριέων· Λαπίθαι γὰρ περὶ γῆς ὅρων πρὸς αὐτὸν ἐπολέμουν, Κορώνυ στρατηγῦντος· ὁ δὲ, πολιορκύμενος, ἐπεκαλέσατο Ἡρακλέα, βοηθὸν ἐπὶ μέρει τ γῆς. βοηθήσας δ' Ἡρακλῆς, ἀπέκτεινε Κόρωνον μ ἄλλων· ἐ τὴν γῆν ἅπασαν ἐλευθέραν ἐποίησεν. ἀπέκτεινε δὲ ἐ Ἀλλαγόραν μ τ παίδων, βασιλέα Δρυόπων, ὑὸν Ἀπόλλωνος τεμένει, Λαπίθων σύμμαχον. παιόντα γὰρ Ἴτωνα εἰς μονομαχίαν, παρεκαλέσατο αὐτὸν Κύκνος ὁ Ἄρεος ἐ Πελοπίας· συστὰς δὲ, ἐ τῦτον ἀπέκτεινεν. ὡς δὲ εἰς Ὀρχομενὸν ἦκεν, Ἀμύντωρ ὁ βασιλεὺς ὐκ ἔασε μεθ' ὅπλων αὐτὸν παριέναι. κωλυόμενος δὲ παρελθεῖν, κὴ τῦτον ἀπέκτεινεν.

Ὕστερον δὲ ἐ Οἰχαλίαν πορθήσαντος, κὴ τὴν Εὐρύτυ θυγατέρα Ἰόλλην καλὴν ὖσαν ἄγοντος, ὡς ἤκυσεν ἡ Δηϊάνειρα τ Ἡρακλέα αὐτῆς κρατεῖσθαι τῷ ἔρωτι, ἐπεχείρησα τῷ αἵματι τῦ Κενταύρυ, ὅπερ λαβῦσα ἐτήρει, τὰ Ἡρακλέως ἱμάτια, μ θεράποντος Λίχα ἰῶτα ἀπέστειλε. περὶ δὲ τὸ Κήναιον Εὐβοίας ὲν ἀκρωτήριον θύων ὁ Ἡρακλῆς Διὶ χαριστήρια, στολίζεται τὸν πεφαρμακυμένον τῦτον χιτῶνα· ὑφ' ᾧ δραστηρίῳ ἐ πυρώδει κρατηθεὶς τῷ κνισμῷ πελύτᾳ, πρῶτον ἀπὸ τ πέτρας τ Λίχαν ῥίψας, ἐ ἀνελών. τὰ δὲ τόξα αὐτῦ Ἡρακλῆς τῷ Φιλοκτήτη καταλιμπάνει, ὡς τῦ πατρὸς Φιλοκτήτυ Ποίαντος τῇ πελύτῃ αὐτῦ συοργήσαντος. τὰ δὲ τόξα ταῦτα ὁ Λυκόφρων φησὶ, ὅτι παρὰ Τευτάρυ Σκήθυ βυκόλυ τῦ Ἀμφιτρύωνος ἔσχεν Ἡρακλῆς, ὅτε Τεύταρος κὴ τοξεύειν τῦτον ἐδίδαξεν. ἄλλοι δὲ Εὐρυτόν φασι διδάξαι τῦτον τ τοξικὴν, ἢ Ῥαδάμανθυν τὸν Κρῆτα, πατρῷον τῦτον γνώμονα· μετὰ γὰρ τ θάνατον Ἀμφιτρύωνος, Ῥαδάμανθυς ἀνελὼν τ ἴδιον ἀδελφὸν φυγὼν ἐκ Κρήτης, κὴ εἰς Ὠκαλέα Βοιωτίας ἐλθὼν, γαμεῖ τ Ἀλκμήνην, κὴ Ἡρακλεῖ διδάσκει τ τοξικήν.

Καὶ ἄλλως, ἐ περὶ τῆς γεννήσεως αὐτοῦ, ἐ διατί τριέσπερος προσηγορεύθη.

Ὁ Ἡρακλῆς τριέσπερος προσηγορεύθη, ὅτι Ἀμφιτρύων ἐπὶ Τηλεβόας ἐστράτευσεν, ἐκδικῆσαι θέλων τὺς ἀδελφὺς τῆς αὐτῦ γυναικὸς Ἀλκμήνης, κὴ τ πατέρα· ὅιτινες αὐτὺς διεχειρίσαντο δι' αἰτίαν τοιήνδε· Περσέως κὴ Ἀνδρομάχης πέντε ἐγένοντο παῖδες·

δες· Ἀλκαῖος, Σθένελος, Μήστωρ, καὶ Ἠλεκτρύων, ὁ τῆς Ἀλκμήνης πατήρ. Περσέως δὲ πεθνηκότος κοινῇ τὴ βασιλείαν εἶχον ὅτοι· Μήστορι δὲ θυγάτηρ Ἱπποθόη· ἧς καὶ Ποσειδῶνος Περέλας· τῷ δὲ, Τηλεβόας, ἐς Τάφος· ἀπὸ μὲν ὃν τῷ Τάφῳ, ἡ νῆσος Τάφος ἐκλήθη, μία ὅτα τῶν Ἐχινάδων, ἣν ὤκεν· ἀπ' ἀμροτέρων δὲ Τάριοι καὶ Τηλεβόαι ἐκλήθησαν. ἐλθόντες ὃν οἱ τῷ Περέλα παῖδες ἦτεν ἐπὶ τῷ Ἠλεκτρύωνος τὰ τῆς μάμμης αὐτῶν Ἱπποθόης χρήματα. ὡς δὲ ἐνέστη ὁ Ἠλεκτρύων, αὐτόν τε οἱ Τηλεβόαι, καὶ τὰς υἱὰς ἀνῆλον· καὶ τὰς βῶς τῷ Ἠλεκτρύωνος ἐκεῖθεν ἀπήλασαν. σραπύσαντος ὃν ἐπὶ τύλῃς τῷ Ἀμφιτρύωνος, ὁ Ζεὺς τρεῖς ἐπέρας εἰς μίλω μεταβαλὼν, σιωκάθιδε τῇ Ἀλκμήνῃ· καὶ δὲ τὸ αὐτὴν ἐπέρῳ, καὶ Ἀμφιτρύων πάλιν νοσήσας, καθίδε τῇ γυναικί. ἡ δὲ διδύμας παῖδας γεννᾷ, ὃν μὲν Διὸς Ἡρακλέα, ὃν δὲ Ἀμφιτρύωνος Ἰφικλέα· διὰ τῦτο δὲ τριέσπερον αὐτὸν καλῦσιν. φασὶ δὲ τὸ Ἡρακλέα Ἀχελώῳ μονομαχῆσαι τῷ ποταμῷ· ἐπεὶ Ἀχελῷος μεταξὺ ῥέων Αἰτωλῶν καὶ Κυρήτων, πολλὰ τῆς χώρας ἀπεπέμνετο, ποτὲ μὲν τύτοις, ποτὲ δὲ ἐκείνοις σροτιθείς· ἐφ' ᾧ δὲ νείκῳ ἦν ἑκάτεροι. Ἡρακλῆς ὃν ἐλθὼν, ἐς τὸ ποταμὸν περικλείσας, εἰς ἓν ῥεῖθρον καὶ μίλω ἐκβολλὼ ἀπέδωκε τοῖς Αἰτωλοῖς τὸ ἑωυτῶν γλῶ, καὶ τὴν Οἰνέως Δηϊάνειραν ἔλαβεν εἰς μισθαποδοσίαν. γήμας δὲ αὐτλὼ καὶ διάγων ὀν Καλυδῶνι σὺν τῷ Οἰνεῖ, ὃν συμποσίῳ Κύαθον, τὸ Οἰνέως οἰνοχόον, Ἀρχιπέλης δὲ παῖδα, πλήξας κονδύλῳ, ἀνῆλεν· ὅτι αὐτῷ τὰ ποδόνιπτρα ὕδατα ἀγνοῶν ἐπὶ τῶν χειρῶν ἐπέχεεν. φεύγων ὃν τὸ φόνον, καὶ σὺν τῇ γαμετῇ σπελλόμενος, ἀνῆλεν ὃν Εὐήνῳ ποταμῷ τὸν Κένταυρον Νέσον, ὡς Ἀρχίλοχος ἱστορεῖ. ἔπειτα σροϊὼν ἔφερε ἐς Ὕλλον τὸν υἱόν· ἐς ἐλθὼν εἰς τὴν Δρυοπίδα, (λησρικὸν δὲ τὸ ἔθνος, ὁμορῦν τοῖς Μηλιεῦσιν) τῷ παιδὸς πεινῶντος, καὶ τῷ παιδαγωγῷ Λίχα ἀπολιμπανομένῳ, σιωτυχὼν Ἰῶ Θεοδάμαντι, ἠτεῖτο ὀλίγλω τροφήν· ὁ δὲ ὐκ ἐδίδω. ὀργισθεὶς δὲ ὁ Ἡρακλῆς, καὶ ἀποσπάσας αὐτῷ ἕνα τῶν βοῶν, θύσας εὐωχεῖτο. ὁ δὲ Θεοδάμας ἐλθὼν εἰς τὴν τῶν Δρυόπων πόλιν, ἐξῆλθ αὐτὸς καθ' Ἡρακλέως· ἐς εἰς τοσαύτην ἀνάγκλω καπέστη ὁ Ἡρακλῆς, ὡς καὶ τὴ γυναῖκα Δηϊάνειραν καθοπλίσαι· ὥστε δὴ καὶ τρωθῆναί φασι αὐτὴν καὶ τὸ μαζόν. περιγενόμενος δὲ αὐτῶν, καὶ ἀνελὼν τὸν Θεοδάμαντα, ἀνεδέξατο τὸν τύτε υἱὸν Ὕλλαν· καὶ τὸ παῖς δὲ ἔθνος διὰ τὴν λιτείαν μετῴκησε σὺν Τραχῖνα τὴν Θεσσαλικὴν πόλιν, ἐς Οἰτῷ τὸ ὄρος σρὸς τοῖς ὄροις τῆς Φωκίδος,

ἵνα τῇ πολλῇ τῶν ἀνθρώπων ἐπιμιξίᾳ τὸ λῃστρικὸν ἦθος ἀπόσχωνται· τούτων δὲ ϗ Καλλίμαχος μέμνηται.

Καὶ ἄλλως περὶ τοῦ Ἀχελῴου, ϗ τοῦ τῆς Ἀμαλθείας κέρατος, ϗ τῆς καύσεως αὐτοῦ.

Ἀχελῶος λέγεται ὅτι κλασθεὶς τὸ ἀριστερὸν κέρας ὑφ' Ἡρακλέους, τὸ τῆς Ἀμαλθείας κέρας ἀνέδωκε, δι' οὗ πᾶν ἀγαθὸν ἐχορηγεῖτο τῷ χρήζοντι. τοῦτο δὲ οἱ τῶν μύθων θεραπευταὶ ὡρὸς ἀλήθειαν συμβιβάζοντες, τοιοῦτόν τι φασὶν αἰνίττεσθαι· Ἡρακλῆς ἐργετεῖν εἰώθως τὰς ὁποιαπερ γῆς, εἶτα ϗ τὸν ποταμὸν τοῦτον μαθὼν πλημμελῶς ῥέοντα, ϗ ταῖς καμπαῖς πολλῷ τῆς Αἰτωλικῆς ὑπερπεμπόμενον, ϗ ὅτως ἀδικοῦντα, παραχώμασί τισι ϗδη διώρυξι, ϗ διοχετείαις αὐτὸν ἐβιάσατο. ϗ στρεψάμενος, ϗ ῥέειν σωφρόνως ποιήσας, ἀπέψυξε τῷ γῇ, ϗδη εἰς ἀγαθοποιὸν εὐχρησίαν μετήγαγε, ϗ τὸ τοῖς ἐγχωρίοις ἐπαειπρὸν κέρας τοῦ ποταμοῦ, τὴν ἄτακτον καμπῷ δηλαδὴ τὴν, ὡς εἰπεῖν, ἀτέραμνον ϗ σκληρὰν τοῖς ἐκεῖ, εἰς μαλθακῷ οἷον ἀντιπαρέστησε δεξιότητα. ϗ ταῦτά εἰσι τὰ κέρατα τοῦ Ἀχελῴου, τό, πρόβιον, τὸ καταπονηθὲν, ϗ τὸ πλαστοποιὸν, τὸ ἀντιδοθὲν, δι' οὗ ϗ Ἡρακλῆς ἀνέργετος ἔγνωσται· τὰς γάρ τοι τῶν ποταμίων ῥεύθρων καμπὰς, κέρατα ἐκάλων οἱ παλαιοί· ϗ διὰ τοῦτο ταυροκράνους ϗ κερασφόρους ἐτύπων αὐτούς· ϗ ὅτω μυθί τινες περὶ τῶν κ τὸν Ἀχελῶον.

Ἕτεροι δὲ αὐτὸν μυθικῶς ἀφῆκαν ὅποι βάλοιτο ῥέειν, τὸ δὲ τῆς Ἀμαλθείας μόνον κέρας τὸ δαιμόνιον ἐν λύγῳ ἔθεντο· ϗ τὰ αὐτόθι τοῦ μύθου ἰσοδυναμοῦντες, ἰσορρόπως γραῦν τινὰ Ἀμάλθειαν γενέσθαι κερδαλέαν, ἐμπορικὴν, τὸ πολὺ τ' ἐμπολῆς ἐντιθεῖσαν κέρατι, ὃ διὰ τοῦτο Ἀμαλθείας κέρας ἐφημίζετο, πλαστοποιὸν ϗ βιωφελές. ἐπεὶ δὲ ὁ Ἡρακλῆς ἀφελόμενος αὐτὸ πλήρες τοῦ ἐγκειμένου κέρματος, ϗ χρησάμενος ἔζησε ὡρὸς τρυφὴν, λόγος ἐντεῦθεν διεδόθη ἀσεμνος, ὡς ἄρα τῷ Ἡρακλεῖ τὸ τ' Ἀμαλθείας κέρας ἐκβλύζειν πᾶν ἀγαθόν· ὑ τὸ τῆς μυθικῆς αἰγὸς τῆς θρεψαμένης τὸν Αἰγίοχον Δία, ἀλλὰ τὸ τῆς ῥηθείσης γραός. ἄλλοι δὲ τὸ τῆς Ἀμαλθείας κέρας, δι' ὅπερ εὖ ἔχει τὰ κ τὸν Ἡρακλέα, τὸ σκληρὸν φασι τῆς διαίτης ἐκείνου, ϗ τὸν τοπ' καλ' ἀρετὴν βίον αἰνίττεσθαι, ὁτινίκα ἡμίγυμνος τειλίων ϗ ἐκκαθαίρων κακίας τῷ γλιῷ, ὑ μαλθακῶς εἶχεν, ἀλλὰ σκληρότερον τοῖς φαύλοις ὡροσεφέρετο.

Περὶ τῆς λεοντῆς.

Τῷ λεοντῆν ϗ γδ μόνῳ τοῦ λέοντος, ὅπερ ἀνεῖλεν, ἐδέδυτο

ὅτις

ὅστις ἐν Νεμέᾳ τῇ χώρᾳ ἦν τοῦ Ἄργους, ὡς εἴρηται, ἄτρωτος σιδήρῳ, καὶ βολαῖς παντοίαις· ὃν Ἡρακλῆς συνθλάσας τῇ οἰκείαις χερσὶ, σκεπαστηρίῳ τῷ τότε δέρματι ἐκέχρητο, ὡς ἔνδοξον ἔργον πεποιηκώς. τὸ τοίνυν τῆς Ἀμαλθείας κέρας ἦν, ἡ ἀμάλθακος ὡρὸς πόνος ἀντιτυπία τοῦ ἥρωος.

Πῶς νοητέον τὸν τοῦ Ἡρακλέους πυρά.

Ὅτε μέντοι ἐμελέτησεν οἰκεῖραν, ἀναπεσθεὶς ὑπὸ γυναικὸς, καὶ σκιατραφάκτυος, καὶ ἱμάτια ἐνεβάλλετο θάλποντα, καὶ ἀνέτι ὡρὸς ψῦχος ἐγυμνάζετο, ἀλλ' ἐθάλφθη, καὶ ὑπεμαλάχθη ὡρὸς τρυφὴν ἀτοκλίνας, κατακαίει ὁ λόγος τὸν ἥρωα, τὸν ἐκ τῆς περιβολῆς θάλψιν εἰς πυρὰν αὐτῷ ὑπανάψας.

Ἄλλος δέ τις λόγος Λιβυκόν τι χωρίον πάμφορον, ἐοικὸς βοὸς κέρατι κατὰ τὸ σχῆμα ἐκτίθεται, καὶ εἰς κτῆμα γυναικί τινι Ἀμαλθείᾳ δίδωσιν· ὅπερ διὰ τὸ καρπῶν παντὸς εἰς πολλαπλάσιον δοτικὸν εἶναι, ὁ μῦθος εἰς βόειον κέρας μεταλαβὼν, τὰ θρυλλούμενα περὶ αὐτοῦ παραδίδωσιν. εἰ δέ τι παραπέπλωκεν ἀγαθὸν τοῦ τοιούτου κέρατος ὁ Ἡρακλῆς, ὅτε εἰς Λιβύην ἀπεδήμησε, λέγοιτο ἂν ἔτι μετεῖναι τῷ Ἡρακλεῖ τοῦ τοιούτου τῆς Ἀμαλθείας κέρατος· καὶ ἴσως μὲν εἰς τοσοῦτον ἱκανῶς, ἡμᾶς τοῦ κατὰ τὸν Ἀχελῶον ἐπὶ τὰ τοιαῦτα οἷον ἀναζεύξαντος ῥεύματος. ἔπωμεν δὲ καὶ περὶ τοῦ προρρηθέντος Ὕλα τίνα τρόπον αὐτὸν ὁ Ἡρακλῆς ἀπώλεσεν.

Περὶ τῆς ἁρπαγῆς τοῦ Ὕλα.

Μετὰ τῆς Ἀργοῦς εἰς Κόλχους, σὺν Ἰάσονι, πλέων ὁ Ἡρακλῆς, ἐν Κίῳ τῇ πόλει ἐξελθὼν, καὶ πέμψας τὸν ἐρώμενον αὐτοῦ Ὕλαν ὕδωρ ἀντλῆσαι, περιέμενεν αὐτόν. τοῦ δὲ ὑδρευομένου ὑπὸ Νυμφῶν ἁρπασθέντος, Ἡρακλῆς πολὺν χρόνον ἐζήτει, ἀλλ' ἀδὲν ἤνυσεν. ὕστερον δὲ ὑπό τινος αἰθερίας φωνῆς ἤκουσε, ποθεῖς τὸν ἀπαρόντα, καὶ μάτην καλεῖς· ὃ δὲ εἰς παροιμίαν ἐλήφθη, ἐπὶ τοῖς μάτην προσδοκῶντων.

Περὶ τῶν Στυμφαλίδων ὀρνίθων.

Περὶ δὲ τῶν Στυμφαλίδων ὀρνίθων τάδε θρυλλεῖται· ἐν Ἀρκαδίᾳ Στύμφαλος πόλις ἐστὶν, ὅπου καί τις λίμνη Στυμφαλὶς καλουμένη· ἐν ᾗ ὄρνιθές τινες πλάττονται σιδηρόπτεροι νήχεσθαι τὰ λαὸν ἐνοχλεῖσθαι, αἵ τινες ἐκ προσιόντας τοξεύεται, τοῖς ἑαυτῶν πτεροῖς ἀπέκτεινον. ταύτας οὐκ ἠδύνατο ἀπώσασθαι Ἡρακλῆς, εἰ μὴ κρόταλον χαλκοῦν ψόφον ποιοῦν ἐφόβησε. καλοῦσι δὲ αὐτὰς καὶ Πλωΐδας, διὰ τὸ ἐν τῇ λίμνῃ νήχεσθαι. Μνασέας δ' τὰς Στυμ-

φα-

φαλίδας φησὶ θυγατέρας γενέσθαι Στυμφάλου υἱοῦ ἥρωος, καὶ Ὀρνιθοῦ γυναικὸς, ἃς ἀνελεῖν τὸν Ἡρακλέα, ὅτι οὐ προσεδέξαντο αὐτὸν, ἀλλ' ἐξένισαν τοὺς Μολίονας. ὁ δὲ Φερεκύδης οὐ γυναῖκάς φησιν, ἀλλ' ὄρνιθας εἶναι δὲ ἀναιρεθῆναι ὑπὸ Ἡρακλέους, πλαταγῆς δοθείσης αὐτῷ πρὸς τὸ κτυπεῖν καὶ ἐκφοβεῖν αὐτάς· τινὲς δὲ Στυμφαλίδα λίμνην φασὶ, διὰ βερέθρων ἐκδοθεῖσαν ξηρανθῆναι.

Περὶ τῶν Γηρυονείων βοῶν.

Τὰ δὲ περὶ τῆς εἰς τὰς Γηρυόνου βοῦς ἀποδημίας αὐτοῦ ὧδε ἔχει· Ἡρακλῆς ἀφικόμενος ἕνεκα τοῦ τὰς Γηρυόνου βοῦς ἐλάσαι, σπέρμα τῶν ἀτραφῶν βοῶν εἰς Ἑλλάδα οἰσόμενος· καὶ τῷ Λίγυϊ κωλυθεὶς, ἀφ' οὗ καὶ οἱ Λίγυες ἐπωνομάσθησαν, ἤυξατο τῷ πατρὶ Διὶ ἐπαμῦναι. καὶ γὰρ αὐτὸν πᾶν ἀμωτήριον βέλος, ὡς οἱ μῦθοι, ἐπέλιπεν· ὁ δὲ ἀναγαγὼν νεφέλιον, λίθους ἄνωθεν ὗσεν· ἐξ ὧν καὶ τὸ λίθινον πέδον μεταξὺ Μασσαλίας καὶ Ῥηγένης, μεστὸν χειροπληθῶν λίθων μυθεύεται. καὶ ὅτως ἀφεθεὶς, εἰς Ἐρύθειαν ἀπέπλευσε νῆσον τοῦ Γηρυόνου πρὸς τὸ Ἀτλαντικὸν πέλαγος βυτρόφον οὖσαν καὶ ἀοίκητον τοῖς ἄλλοις διὰ τὸ ἐκείνου κακόξενον. μυθεύεται δὲ ὁ Γηρυόνης τερατόφαλος καὶ ὑπόπτερος. Στησίχορος δὲ καὶ ἐξ χεῖρας φησὶν ἔχειν αὐτὸν, καὶ ἐξ πόδας. ἀλλ' ὅμως ὁ πελώριος Ἡρακλῆς εἰς αὐτὸν πλεύσας χαλκῷ λέβητι, ὡς φησιν ὁ Εὐφορίων,

Χαλκείῃ ἀκάτῳ βυθλήθεος ἐξ Ἐρυθείας.

ὁμοίως καὶ ὁ Ἐφέσιος Ἀλέξανδρος·

Χαλκείῳ δὲ λέβητι μέγαν διενήξατο πόντον.

αὐτὸν καὶ τὸν αὐτοῦ κύνα Ὄρθον ἀδελφὸν Κερβέρου ἀποκτείνας, τοὺς Γηρυονέως ἀπήλασε βοῦς. τάχα δὲ ὁ μὲν ῥηθεὶς λέβης, πλοίου εἶδος ἦν, ᾧ καὶ ὁ ληστρικὸς λέμβος ἔοικε παρηχεῖσθαι, καὶ παρωνομασίαν τινά. τὸ δὲ τοῦτο χάλκεον συγκρότημά τινα χαλκοῦ δηλοῖ ἐπ' αὐτῷ, ὡς ἔνιοι τυχὸν χαλκέμβολον ἦν, ἢ πασσητήν τινα, ὡς εἰκὸς, ὅτι τοιαύτης εἶχεν ὕλης περὶ τὰ κατώμυαν, ἢ κατώραν. παραπλέων δὲ τοὺς τόπους Χαρύβδεώς τε καὶ Σκύλλης μετὰ τῶν βοῶν, ἀπώλεσεν αὐτόθι τινὰς ἐξ αὐτῶν, καὶ ἀνακαθαίρει τὸν τόπον περὶ τὸ Ῥήγιόν τισι μηχαναῖς· ὅθεν καὶ ἐμυθεύσαντο τινὲς Σκύλλαν αὐτὸν ἀνελεῖν. Φόρκυς δὲ, ἤτοι ἡ θάλασσα, ὁ τούτης πατὴρ, ἡ γὰρ θάλασσα δυσχερῆ ταύτην ἐποίει, λαμπάσιν αὐτὴν πάλιν ἀνεζώωσεν, ἢ κινήσεσι. καὶ χρόνοις πάλιν τὰ ὑφ' Ἡρακλέους ἀνακάθαρσιν, καὶ τὸ μηχάνημα, ἡ θάλασσα χέασα, μετέστρεψεν εἰς τὴν ἀρχαίαν δυσχέρειαν.

Ἰσ-

Ἰστέον δὲ ὅτι ὁ Ἀρριανὸς δοξάζων τὸ Τύφιον Ἡρακλέα τοῖς περὶ τὰ Γάδειρα τόποις ἐπιφοιτῆσαι, (σημειοῦνται γὰρ οἱ παλαιοὶ πολλὰς χωρὶς Ἡρακλέας,) λέγει, ὅτι κατὰ τὸν λογοτοιὸν Ἑκαταῖον, ὁ Γηρυόνης, ἐφ' ὃν ὁ Ἀργεῖος Ἡρακλῆς ὑπὸ Εὐρυσθέως ἐστάλη, οὐδέν τι φροσήκει τῇ γῇ τῶν Ἰβήρων, ἦγουν οὐκ ἦν ἐξ Ἰβηρίας, ἀλλὰ τὴν ἠπειρον τὴν περὶ Ἀμφρακίαν, βασιλεὺς ἐγένετο. καὶ ὃν τὴν ἠπειρον ταύτης ἀπήλασεν ὁ Ἡρακλῆς τὰς βοῦς, οὐδὲ τοῦτο φαῦλον ἆθλον τιθέμενος. οἶδα δέ, φησὶν, ἐγὼ καὶ εἰς τοῦτο ἔτι τοῦ ἤπειρον ταύτην εὐβοτον, ὡς βοῦς τρέφουσαν καλλίστας· καὶ ταῦτα μὲν ὕστω.

Περὶ τοῦ Κερβέρου.

Ῥητέον δὲ καὶ περὶ τοῦ προρρηθέντος Ὄρθου ἀδελφοῦ, λέγω δὴ τοῦ Κερβέρου. Κερβέρῳ τῷ τοῦ Ἅδου κυνὶ, κυνὸς μὲν κεφαλὰς προσάπτουσι τρεῖς, ὄφεων δὲ φοπλάττουσι δράκοντος, ἐπὶ δὲ νώτου φοσφυήσας ὄφεων κεφαλάς. τοῦτον νεκροφύλακα τοῦ Ἅδου φασὶ καταπεθῆναι χαλκεόφωνον ὄντα· οὗ ὁ μεγαλόφρων Ἡρακλῆς σταλεὶς ὑπὸ Εὐρυσθέως ἀνάξαι, φοσέχε τῷ Ἀχέροντι, ὃς ἦν τοῦ Ἅδου ποταμός. ἰδὼν δὲ ἀχερωΐδα, ἣ καὶ λεύκην καλοῦμεν, ἐκ τῆς ὀφθαλμίας θαυμάσας τὸ δένδρον, ἐστεφανώθη, καὶ ἀνήγαγεν ἅμα τῷ Κερβέρῳ· ἦν τινα καὶ τῷ ἡλίῳ ἔδειξεν. ὡς ἄκαρπος οὖν ἡ Ἀχερωὶς, τῷ Ἅδῃ ἀνάκειται· διὸ καὶ ἱπποι καὶ αἴγειροι τῆς τῆς Περσεφόνης πληροῦσι λειμῶνα. ἀνελκόμενος δὲ ὁ χαλκεόφωνος κύων, καὶ λυττήσας, δεινὸν κατὰ τοῦ Ποντικοῦ Ἡράκλειαν ἔβαλε σίελον· ὃν δεξαμένη ἡ γῆ αὐτόθι βλάβος ἐφύτευσε τὸ ἀκόνιτον. ὄνομα δὲ δηλητηρίῳ φαρμάκῳ τούτῳ ὑπῆρξε, φοὺς ὁ ὄφις ἐστὶ κονισαλὶς, καὶ οἷον παλαιὸς, καὶ ἀντιπαλαμήσαλις. διὰ τοῦτο δὲ καὶ ἀκόνιτον λέγεται, οἱονεὶ ἀκαταπάλαιστον. λέγουσι δὲ καὶ ὅτι τὸ ἀκόνιτον πάλαι μὲν ἀσινὲς ἦν· ὕστερον δὲ κακόν τι γέγονε φάρμακον, διὰ τὸν ἰὸν, ὃς τῶν ἐχιδνῶν ἀποστάξας, αἱ τοῦ τοῦ Κερβέρου κεφαλῆς ἐκπεφύκασιν, ἔβλαψε τὴν πόαν. καὶ τάχα τις ἀσχολόμενος φοὺς τὸν μῦθον, καὶ τὸν Ἡράκλειον τοῦτον ἆθλον κάτω βάλλων, ἔτι δὲ καὶ τὸν μῦθον, ἐρεῖ μηδὲν ἀγαθὸν τὸν Ἡρακλῆ ἐνταῦθα καταφράζαλις· ὁ γὰρ τοσοῦτον ἀνθρώποις εἰς πῆμα τὸν Κέρβερον κάτω μένοντα, ὅσον ἄνω χθόμενον· τότε γὰρ νεκροῖς ἐνεκάθητο, ὃς καὶ οὐκ ἔστι δὶς θανεῖν. ἄνω δὲ φανεὶς, καὶ τὸ ἀκόνιτον ἐκφήνας, κακὸν μέγα τοῖς ζῶσιν ἐχθύετο. μετὰ δὲ τὴν τοῦ Κερβέρου ἀναγωγὴν, εἰς Θήβας ἐλθὼν ὁ Ἡρακλῆς, Λύκον Θηβῶν βασιλεύοντα, καὶ βιαζόμενον Μεγάραν τὴν Κρέοντος μὲν θυγα-

πέ-

τέρα, γυναῖκα Ὑ Ἡρακλέως, τοξεύσας ἀνεῖλε. μανίᾳ δὲ συνεχεθεὶς, τῇ τ Ἥρας ὀργῇ, καὶ τ ἰδίαν γυναῖκα τ Μεγάραν, ⸫ τὰς τέσσαρας αὐτῆς παῖδας, Ὀνίτην, Θηρέμαχον, Δημοκόοντα, τοξεύσας, ἀνεῖλεν. ὁ Ὑ Γίνδαρος ὀκτὼ λέγει παῖδας Μεγάρας ἀνελεῖν Ἡρακλέα. ἕτεροι δὲ, καὶ δύο υἱὰς Ἰφικλέους τοῦ ἀδελφοῦ, σὺν τοῖς τε Μεγάρας παισὶ λέγουσιν ἀνελεῖν.

Περὶ δὲ τῶν χρυσῶν μήλων ταῦτα λέγεται· γυναῖκές τινες ἦσαν Ἑσπερίδες καλούμεναι, διὰ τὸ ἑσπέρας ἐπιφαίνεσθαι, ἢ ἀπὸ τοῦ ἐν τῇ Ἑσπερίᾳ κατοικεῖν, Φόρκυ καὶ Κητοῦς θυγατέρες. ταύταις δὲ ἦν μῆλα χρυσᾶ ἐπὶ μηλέας, ἣν ἐφύλασσε Δράκων, ὁ καὶ Λάδων ὀνομαζόμενος· ἐφ᾽ ᾧ μῆλα Ἡρακλῆς ἐστρατεύσατο. τοῦτο δὲ κατά τινας· Ἀγροίτας δὲ ἐν τείλῳ Λιβυκῶν φησι, μὴ μῆλα εἶναι, ἀλλὰ φοβατα κάλλιστα, ἃ χρυσᾶ ὠνομάσθη· ἔχειν δὲ ταῦτα ποιμένα ἄγριον, ὃν, διὰ τὸ ἀνήμερον, δράκοντα ἐκάλουν. Φερεκύδης δὲ ἐν δεκάτῳ, τ Ἥρας φησὶ γαμουμένης τῷ Διΐ, τ γῆν ἀναδεδωκέναι ἐν τῷ Ὠκεανῷ μῆλα χρυσᾶ, ἃ μηλέας χρυσοῦν καρπὸν φερούσας· φυλάττειν δὲ αὐτὰ Δράκοντα τὸν Τύφωνος καὶ Ἐχίδνης, ἔχοντα κεφαλὰς ἑκατὸν, καὶ φωνὰς παντοίας· καὶ ὅτι αἱ νύμφαι αἱ Διὸς καὶ Θέμιδος οἰκοῦσαι ἐν πηλαίῳ πρὸς τὸν Ἠριδανὸν ὑπέθεντο Ἡρακλεῖ ἀποροῦντι, μαθεῖν παρὰ Νηρέως πῦ ἂν εἴη τὰ χρυσᾶ μῆλα. ὡς δὲ συνελήφθη ὁ Νηρεὺς ὑπὸ Ἡρακλέους βίᾳ, πρῶτον μὲν μεταμορφούμενος εἰς ὕδωρ ⸫ πῦρ, τὸ δὲ πελώταιον εἰς τ παλαιὰν κατασὰς μορφὴν, ἐδήλωσε περὶ τῶν μήλων. πορευόμενον δὲ ἐπὶ τὰ μῆλα ὁ Ἡρακλῆς, πρῶτον μὲν ἀφικνεῖται εἰς Ταρτησόν· ἐκεῖθεν δ᾽ εἰς Λιβύην ἀφικόμενος, ἀναιρεῖ Ἀνταῖον τὸν Ποσειδῶνος, υἱεισθὲν ὄντα· εἶτα ἀφικνεῖται ἐπὶ Νεῖλον εἰς Μέμφιν, παρὰ Βύσιριν τὸν Ποσειδῶνος· καὶ αὐτόν τε ἀναιρεῖ ⸫ τὸν παῖδα Ἀφιδάμαντα, ⸫ τὸν κήρυκα Χάλβην, καὶ τὺς ὀπάονας παρὰ τὸν βωμὸν τοῦ Διὸς, ἔνθα Ξενοκτόνευν. εἰς Θήβας δ᾽ ἐκεῖθεν πορευθεὶς, ⸫ διὰ τῶν ὀρῶν εἰς τ ἔξω Λιβύην, πολλὰ κατ᾽ τὸν ἔρημον θηρία τοξεύων ἀναιρεῖ. καθήρας δὲ τὸν Λιβύην, ἀφικνεῖται εἰς τ ἔξω κεκλυσμένην θάλασσαν· ⸫ λαβὼν δέπας χρυσοῦν παρὰ ἡλίου, διαβαίνει ἐν αὐτῷ εἰς Πέρσην, διά τε τ ἔξω γῆς ⸫ θαλάσσης ⸫ διὰ τοῦ Ὠκεανοῦ πλέων.

Ἡρακλῆς ἀποκτείνει τὸν τοῦ Προμηθέως ἧπαρ ἐσθίοντα ἀετόν.

Ἐπελθὼν δὲ εἰς Προμηθέα, ⸫ ὀρθεὶς ὑπ᾽ αὐτοῦ, οἰκτίρει ἱκετεύοντα· ⸫ τὸν ἀετὸν, ὃς αὐτοῦ τὸ ἧπαρ ἤσθιεν, ἀποκτείνει τοξεύ-

ξαύσας προσπετώμενον τῷ Προμηθεῖ. ἀντὶ δὲ τούτου Προμηθεὺς, μὴ ἀπιέναι ἐπὶ τὰ μῆλα ὑποτίθεται· ἐλθόντα δὲ παρὰ Ἄτλαντα κελεύειν ἐνέγκαι αὐτῷ, ἀντὶ Ἄτλαντος αὐτὸν ἀνέχειν τὸν οὐρανόν, ἕως ἂν ἐνέγκῃ τὰ μῆλα παρὰ τῆς Ἑσπερίδων.

Ἡρακλῆς ἐπ' ὤμων δέχεται τὸν οὐρανόν.

Ἡρακλῆς δὲ ἀναστὰς ἔρχεται παρὰ Ἄτλαντα, καὶ κελεύει αὐτὸν ἐνέγκειν τὰ μῆλα παρὰ τῶν Ἑσπερίδων, τεία λαβόντα, διανυσάμενον τὸν ἆθλον. δὺς δὲ Ἄτλας ἐπὶ τῶν ὤμων Ἡρακλεῖ τὸν οὐρανὸν, καὶ ἐλθὼν παρὰς τὰς Ἑσπερίδας, δεξάμενος παρ' αὐτῶν τὰ μῆλα, ἐλθών τε παρὰ τὸν Ἡρακλέα, τὰ μὲν μῆλα αὐτὸς φησιν ἀποίσειν Εὐρυσθεῖ, τὸν δ' οὐρανὸν ἐκέλευεν ἐκεῖνον ἔχειν ἀντ' αὐτοῦ. ὁ δὲ Ἡρακλῆς ὑποχόμενος, δόλῳ ἀντεπέθηκε τῷ Ἄτλαντι· ἦν γὰρ εἰπὼν αὐτῷ ὁ Προμηθεὺς ὑποθέμενος κελεύσαι δέξασθαι τὸν οὐρανὸν, ἕως ὑπὸ σπεῖραν ἐπὶ τὴν κεφαλὴν ποιήσεται. ὁ δὲ καταθεὶς τὰ μῆλα εἰς τὴν γῆν, ὑποδέχεται τὸν οὐρανόν. Ἡρακλῆς δὲ λαβὼν τὰ μῆλα, χαίρειν εἰπὼν τῷ Ἄτλαντι, ἀπέρχεται εἰς Μυκήνας παρ' Εὐρυσθέα, καὶ παρέχει αὐτὰ τῷ Εὐρυσθεῖ.

Εἰδέναι δὲ χρὴ καὶ ὅτι τινὲς ταῦτα τὰ περὶ Ἡρακλέους, ἄπιστά φασι καὶ μυθώδη, καὶ κολακείας ἀναπλάσματα· πάντων γὰρ, φασὶ, τὰ κατὰ τὸν δεσμὸν τοῦ Προμηθέως ὑποθεμένων ἐν τῷ ἀρκτῴῳ γράφει Καυκάσῳ, οἱ Μακεδόνες κολακείᾳ τῇ παρὰ τὸν Ἀλέξανδρον, μετέθηκαν τῷ λόγῳ τὸν Καύκασον εἰς τὶ ὠὸν θάλασσαν, καλέσαντες Καύκασον ὄρη τινὰ ἐκεῖ Ἰνδικά. οἱ δ' αὐτοὶ κόλακες καί τι σπήλαιον ἱερὸν ἐν Παροπαμισάδαις τῷ Ἀλεξάνδρῳ δεικνύοντες, Προμηθέως δεσμωτήριον αὐτὸ ἀπέφαινον, καὶ τὸν Ἡρακλέα ἐλθεῖν ἐκεῖ ἔλεγον εἰς λύσιν τοῦ Προμηθέως, ἐναγόμενοι παρὰ τὸν λόγον, καὶ ἀπὸ τοῦ ἰδεῖν αὐτόθι ὄφεις ἐγκεκαυμένας ῥόπαλον, τὸ τοῦ Ἡρακλέους παράσημον. ὥστε τούτῳ τῷ λόγῳ ἐφ' ἑκάτερας τέρμονας γῆς ἐλθεῖν τὸν Ἡρακλέα, καὶ εἶναι ἐν τὸν Ἀλέξανδρον διὰ τοῦτο κατὰ τοὺς κόλακας οὐκ ἀπεοικότα τοῦ Ἡρακλέους· διὰ τὸ καὶ αὐτὸν ὁμοίως ἐκείνοις ἀποδημῆσαι.

Ἰσέον δὲ καὶ τοῦτο ὅτι οἱ μυθογράφοι λέγουσι πάνδε τὸ τοῦ Ἀμφιτρύωνος Ἡρακλεῖ, ἐκ Τιτανάρων ἐκ Γλαύκον δὶς ζῆσαι καὶ ἀναβιῶναι. τινὲς δὲ ἐκ τοῦ Αἰσωπου. ἔτι δέ τινες ὕστερον καθ' ἱστορίαν ἐκ ἀλληγορίαν περὶ τοῦ Ἡρακλέους φάσκουσιν. Ἡρακλῆς ἔστιν ὁ ἐν τοῖς ὅλοις λόγοις, καθ' ὃν ἡ φύσις ἰσχυρὰ καὶ κραταιά ἐστιν, ἀνίκητος καὶ ἀπεριγένητος ὤσα, μεταδοτικὸς ἰσχύος, καὶ τὸ κατ' μέρος ἀλκῆς ὑπάρχων. ὠνόμασται δὲ τάχα ἀπὸ τοῦ διαπήναι

εἰς τὰς ἥρωας, ὡς αὐτῶ ὄντος τῶ κλείζεσθαι τὰς γυναίκας ποιοῦντος. ἥρωας γὰρ ἐκάλουν οἱ παλαιοί, τὰς ἀνδρείας τῷ σώματι καὶ ταῖς ψυχαῖς, ἀπὸ τούτου τοῦ θείου γένους μετέχειν δοκοῦντας. ὕδε ἀπὸ νεωτέρας ἱστορίας ἐπιταράττεσθαι· διὰ γὰρ ἀρετὴν ἠξιώθη τῷ θεῷ τοιαύτης προσηγορίας, Ἀλκμήνης καὶ Ἀμφιτρύωνος υἱὸς ὤν. τὸ δὲ δυσδιάκριτα γεγονέναι τὰ τοῦ θεοῦ ἴδια, ἀπὸ τοῦ τοῦ ἥρωος ἱστορουμένων. τάχα δ' ἂν ἡ λεοντὴ καὶ τὸ ῥόπαλον, ἐπὶ τῆς παλαιᾶς θεολογίας ἐπὶ τοῦτο μεπενημένη εἴη. στρατηγὸν γὰρ αὐτὸν χρώμενον ἀγαθὸν, καὶ πολλὰ μέρη τῆς γῆς μετὰ δικαίωσεως ἐπελθόντα, οὐχ οἷόν τε γυμνὸν ἔδοξαν προελήλυθέναι ξύλῳ μόνῳ ὡπλισμένον, ἀλλὰ τοῖς πιστοῖς τοῦ θεοῦ μετὰ τὸν ἀπαθανατισμὸν ὑπὸ τῶν συεργετουμένων κεκοσμῆσθαι. σύμβολον γὰρ ἑκάτερον εἶη ῥώμης καὶ γενναιότητος· ὁ μὲν γὰρ λέων, τὸ χρυσιότατον τῶν θηρίων ὄντι. τὸ δὲ ῥόπαλον, τὸ καρτερώτατον τῶν ὅπλων. καὶ τοξότης δ' ἂν ὁ θεὸς παρεστάλοιτο, κατά τε τὸ παντοχοῦ δυνατὸν τοῦ τὸ ἔντονόν τι ἔχειν, καὶ τῷ τῶν βελῶν φορᾶν. στρατηλάτην δ' οὐκ ἔυλογον, τούτοις ὅπλοις πεποιῆσθαι εἰς τὰς παρατάξεις ἅπαντας. οἰκείως δ' παρέδοσαν αὐτὸν Κῷοι, τῇ Ἥβῃ συνοικοῦντα, ὁλοχερέστερον τῷ διανοίᾳ ὄντα· ὡς γὰρ νέων τι δρᾶν εὐλογώτεραι αἱ χεῖρες, ὅταν ψυχὰς ἀμείνους τῶν γεραιτέρων πολύ. ὑποτοῦσι δ' τῷ παρ' Ὁμήρῳ λατρείαν, ἐκείνῳ πιθανωτέραν εἶναι προσήκειν, ἐμφανόντων πάλιν διὰ τούτου τῶν παλαιῶν, ὅτι καὶ τὰς ἰσχυροτάτας ὑποτάττειν δεῖ ἑαυτὰς τῷ λόγῳ, καὶ τὰ ὑπὸ τούτου προστατούμενα ποιεῖν, ἐὰν καὶ θηλύτερόν τι καὶ τῷ θεωρίαν καὶ τῷ λογικῷ σκέψιν προσπίπτειν τῆς ὁμοίης· ἣν οὐχ ἑτέρῳ ἂν δόξαιεν ὁμοίως προσηγορηκέναι. τὰς δὲ δώδεκα ἄθλους ἐνδέχεται μὲν ἀναγαγεῖν ἐκ ἀλλοτείας ἐπὶ τὸν Ἡρακλέα, ὡς καὶ Κλεάνθης ἐποίησεν. καὶ περὶ μὲν Ἡρακλέους ἄλις· ἴδωμεν δὲ τῶν συγγενῶν αὐτῷ ἡρώων ὡς ἐν βραχεῖ διαληψόμεθα.

ΠΕΡΙ ΤΩΝ ΠΑΡΑ ΤΟΙΣ ΕΛΛΗΣΙΝ ΗΡΩΩΝ.

Ἥρωας ἡ παλαιὰ σοφία γένος τι θεῖον εἶναι δοξάζει, μέσον θεῶν καὶ ἀνθρώπων. καὶ τὸ μὲν θεῖον φῦλον εἰς θεοὺς διαιρεῖται καὶ δαίμονας· οἱ δ' ἄνθρωποι, εἰς τε ἥρωας, καὶ εἰς αὐτὸ τοῦτο ἀνθρώπους. καὶ νομοθεθηκέναι μὲν φασι θεοῖς δαίμονας, ἀνθρώπους δὲ ἥρωσιν, ὃς καὶ ἐκ θείας καὶ ἀνθρωπίνης σώματος φῦναι λέγουσι. διὸ καὶ Ἡσίοδος ἡμιθέους αὐλῆς φησιν· ἢ ἐκ θεᾶς ὄντας καὶ θνητοῦ ἀνδρὸς, οἵους καὶ Ἀχιλλεὺς ὁ ἐκ Θέτιδος καὶ

Πη-

Πηλέως· ὁ δ' Αἰνείας, ὁ ἐξ Ἀφροδίτης καὶ Ἀγχίσου. ἢ ἀνάπαλιν ὁποῖον ὁ Λυκόφρων Ἕκτορα παραδίδωσι, πατρὸς μὲν Ἀπόλλωνος, θνητῆς δὲ μητρός. ἔτι μέν τινες· ἕτεροι δὲ σωτερικώτερον φράζοντές φασιν· ἄκρα μὲν θεοὶ καὶ ἄνθρωποι· μέσον δὲ γένος ἀμφοῖν, τὸ ἡρωϊκόν, θεοῖς μὲν ὑποβεβηκὸς, ἀνθρώπων δὲ ὑπερκείμενον, διὰ μετουσίαν ἀρετῆς· ἀφ' ἧς καὶ δοκοῦσι παρονομάζεσθαι. καὶ δῆλον, ὡς οἱ τοιοῦτοι ἀπὸ τῆς ἀρετῆς βάλλονται καλεῖσθαι τοὺς ἥρωας, ἀνθρώπους μὲν ὄντας, διὰ δὲ τὸ θεῖον τῆς ἀρετῆς ἡμιθέους νομισθέντας. ἄλλοι δὲ ἀπὸ τοῦ ἔρωτος, τροπῇ τοῦ Ε εἰς Η, παράγουσι τοὺς ἥρωας. καὶ τάδε ἐπαινετοῦ καὶ ἐς κάλλος θεῖον ὁρῶντος, καὶ ἀναπεμπομένου εἰς τὸ ἄκρον ἐφετὸν, καὶ τῶν κάτω μὲν ἀπάγοντος τὸν ἄνθρωπον, ταῖς δὲ ἀνωτάτω θεαῖς προσενεγκόντος, ὡς ὅτου κληρουσθῆναι ἡμιθέου κλῆσιν αὐτόν· ἢ καὶ ἄλλως, ὅτι μυθικοῦ ἔρωτος καὶ ἐμπαθοῦς. ἔρως γὰρ κάλλους ἀμυθήτου πολὺς μυθικῶς ἐκκαυθεὶς τὰ ἀνομοίως ἔχοντα γένη σωτήξας, οἷον ὡρὸς γάμον ἔμιξεν. ἄλλοι δὲ ἀπὸ τῆς ἔριδος τοὺς ἥρωας εἶπον καλεῖσθαι· γῆθεν γὰρ ἦσαν, εἰ καὶ διὰ ἀρετὴν, ὥσπερ οὐρανόθησαν. οἱ δὲ ἀπὸ τοῦ ἀέρος, ὡς δηλοῦται καὶ ἔν τινι τῶν ἐκ Ὀρφυείου ἐπιγραμμάτων, ὃν ᾧ κεῖται τό·

Σῆμα μὲν ὐ πόντῳ κεῖται, πνεῦμα δ' ἀὴρ οὐ ἔχει.

φησὶ δὲ καὶ Ἡσίοδος·

Ἥρως ἐσσάμενοι, πάντῃ φοιτῶντες ἐπ' αἶαν.

ἦγον ἐνδυθέντες ἀέρα, ὡς μὴ τὸ ἄριστον λυθῆναι τοῦ σώματος, μὴ κάτω ἀπιόντες, ἀλλ' οὐ ἀεὶ ὄντες, καὶ γέρας ἔχοντες, τὸ πανταχοῦ γῆς φοιτᾶν, καὶ τὰ καθ' ἀνθρώπους ἐπισκέπτεσθαι. ποτὲ δέ φασιν καὶ εἰς τὸ Ἠλύσιον συναγελάζεσθαι· περὶ οὗ λεκτέον.

ΠΕΡΙ ΤΟΥ ΗΛΥΣΙΟΥ ΠΕΔΙΟΥ.

Ὥσπερ ὁ χριστιανικὸς λόγος ὑπογράφει τινὰ εἰς παράδεισον, ὅτου καὶ Ἕλληνες ὑπογράφουσί τινα χῶρον, ὃν καλοῦσιν Ἠλύσιον. τινὲς δὲ λέγουσιν ἱερὸν περὶ τὸν Ἅιδου εἶναι. οἱ δὲ περὶ Αἴγυπτον, οἱ δὲ περὶ Λέσβον· οἱ δὲ τὸ κεκεραμωμένων χωρίον, ἢ πεδίον. τὰ δὲ τοιαῦτά ἐστιν ἄβατα· ἄτινα καὶ Ἠλύσια καλεῖται. οἱ δὲ περί που τὰ κατὰ δύσιν πέρατα τῆς γῆς τὸ Ἠλύσιον εἶναι λέγουσιν, ὃ καὶ νῆσοι μακάρων παρά τοῖν ὕστερον λέγεται. νῆσοι μὲν, ὅτι περὶ τὴν ἔξω θάλασσαν εἰσὶν, ὅ ἐστι περὶ αὐτὴν τὸν Ὠκεανόν· μακάρων δὲ, διὰ τὸ τοῦ τόπου εὐδαίμονα καὶ μακάριον, ὃ τοῖς πᾶσι τεθρύλληται. λέγεται δὲ Ἠλύσιον,

ἀφ' τὸ ἐλεύταλ ἐκεῖσε τὺς ἀγαθόν τι βεβιωκότας· ἢ παρὰ τὸ λύσιν μὴ ἔχειν.

Ὁ δ' Ῥαδάμανθυς λέγεται τῷ δικαστικῷ ἄξίᾳ ἔχειν, ἐν τοῖς ἐν Ἅδᾳ δικάζειν· καὶ τὺς μὲν ἀξίυς κολάσεως πέμπειν παρὰ τὸν Κωκυτὸν, ἐς τὸν Πυριφλεγέθοντα, τὺς δὲ ἀγαθὸν ἐργασαμένυς πέμπειν ἀφ' τὸ Ἠλύσιον.

Ἐπεὶ δ' καὶ ἡμῶν μνείαν ἐποιησάμην, λέξομαι, τὸν τῶν φιλομύθων πόνον ἀνακυρίζουσά τε, καὶ ἵνα μὴ θυμηδίας ἕνεκεν, τίνες τὸ πάλαι θρυλλυμένῳ τοῖς ποιηταῖς ἥρωες ἐύζυγον Ἀργὼ, χάριν τῦ χρυσομάλλυ κωδίυ, ἐς Κόλχυς, ἰδίαις χερσὶν ἀνήλασαν.

Ἔστω δ' ἐν τοῖς ἄλλοις ὡρῶτος ὁ μυθικώτατος Ὀρφεὺς, ὁ ἐκ κιθαείζων, εὐτόνως τὺς ἥρωας εἰς τὸ ἑέσθαι παρεσκεύαζεν.

ΠΟΣΟΙ ΚΑΙ ΤΙΝΕΣ ΟΙ ΑΡΓΟΝΑΥΤΑΙ ΗΡΩΕΣ, ΚΑΙ ΤΙΝΩΝ, ΚΑΙ ΠΟΘΕΝ.

Ὀρφεὺς, Καλλιόπης καὶ Οἰάγρυ, ἐκ Θρᾳκικῆς Πιμπληίδος.
Ἡρακλῆς, Ἀμφιτρύωνος καὶ Ἀλκμήνης, Ἀργάθεν.
Ἀσεείων, Κομήτυ, ἐξ Ἀπειρεσίας.
Πολύφημος, Εἰλάτυ, ἐκ Λαείσσης.
Ἶφικλος, μήτρως Ἰάσονος, ἐκ Φυλάκης.
Ἄδμητος, Φέρητος τῦ Κρηθέως, ἐκ Φερῶν.
Ἔρυτος, ἐξ Ἀγχίων, υἱὸι Ἑρμῦ, ἐξ Ἀλόπης.
Αἰθαλίδης, Φθιάδος Εὐπολεμείας.
Κόρωνος, Καινέως, ἐκ Γυρτῶνος.
Μόψος, Ἀμπύκυ ἐκ Χλωείδος τῆς Ὀρχομβῦ.
Ἄμπυκος, Τυταρῶνος, ἐκ Τιτάρυ.
Εὐρυδάμας, Κτιμένυ, ἐκ τῦ Ξυνιάδος λίμνης, ἐκ Κτιμένης.
Μειόιτιος, Ἀκτορος, ἐξ Ὀπόεντος.
Εὐρυτίων, Ἴξυ Ἀκτοείδυ.
Εὐρυβώτης, Τελέοντος.
Οἰλεύς.
Κάνθος, Κανήθυ Ἀβαντιάδυ, ἀπ' Εὐβοίας.
Κλύτιος ἐκ Ἶφιτος, Εὐρύτυ, ἐξ Οἰχαλίας.
Πηλεὺς, καὶ Τελαμὼν, Αἰακῦ, ἐξ Αἰγίνης.
Φάληρος, Τελέοντος, Κεκροπίηθεν.
Τίφυς, Ἁγνιάδης, ἐκ Σιφῶν τῆ Βοιωτίας.
Ἄργος, Ἀρεσοείδης.

Φλό-

Φλόιας, Διονύσυ, Ἀριάθυρέηθεν.

Ταλαὸς, καὶ Ἀρήϊος, ὁ Λεωδόκος, Βίαντος καὶ Πυρῆς Νηληΐδος, Ἀργόθεν.

Ὕλας, Θειοδάμαντος, τοῦ Δρύοπος.

Νάυτλιος, Κλυτονήυ τοῦ Ναυβολίδυ, τοῦ Λέρνυ, τοῦ Πρόιτυ, τοῦ Ναυπλίυ, τοῦ Ποσειδῶνος ἐκ τῆς Δαναΐδος.

Ἴδμων, Ἀπόλλωνος· οἱ δ', Ἀπόλλωνος καὶ Ἄβαντος τοῦ Ἀιολίδυ.

Κάστωρ, ὁ Πολυδεύκης, Λήδας καὶ Διός, Σπάρτηθεν.

Λυγκεὺς, καὶ Ἴδας, Ἀφαρέος, Ἀρήνηθεν.

Περικλύμενος, Νηλέως, Πυλόθεν.

Ἀμφιδάμας, ὁ Κηφεύς, Ἀλεοῦ τοῦ Ἀφειδαντος, Ἀρκαδίηθεν.

Ἀγκαῖος, Λυκάργυ τοῦ Ἀλεοῦ.

Αὐγείας, Ἠλίυ· οἱ δ', Φόρμητος ἐκ τῆς Ἰκλέως Τριμίνης· οἱ δ', Νυκτέως· οἱ δὲ, Ἐπόχυ.

Ἀστέριος καὶ Ἀμφίων, Ὑπερασίυ τοῦ Πέλλυ, Πελλήνηθεν.

Εὔρημος, ὁ ἐπὶ Θαλάσσης θέων, Ποσειδῶνος ὁ Εὐρώπης τοῦ Τιτυοῦ, ἐκ Ταινάρυ.

Ἐργῖνος, Ποσειδῶνος, ἐκ Μιλήτυ.

Ἀγκαῖος, Ποσειδῶνος, ἐξ Ἰμβρασίας.

Μελέαγρος, Οἰνέως, ἐκ Καλυδῶνος.

Λαοκόων, ἀδελφὸς Οἰνέως.

Ἴφικλος, Θεστίυ, ἐκ Καλυδῶνος.

Παλαιμόνιος, Λέρνυ τοῦ Ὠλένυ, ἐκ Καλυδῶνος.

Ἴφιτος, Ναυβόλυ, Ὀρυτίδυ, ἐκ Φωκίδος.

Ζήτης ὁ Κάλαϊς, Βορέυ ἐξ Ὀρειθύιας Ἐρεχθέως ἐκ τῆς Θράκης. ὁ ἄλλοι ἄλλοθεν.

Ἄκαστος, Πελίυ.

Ἰάσων, Αἴσονος. ὁ Ἀλκιμέδης τῆς Κλυμένης ἡ Μινυηΐδος.

Λεκτέον ὃ' ὡρὸς τύτοις, ὁ ὡς τὸ τὴν εὕρημον συστησάντων θήραν τοῦ Καλυδωνίυ συός· ὧν ὡρώτη ἡ χρυσοτάτη ὁ πάγχρυσος Ἀταλάντη· ἡ καὶ ὡρώτη τῷ βέλει τοῦ πεφυαγμένυ συὸς τὴν κεφαλὴν τρώσασα. διὸ καὶ ἀντὶ γέρατος ὁ Μελέαγρος αὐτῇ ἐδωρήσατο· ἤν τινα καὶ εἰς φιλομηδῆ γάμον οἱ Ἔρωτες αὐτῷ παρεσκεύασαν.

ΟΙ ΗΡΩΕΣ ΟΙ ΤΟΝ ΚΑΛΤΔΩΝΙΟΝ ΣΤΝ ΚΤΕΙΝΑΝΤΕΣ.

ΑΤΑΛΑΝΤΗ.
ΜΕΛΕΑΓΡΟΣ.
ΙΑΣΩΝ.
ΚΑΣΤΩΡ.
ΠΟΛΤΔΕΤΚΗΣ.
ΠΤΡΙΘΟΟΣ.
ΘΗΣΕΤΣ.
ΛΤΓΚΕΤΣ.
ΘΕΣΤΙΑΔΑΙ.
ΛΕΤΚΙΠΠΟΣ.
ΑΚΑΣΤΟΣ.
ΚΑΙΝΕΤΣ.
ΙΠΠΟΘΟΟΣ.
ΔΡΤΑΣ.
ΦΟΙΝΙΞ.
ΜΕΝΟΙΤΙΟΣ.
ΙΡΟΣ.
ΦΛΤΕΤΣ.
ΤΕΛΑΜΩΝ.
ΠΗΛΕΤΣ.
ΑΔΜΗΤΟΣ.
ΙΟΛΑΟΣ.
ΕΤΡΤΤΙΩΝ.
ΕΧΙΩΝ.
ΛΕΛΕΞ.
ΠΑΝΟΠΕΤΣ.
ΤΛΑΣ.
ΙΠΠΑΣΟΣ.
ΝΕΣΤΩΡ.
ΙΠΠΟΚΟΩΝ.
ΑΓΚΑΙΟΣ.
ΜΟΨΟΣ.
ΟΙΚΛΕΙΔΗΣ.

ΠΕΡΙ ΤΟΤ ΗΦΑΙΣΤΟΤ.

Τὸν Ἥφαιστον ἐκ τῆς Ἥρας ἄνευ συζυγίας φασὶ γενέσθαι. τέλεα γυνὴ ἦν Ἀφροδίτη, ἣν ὁ Ἄρης ἐμοιχεύετο. ὁ δὲ Ἥφαιστος στήσας πάγας, ἐνέπλεκεν τὰ μοιχεύοντα γυμνούμενα· ἐκ δὴ ἠλέησεν αὐτοὺς εἰς παραδειγματισμὸν αὐτῶν, ἕως ἐκάλεσε τοὺς θεοὺς καὶ ἐδημοσίευσεν αὐτούς. καὶ τότε οἱ θεοὶ ἰδόντες πῶς θριαμβευόμενοι, ἐν ταῖς πάγαις κατεχόμενοι ἦσαν οἱ δύο, ὅ, τε μοιχὸς, ἐκ ἡ μοιχαλὶς, πολὺν ἐπ' αὐτοὺς κατέχεον γέλωτα· καὶ τότε λύεται ὁ Ἄρης, μικρὰ λύτρα δοὺς τῷ Ἡφαίστῳ. χωλὸν δὲ ὁ μῦθος λέγει τὸν Ἥφαιστον· διὸ ἐκ ἀμφιγυήεις· γυῖα γὰρ, τὰ μέλη. συνέβη δ' αὐτῷ ἡ χωλεία δι' αἰτίαν τοιαύτην· γυνηθεὶς γὰρ, ἐτώσιόν τι ἄχθος ἀρόρης ἐφάνη τῇ Ἥρᾳ, διὰ τὸ εἰδεχθὲς, καὶ ἀκαλλὲς αὐτοῦ, ἐκ κατηθαλωμένον τῷ προσώπῳ· ἐκ βδελυχθεὶς ὑπ' αὐτῆς μὴ τινὰ γένεσιν ὡς βδέλυγμά τι ἀπερρίφθη· διὸ ἐκ μητρόρριπτος λέγεται· ὅπερ ἐκ ἐχωλάνθη. δυσπέραν δὲ προσέτι ῥίψιν οἱ ποιηταὶ διϊσχυρίζονται· φασὶ γὰρ ἐριζομένοιν ποτὲ Διός τε ἐκ Ἥρας ὑπὲρ τῆς τοῦ Ἀχιλλέως ἀλεξήσεως, διὰ τὴν ἱκετείαν τῆς Θέτιδος, τὸν Ἥφαιστον ἀναφανῆναι ἐπίκουρα φέροντα τῷ Διὶ ὑπὲρ τῆς μητρός. καὶ τότε δεσμευθῆναι ἐκ πεπαγῆναι τῷ Διὶ ὀργιζομένῳ· καὶ εἰς τὴν Λῆμνον ῥιφθῆναι καταφερόμενον ἐκ τοῦ οὐρανοῦ διὰ μιᾶς ἡμέρας.

ρας. κλυτοτέχνιλω δὲ αὐτὸν καλῶσι, χαλκέα ὄντα τ τέχνην, ἐπειδὴ τὸ παλαιὸν ἔνδοξον εἶχον τ χαλκευτικλώ· διὸ κ κατηθαλωμένον ς κεκαπνισμένον. προστέτι ὃ κ Θερσίτην Ὀλύμπιον, διὰ τοιαύτην αἰτίαν· ὁ Ὅμηρος εἰσφέρει τινὰ Θερσίτλω ὀνόματι, χωλὸν ς κυρτὸν, ς στραβὸν, ς μαδαρὸν, ς προπετῆ· ς φησὶν, ὅτι ὕτος ἠκολούθει τῷ στρατοπέδῳ, ὑ διὰ τὸ πολεμεῖν, ἀλλὰ διὰ τὸ γελᾶζ. ἐπεὶ ὖν ὁ Ἥφαιστος χωλὸς ἦν, κ κεκαπνισμένος, κ ὅλως παρόμοιος τῷ Θερσίτῃ, τῶν νεωτέρων τινὲς ὕτως αὐτὸν προσηγόρδυσαν.

Ἐν τῇ Λιπάρᾳ δὲ ς Στρογγύλῃ, (ὀν τῶν Αἰόλυ ὃ νήσων ἄυται,) φασὶ τὸν Ἥφαιστον διατείβειν χαλκεύοντα· διὸ κ πυρὸς βρόμον ἀκύειζ κ ἦχον σφοδρόν. Ἀγαθοκλῆς ὃ ὁ τοῖς ὑπομνήμασι ὧν τῶν χαλκείων τῶν Ἡφαίστ λέγων, φησὶ κ Σικελίλω δύο εἰ) νήσυς, ὧν ἡ μὴ καλεῖται Ἱερὰ, ἡ ὃ Στρογγύλη· αἵ τινες ἡμέρας ς νυκτὸς πῦρ ἀφιᾶσι· καλεῖται ὃ ἡ μὴ Αἰόλυ, ἡ ὃ, Ἡφαίστ· ἐν ᾗ πυρὸς ποταμὺς φησὶν ἀνιέναι. καὶ ἄλλοι ὃ πολλοὶ ἐν αὐτῇ τῇ Ἱερᾷ φασὶν αὐτὸν χαλκεύειν· ὁ ὃ Καλλίας ὁ Λιπάρᾳ. ὁ δ' αὐτὸς ἱστορεῖ ὁ τῷ δεκάτῳ τῶν περὶ Ἀγαθοκλέα, ς ὄρος εἰ) ὑψηλὸν ἐκεῖ, ἀφ' ᾧ κρατῆρές εἰσι δύο· ὧν ὁ ἕτερός ὅσι τλω πελίμετρον λειςάδα· ἀφ' ᾧ πολὺ φέρεται φέγγος, ὥστε ἐπὶ πολὺν τόπον διήκειν τὸν φωτισμόν. ἔπειτα ὁ τῷ χάσματος ἀναφέρονται διάπυροι λίθοι ἀπλατομεγέθεις. ς τηλικῦτος βρόμος γίνεται, καθ' ὃν καιρὸν συμβαίνει ἐργάζεσθαι τὸν Ἥφαιστον, ὥστε ἐπὶ πεντακόσια στάδια ἀκύειζ τὸν ἦχον. οἱ δὲ ὁ τῶν φυσήματος ἀναρρίπτομενοι μύδροι διὰ τλω ἐκπύρωσιν πάντοτε ἰώδεις εἰσὶ, ς διακεκαυμένοι τ ὄψιν· κ τ δύναμιν καθήλιον ἔχυσι. νύκτως μὴ ὖν πάντα τὰ περὶ τ ἐργασίαν τῶν θεῶν γινόμενα καλῶς ὁρᾶται· μεθ' ἡμέραν δὲ ὁ τ κορυφῆς, ὅθεν ἡ φλὸξ ἀνίησιν, ὥσπερ νέφος ὑπερκείμενον ὁρᾶται. πρὸς τύτοις ὃ ἀλληγορῦντες τὰ αὐτῶν, ὅτω φασί· διὰ τὰς πλείστας τ τεχνῶν, ς διὰ τ τῶν πυρὸς ἐνέργειαν ἀποδιδόαζ τὰ ἑαυτῶν ἔργα· ὁ μὴ γὰ αἰθὴρ, κ τὸ διαυγὲς ς καθαρὸν πῦρ, Ζεύς ὅσι· τὸ δ' ὁ χρήσει κ ἀερομιγές, Ἥφαιστος, ἀπὸ τῶν ἅπτειν ὠνομασμένος· ὅθεν κ ὁ Διὸς κ Ἥρας ἔφασάν τινες αὐτὸν γενέζ· ἄλλοι ὃ μόνης τ Ἥρας· αἱ γὰ φλόγες παχυμερέστεραί πως ὖσαι, ὡς ὁ μόνον τῶν ἀέρος διακαιομένου τ ὑπόστασιν λαμβάνυσι. χωλὸς ὃ ὑπολαμβάνεται, τάχα μὴ διὰ τὸ παχεῖαν τ τ ὕλης πορείαν ποιεῖσθαι τοῖς ἐπισκιάζυσιν ὁμοίαν· τάχα ὃ κ ἀπὸ τῶν μὴ δυνάζ προ-

βαί-

βαίνειν δίχα ξυλώδης τινὸς ὑπανὰ βάκτρου. τινὲς δ', διὰ τὸ τὸ ἄνω κίνησιν τοῦ κάτω τροφὴν ἄνιτον καὶ ἀνώμαλον ποιεῖσθαι, βραδυπέρας αὐτῆς ὕστης, χωλεύειν αὐτὸν ἔφασαν. ῥιφῆναι δ' ὑπὸ τοῦ Διὸς ἐξ οὐρανοῦ εἰς γῆν λέγεται, διὰ τὸ τὰς τροφὰς ἴσως ἀρχομένους χρῆσθαι πυρί, οὐ κεραυνοβόλου καιομένης τότε συστάσεως, μηδέπω ἐπινοίᾳ τοῖς πυρίοις ἐπιπεσεῖν δυναμένης. γυναῖκα δ' αὐτοῦ τὴν Ἀφροδίτην ἔφασαν εἶναι, καθ' ὃν λόγον καὶ τὴν Χάριν, μίαν· ὡς γὰρ χάριν φασὶν ἔχειν τὰ τεχνικὰ ἔργα, ὅτου δὲ τῆς Ἀφροδίτης τινὰ αὐτοῖς ἐπιτρέπειν λέγομεν· εἰ μὴ τροφὰς τοῦτ' εἶναι φασιν, πολὺ τὸ πυρώδες εἶναι ἐν ταῖς τροφαῖς τῆς μίξεως ὁρμαῖς, πέπλασται τοῦτο. δεδηκέναι δὲ μυθεύονται τὸν Ἄρη, μοιχεύοντα τὴν γυναῖκα. ὁ γὰρ μῦθος τῷ ποιητῇ ὅτι, παλαιότατος ὤν· ἐπειδὴ τῇ τοῦ πυρὸς δυνάμει ὁ σίδηρος καὶ ὁ χαλκὸς δαμάζεται· τὸ δ' τῆς μοιχείας πλάσμα παείσησιν, ὅτι ἡ πάνυ μὴ πέφυκε καταλληλον τὸ μάχιμον καὶ βίαιον τῷ ἱλαρῷ καὶ μειλιχίῳ, ὑδὲ κατὰ τὸν φυσικὸν αὖ νόμον ἐπιπλέκεται· ἀντιστοιχούντων δέ πως τῆς μίξεως αὐτῶν, καλὸν καὶ χρυσόπρωρον χρῆνημα, τοῦ δὲ ἀμφοῖν ἁρμονίαν ἀποπλεῖν ἔωθε. λέγεται δὲ Ἥφαιστος μαιώσασθαι τὸν Δία, ὅτε τὴν Ἀθηνᾶν ὤδινε· διελὼν γὰρ αὐτοῦ τὴν κεφαλήν, ἐκθορεῖν ἐκείνην ποιῆσαι· τῷ γὰρ πυρὶ ᾧ χρῶνται αἱ τέχναι, συνεργὸν πρὸς τὴν ἀπόδειξιν τῆς φυσικῆς τῶν ἀνθρώπων ἀγχινοίας γενόμενον, ὥσπερ κεκρυμμένην αὐτὴν εἰς φῶς προήγαγε· τὰς γὰρ ζητούντάς τι, εἰ προσδρέθη, κυεῖν αὐτό, καὶ ὠδίνειν φαμέν.

Περὶ ἀναθημάτων Ἡφαίστου, Ἀφροδίτης τε, καὶ Ἀρτέμιδος, καὶ Ἀπόλλωνος, Ἑρμοῦ τε καὶ Ἐρώτων.

Τὸ τῆς πεύκης δένδρον τῷ Ἡφαίστῳ ἀνάκειται· ἡ μόνον ὅτι εὐέξαπτον, ἀλλὰ καὶ διὰ τὴν δᾴδα, ἥτις ἀπὸ τοῦ δαίω, τὸ καίω, παράγεται· καθὰ καὶ ἐν τῷ αἴθειν, ὁ Ἥφαιστος. ἡ δὲ τρίγλα τῇ Ἀρτέμιδι· παρόσον ἡ τρίγλα μὴν, κατὰ τὰ Κίλικα ποιητὴν, τριγόνοις γοναῖς ἐπωνόμαστα, τρὶς γονῶσα τοῦ ἔτους· καὶ Ἄρτεμις, ταύτην δὲ εἰπεῖν σελήνην τριταίαν, μετὰ τὴν γένησιν σαφῶς διεκφαίνεται. Τῇ δ' αὐτῇ Ἀρτέμιδι, ταύτην δὲ εἰπεῖν Ἑκάτην, μανίδα θύεσθαί φασι, διὰ τὸ δοκεῖν μανιῶν αἰτίαν εἶναί τισιν, ὡς οἷον εἰπεῖν τοῖς σεληνιαζομένοις. καὶ ἄλλοι δὲ ἰχθύες ἀνάκεινται τισι, κατ' οἰκειότητα· οἷον Ἀπόλλωνι μὲν κίθαρῳ, ἤτοι κιθάρα· ἐπεὶ κιθαρῳδὸς ἐκεῖνος περιάδεται· Ἑρμῇ δὲ βάξ, ὡς κήρυκι, διὰ τὴν βοήν· παρ' ἣν καὶ Βοώτης, κήρυκος ὄνομα· Ἀφροδίτῃ δὲ, ἀφύη, ἥτις καὶ ἀφρίτης, διὰ τὸ ἄμφω ἐξ ἀφροῦ φῦναι, τήν τε ἀφύην φυσικῶς,

καὶ

καὶ τὴν δαίμονα φυσικῶς. ὅτω καὶ λύκος Ἀπόλλωνι ἀνάθημα διὰ τὶω ἀμφιλύκιω νύκτα, μεθ' ἣν ἐκφαίνεται ὁ ἥλιος. καὶ λαγώς, Ἔρωτιν ἀνάθημα, διὰ τὸ ταὐτὸν τῆς κ᾽ κλῆσιν γενέσεως. λαγὼς τε γὰς ἀπὸ τᾶ λάειν, καὶ Ἔρως ἀπὸ τᾶ ὁρᾶν, ἅπερ τὸ βλέπειν μηνύσιν.

Θ

ΘΕῶν δὲ τ᾽ χύεσιν, ἢ μᾶλλον Θεογονίαν, τ᾽ κ᾽ τὰς παλαιὰς, ἃ μοι δοκεῖ παρεῖσαι, ἀλλ᾽ ὅτι γε ἐν τῷ Θῆτα στοιχείῳ καταντήσασα, αὐτίω γραμματικῶς ἐκτίθεμαι.

ΠΕΡΙ ΤΗΣ ΘΕΤΙΔΟΣ.

ΘΈτις, Νηρηΐς. ταύτίω ὁ Πηλέως ἐπὰ παῖδας ἄῤῥενας τεκεῖν λέγυσι· καὶ τὰς μὲν ἓξ εἰς λέβητα ὕδατος ζέοντα ἐνέβαλεν· οἱ δὲ, ὅτι εἰς πῦρ βάλλυσα ἀνεῖλεν, βυλομένη εἰδέναι εἰ θνητοί εἰσιν. ἐπὶ δὲ τᾶ Ἀχιλλέως ἐφωράθη ὑπὸ ἐκωλύθη ὑπὸ Πηλέως ἐμβαλεῖν αὐτὸν εἰς λέβητα. Χείρωνος ὑ βυλαῖς ὁ Πηλεὺς κατέχεν αὐτίω, εἰς παντοίας μορφὰς μεταβάλλυσαν, καὶ ἐμίγη αὐτῇ ὃν εἶδεν σπωίας, καίτοι ὁ γάμος ὃν Πύλω, καὶ οἱ Θεοὶ δῶρα ἔθηκαν· Ποσειδῶν, ἵππυς, Ξανθὸν καὶ Βαλιόν· Ἥφαιστος, μάχαιραν· καὶ οἱ λοιποὶ, ἕτερα. χυνήσασα ὑ ἡ Θέτις, τὸν ῥῆν, κ᾽ τὸν Ἀπολλόδωρον, Λιγύρον καλύμμον, ὕστερον ὑ Ἀχιλλέα μετακληθέντα, διὰ τὸ δοθῆναι τῷ Χείρωνι, ὑ δίχα κοινῆς τροφῆς ἀνατρέφεσθ᾽, ἑπτέρα μὲν αὐτὸν εἰς πῦρ ἔβαλε, ἡμέρα δ᾽ ἄχεις ὃν ἀμβροσία, ὑ ὡς ἀθανατίσαι τᾶτον ἠθέλησεν. ἰδόντος δὲ τᾶ Πηλέως τ᾽ Θέτιν βάλλυσαν αὐτὸν εἰς πῦρ, κ᾽ βοηθήσαντος, σωέβη ταύτίω ῥὸς τὰς Νηρηΐδας ὑποχωρῆσαι· ὁ ὑ Πηλεὺς τῷ Χείρωνι τῷ ἱπποκενταύρῳ τὸν παῖδα δέδωκε τρέφειν. ὑ ταῦτα μὲν φησιν Ἀπολλόδωρος. Ἀγαμήτωρ ὑ ἀὸ ἁρπασείας πυείδοον λέγει τὸν Ἀχιλλέα καλεῖσθ᾽, ὃν τῷ τῆς Θέτιδος ἐπιθαλαμίῳ· εἶτα τοιυτοτρόπως αὐτὸν Ἀχιλλέα καλεῖσθ᾽, ὡς τᾶτο σαφῶς ἐπιδηλώσειε παῖδα. γνῶ δ᾽ ὄνομα θῆκε πυείδοον. ἀλλὰ Ἀχιλλέα Πηλεὺς κέκληκεν, ἐχίλος εἵνεκά μιν κείμενον ἐνὶ κονίῃ σποδιῇ, ἐνὶ πῦρ ἀπέμερσε χίλεος, ἅτε βίον ἀπροσ-

φάτως ἑτέρω. ὁ ὁ Εὐριπίδης, ἅπαξ φησὶ μιγῆναι Ἀχιλλέα τῇ Θέτιδι ἐν τῇ σπηλαίῳ, καὶ ἕτεροι σὺν αὐτῷ. Σοφοκλῆς ὁ ὁ Ἀχιλλέως ἐραστὰς φησὶν, ὑπὸ Πηλέως λοιδορηθέντας τὴν Θέτιν, καταλιπεῖν αὐτόν. ἄλλοι δέ φασιν ὅτι ἡ Θέτις λαμβάνουσα τοὺς παῖδας ἐκ Πηλέως γινομένους, περιέκαιε τὸ θνητὸν αὐτῶν σῶμα, βουλομένη αὐτοὺς ἀθανάτους ποιεῖν, καὶ πάντας ἔκαυτε· καὶ τὸν Ἀχιλλέα ὃν τεκοῦσα, ἐπέθηκεν ἐπὶ τὸ πῦρ, καὶ γνοὺς ὁ Πηλεὺς ἐβόησεν· ἡ δὲ λυπηθεῖσα ἐχωρίσθη. Στάφυλος δὲ ἐν τρίτῳ τῶν περὶ Θεσσαλίαν, ἱστορεῖ Χείρωνα σοφὸν ὄντα, καὶ ἀστρονομίας ἔμπειρον, βουλόμενον τὸν Πηλέα ἔνδοξον ποιῆσαι, μεταπέμψασθαι τὴν Ἀκτορος θυγατέρα τοῦ Μυρμιδόνος, καὶ λόγους διαπεῖραι, ὅτι μέλλει γαμεῖν τινὰ Θέτιν ὁ Πηλεὺς, Διὸς διδόντος αὐτῷ· οἱ δὲ θεοὶ, μετ' ὄμβρου καὶ χειμῶνος ἦξαν εἰς τὸν γάμον. ταῦτα φημίσας παρετήρει τὸν χρόνον ἐν ᾧ ὑδάτων ἔμελλεν ἔσεσθαι ἐπομβρία, καὶ πνεύματα ἐξαίσια, καὶ δίδωσι Πηλεῖ Φιλομήλαν. καὶ ὅτως ἐπεκράτησεν ἡ φήμη, ὅτι τὴν Θέτιν ἔγημε. Πίνδαρος δὲ λέγει, Ποσειδῶνα καὶ Ἀπόλλωνα, καὶ Δία, περὶ τοὺ γάμου τῆς Θέτιδος ἐρίσαι· κωλυθῆναι δὲ αὐτοὺς κατάτινας τῶν ἱερικῶν ὑπὸ Ἐπιμηθέως· καὶ δὲ Αἰσχύλον, ὑπὸ Προμηθέως. φησὶ γὰρ, ἢ πέπρωται γε παῖδα φέρτερον πατρός. Ἀπολλόδωρος δὲ Δία καὶ Ποσειδῶνα μετὰ τὸν γάμον τῆς Θέτιδος ἐρίσαι· Θέτιν δὲ ὡς γραφεῖσαν ὑφ' Ἥρας, μὴ λέγειν Διὶ συνελθεῖν· ὅθεν ὀργισθέντα τὸν Δία Θέτιδι, συζεῦξαι αὐτὴν τῷ Πηλεῖ.

ΠΕΡΙ ΘΑΜΥΡΙΔΟΣ.

Θάμυρις παῖς ἦν Φιλάμμωνος καὶ Ἀργίσης τῆς νύμφης, τὸ γένος Θρᾷξ· ὃς ἔσχεν αἰσχρὸν ἔρωτα, ὡραῖος ἀρρενωπὸς ἐράν ἀρρένων. ὅτος κάλλει πολλῷ διενεγκὼν, καὶ κιθαρῳδίᾳ περὶ μουσικῆς ἐρίσας ταῖς Μούσαις, συνέθετο ἂν μὲν κρείττων φύρεθῇ, πλησιάσαι πάσαις· ἂν δὲ ἡττηθῇ, στερηθῆναι ὧν ἂν ἐκεῖναι θέλωσι. καθυπέρεραι δὲ αἱ Μοῦσαι γεγόμεναι, τῶν ὀμμάτων αὐτὸν, καὶ τῆς κιθαρῳδίας, καὶ τοῦ νοῦ ἐστέρησαν. διὸ καὶ παροιμία κεκράτηται, Θάμυρις μαίνεται, ἐπὶ τῶν κατὰ σύνθεσιν ἀλόγως δοκούντων ᾠδεῖν.

ΠΕΡΙ ΘΕΡΣΙΤΟΥ.

Θερσίτην λέγει ἡ νεωτέρα ἱστορία, ἀναιρεθῆναι ὑπὸ Ἀχιλλέως κονδυλισθέντα, ὁπηνίκα τὴν Ἀμαζόνα Πενθεσίλειαν ἐκεῖ-

ἐκεῖνος ἀνελών, ὄικτον ἔχεν ἐπὶ τῇ κειμένῃ· ὁ μὲν γὰρ ἐθαύμασε τὸ κάλλος· καὶ ὡς καλλὼ ἅμα καὶ ἀνδρείαν, ἀνδρειώτατος ἐς κάλλιστος ἡλέει κειμένῳ, τὸ ὅμοιον οἰκτιζόμενος. ὁ δὲ πιθηκόμορφος, ὡς ἱστορέεται, ἐπὶ λαγνείᾳ σκώπτει τὸν ἥρωα. ὁ τύνιων Ἀχιλλεὺς γογγύλῃ χειρὶ παίσας τὸν αἰχισον, τῇ καλῇ Γενθεσιλείᾳ συγκατακλίνει.

ΠΕΡΙ ΘΗΣΕΩΣ ΚΑΙ ΠΕΙΡΙΘΟΟΥ.

ΘΗσεὺς καὶ Πειρίθους, ὁ μὲν Διὸς, ὁ δὲ Ποσειδῶνος ὢν, ἐφάμιλλον ἐποιεῦντο τὴν φρᾶξιν. Θησεὺς μὲν ἦν τὴ Ἑλένης ἐραθεὶς, σωτερὸν ἑωυτῷ τὸν Πειρίθεν εἶχε. ὁ δὲ Πειρίθους μὴ ταῦτα τὴ Περσεφόνῃ ἁρπάσαι βεληθεὶς, ἐπόμβυον εἶχεν ἑωυτῷ τὴ Θησέα. ἐς δὴ διὰ Ταινάρε εἰς Ἅιδου καπελθόντε, καὶ ἐπί τινος τόπε καθίσαντες, οὐκ ἐδύναντο ἐκεῖθεν ἀναστῆναι. ὕστερον δὲ Ἡρακλῆς ἐπὶ τὸν Κέρβερον καπελθὼν, Θησέα μὲν διὰ τὸ ἄκοντα καπελθεῖν ἀνέσωσε· Πειρίθεν δὲ, διὰ τὸ ἰδίᾳ φρονιμέσεα καταβῆναι, οὐκ ἔασεν. ἔτι δὲ τῦ Θησέως ἐν Ἅιδε ὄντος, στρατεύσαντες καὶ τὴ Τροιζῆνος οἱ Διόσκυροι Αἴθραν τὴ Θησέως μητέρα αἰχμάλωτον ἔλαβον.

Καὶ ἄλλως περὶ τῦ Θησέως λέγυσι· μὴ τὸ χαείσαθαι αὐτὸν τὴ δημοκρατίαν τοῖς Ἀθηναίοις, Λύκος τις συκοφαντήσας ἐποίησεν ἐξοστρακισθῆναι τὴ ἥρωα. ὁ δὲ φυγχυόμβυος εἰς Σκύρον, διῆγε σὺν Λυκομήδει τῷ δωιάστῃ τὴ νήσε, ὃς ζηλοτυπήσας, ἀναιρεῖ αὐτὸν δόλῳ. Ἀθηναῖοι δὲ λιμώξαντες καὶ κελευσθέντες ἐκδικῆσαι τῷ Θησεῖ, τὸν μὲν Λυκομήδη ἀνεῖλον, τὰ δὲ ὅσα μεταστιλάμενοι, καὶ Θησεῖον οἰκοδομήσαντες, ἰσοθέως ἔτω τιμᾶς νέμυσι. διανομαὶ δὲ καὶ εὐωχίαι τοῖς Θησείοις γίνονται. ταῖς δὲ ὀγδόαις τὰ Θησεῖα ἤγετο, καὶ πᾶσαν τὴ ἡμέραν ἐπανηγύιζον, εἰς τιμὴν τῦ ἥρως. ἑορτὴ αὐτῷ ἐπεπλεῖτο, ἐπειδὴ αὐτὸς σωτήραγε τὴ Ἀττικὴν, πρότερον σποράδην καὶ κατὰ κώμας οἰκεμβύλων.

ΠΕΡΙ ΘΕΟΓΝΙΔΟΣ.

ΘΕόγνις, εἷς ἦν τῶν παρ' Ἀθηναίοις τυράννων· καθάπερ φασὶν ἄλλοι τε ἐξ Ξενοφῶν ἐν δευτέρῳ Ἑλληνικῶν.

Καὶ Θέογνις ἕτερος Μεγαρεὺς, τῶν ἐν Σικελίᾳ Μεγάρων, γεγονὼς ἐν τῇ πεντηκοστῇ ἑνάτῃ Ὀλυμπιάδι. ἔγραψεν ἐλεγείαν εἰς τὺς σωθέντας τῶν Συρακυσίων ἐν τῇ πολιορκίᾳ, ἐς γνώμας δι' ἐλεγείας εἰς ἔπη διχίλια ὀκτακόσια. ἔγραψε δὲ ἐς γνώμας

παραινετικάς. ἡ Θέογνις, τραγῳδοποιητὴς πάνυ ψυχρός. ὃς καὶ Χίων ἐλέγετο. ἔστι δὲ καὶ ποιητὴς Μεγαρεύς, ἄλλος τις Θέογνις.

ΠΕΡΙ ΘΡΑΣΥΒΟΥΛΟΥ.

Θρασύβουλος, ἐραστὴς ὢν τῆς δημοκρατίας, καὶ αὐθάδης, καὶ δωροδόκος, καὶ ὑποφέρων τῷ δήμῳ, ἠβούλετο δι' αὐτοῦ πάντα πράττεσθαι. βουλόμενος δὲ καταλύσαι τοὺς τριάκοντα, καταλαβὼν Φυλὴν τόπον τινά, κἀκεῖσε συμμάχους λαβών, κατέλυσε. καὶ ἐπεὶ ἀλαζονικὸν ἐφθέγξατο, ἥκασε μὴ μνησικακῆσαι, καὶ ἐγένετο παροιμιακόν. Φυλὴ δὲ, δῆμος τῆς Ἀττικῆς· καὶ οἱ ἐνοικοῦντες, Φυλάσιοι. τὸ δὲ πρὸς τὴν Ἀριστοφάνει, εἰ σὺ Φυλὴν κατέλαβες, ἀντὶ τοῦ εἰ ἐπλούτησας, εἰ μέγας γέγονας. Φυλὴ γάρ, τόπος οὕτω καλούμενος.

ΦΙΛΟΣΟΦΟΙ.

ΠΕΡΙ ΤΟΥ ΘΑΛΗ.

Θαλῆς τῶν ἑπτὰ φιλοσόφων εἷς γέγονεν, Μιλήσιος· ὡς δὲ Ἡρόδοτος, Φοίνιξ· γεγονὼς πρὸ Κροίσου. πρῶτος οὗτος τὸ σοφὸν ἔσχεν ὄνομα· καὶ πρῶτος τὴν ψυχὴν ἔφησεν ἀθάνατον. ἦν δὲ ἐπὶ γεωμετρίᾳ διαβεβοημένος, πρῶτός τε τὰ περὶ ἡλίου ἔξεύρε. καὶ μὴν ἀλλὰ καὶ ἄκρος μηχανικὸς ἦν. στρατεύσαντος γὰρ Κροίσου πρὸς Κῦρον, καὶ μὴ δυναμένης τὴν στρατιὰν αὐτοῦ διαβῆναι τὸν Ἅλυν ποταμὸν μέγιστον, τοιόνδέ τι μηχανᾶται· ἄνω τὴν στρατιὰν ἰὼν, τέμνει τὸν ποταμὸν ἑτέρωσε ῥεῖν, ὃς πάντα, ἀλλὰ τὸ ῥεῦθρον αὐτοῦ ἐχιόνα· τὸ μὲν ἓν εἰς τὴν ἀρχαίαν πορείαν ἐχώρει· θάτερον δὲ ὑπὸ Ἀγκάλης εἶχε τὴν στρατιάν, καὶ ὅτως ἐπεραιώθησαν. ἐποίησε δὲ τὴν εἰς δύο τομὴν, ἵνα καὶ ἐπανιόντες περαιωθήσωνται. φέρεται αὐτοῦ ἀποφθέγματα πλεῖστα. ἔγραψε περὶ μετεώρων ἐπικῶς· περὶ ἰσημερίας καὶ ἐκλείψεως· καὶ ἄλλα πολλά.

ΠΕΡΙ ΤΗΣ ΘΕΑΝΟΥΣ.

Θεανὼ Κρῆσσα φιλόσοφος, θυγάτηρ μὲν Πυθώνακτος, γαμετὴ δὲ τοῦ μεγάλου Πυθαγόρου. φέρεται αὐτῆς ὑπομνήματα πολλὰ φιλόσοφα καὶ ἀποφθέγματα, καὶ ποιήματι δι' ἐπῶν. ἔστι καὶ ἑτέρα Θεανὼ Μεταποντικὴ, ἡ Θυρεία· ἔγραψε περὶ Πυθαγόρου, Πυθαγορεία ὅσα· περὶ ἀρετῆς Ἱπποδάμῳ Θυρείῳ· παραινέσεις γυναικείας· καὶ ἀποφθέγματα Πυθαγορείων.

ΠΕ-

ΠΕΡΙ ΘΕΑΙΤΗΤΟΥ ΤΟΥ ΑΣΤΡΟΛΟΓΟΥ.

Θεαίτητος, Ἀθηναῖος φιλόσοφος, καὶ εἰς τὸ ἄκρον ἀστρολόγος, μαθητὴς Σωκράτους, ἐδίδαξεν ἐν Ἡρακλείᾳ. ῥῶτος δὲ τὰ πέντε καλούμενα στερεὰ ἔγραψε. γέγονε μετὰ τὰ Πελοποννησιακά.

ΠΕΡΙ ΘΕΟΔΟΣΙΟΥ ΤΟΥ ΤΡΙΠΟΛΙΤΟΥ.

Θεοδόσιος, φιλόσοφος Τριπολίτης. ἔγραψε Σφαιρικὰ ἐν βιβλίοις τρισίν· διαγραφὰς οἰκιῶν ἐν βιβλίοις τρισίν. ἤτοι περὶ οἰκήσεων. ὑπόμνημα εἰς τὰ Θευδᾶ κεφάλαια· περὶ ἡμερῶν καὶ νυκτῶν β΄· ὑπόμνημα εἰς τὸ Ἀρχιμήδους ἐφόδιον· καὶ δι' ἐπῶν εἰς τὸ ἔαρ, καὶ ἕτερα διάφορα.

ΠΕΡΙ ΘΕΟΦΡΑΣΤΟΥ.

Θεόφραστος, Μελάντα γναφέως, ἀκουστὴς Ἀριστοτέλους. ἔγραψεν ἀναλυτικὰ πρότερα τρία· ἀναλυτικῶν ὑστέρων ἑπτά· ἀναλύσεις συλλογισμῶν· ἀναλυτικῶν ἐπιτομήν· ἀνηγμένων τόπων· περὶ λίθων· περὶ φυτῶν· περὶ μετάλλων· περὶ ὁρμῆς· τὰς καλουμένας χαρακτῆρας· καὶ ἄλλα.

ΠΕΡΙ ΘΕΩΝΟΣ ΤΟΥ ΑΛΕΞΑΝΔΡΕΩΣ ΚΑΙ ΤΩΝ ΑΛΛΩΝ.

Θέων, Ἀλεξανδρεύς, φιλόσοφος Στωϊκὸς ἐπὶ Αὐγούστου, ἔγραψεν ὑπόμνημα τῷ Ἀπολλοδώρῳ φυσιολογικῆς εἰσαγωγῆς· περὶ τεχνῶν ῥητορικῶν βιβλία τρία.

Καὶ ἕτερος Θέων Σμυρναῖος φιλόσοφος. καὶ Θέων Ἀντιοχεὺς ὁ ἐν Δάφνῃ φιλόσοφος Στωϊκός. ἔγραψεν ἀπολογίαν Σωκράτους. ἕτερος πρὸς τούτοις, ὁ ἐκ τῆς Μυσίας Ἀδραμυττηνὸς φιλόσοφος, σύγχρονος Πάππῳ τῷ φιλοσόφῳ, καὶ αὐτῷ Ἀλεξανδρεῖ. ἀμφότεροι ἐπὶ Θεοδοσίου τοῦ πρεσβυτέρου. ἔγραψε μαθηματικά, ἀριθμητικά· περὶ σημείων καὶ σκοπῆς ὀργάνων, καὶ τῆς τοῦ κοσμικοῦ φωνῆς· περὶ τῆς τοῦ κύκλου ἐπιτομῆς· περὶ τῆς Νείλου ἀναβάσεως· εἰς τὸν Πτολεμαῖον πρόχειρον κανόνα· καὶ εἰς τὸν μικρὸν ἀστρολάβον ὑπόμνημα.

ΡΗΤΟΡΕΣ.

ΠΕΡΙ ΘΕΟΔΕΚΤΟΥ ΤΟΥ ΡΗΤΟΡΙΚΟΥ.

Θεοδέκτης, Ἀριστάνδρου Φασηλίτης ὁ λυκίας ῥήτωρ. ἔγραψε τέχνην ῥητορικὴν ἐν μέτρῳ, καὶ ἄλλα τινὰ καταλογάδην· καὶ τραγῳδίας· ἐτράπη γὰρ καὶ ἐπὶ τραγῳδίας. ἀκμάσας Πλάτωνος, Ἰσοκράτους, Ἀριστοτέλους. οὗτος ἔσχεν καὶ υἱὸν Θεοδέκτην ῥήτορα καὶ αὐτόν· ὅστις ἔγραψεν ἐγκώμιον Ἀλεξάνδρου τοῦ Ἠπειρώτου· ἱστορικὰ ὑπομνήματα, νόμιμα βαρβαρικά, τέχνην ῥητορικὴν ἐν βιβλίοις ἑπτά· καὶ ἄλλα τινὰ ὑπομνήματα.

ΠΕΡΙ ΘΕΟΔΩΡΟΥ ΤΟΥ ΣΟΦΙΣΤΟΥ.

Θεόδωρος Βυζάντιος σοφιστής· ὃς ὑπὸ Πλάτωνος λογοδαίδαλος ἐκλήθη. ἔγραψε κατὰ Θρασυβούλου· κατὰ Ἀνδοκίδου, καὶ ἄλλα τινά.

ΠΕΡΙ ΘΕΟΔΩΡΟΥ ΤΟΥ ΓΑΔΑΡΕΩΣ.

Θεόδωρος, Γαδαρεὺς σοφιστής, ἀπὸ βύλων διδάσκαλος γενόμενος Τιβερίου Καίσαρος ἐπὶ Ἀδριανοῦ. ἔγραψε περὶ τῶν ἐν φωναῖς ζητουμένων βιβλία ιεʹ· περὶ ἱστορίας Αʹ· περὶ θέσεως Αʹ· περὶ διαλέκτων ὁμοιότητος καὶ ἀποδείξεως Βʹ· περὶ πολιτείας Βʹ· περὶ Κοίλης Συρίας Αʹ· περὶ δυνάμεως ῥήτορος Αʹ.

ΠΕΡΙ ΘΕΟΚΡΙΤΟΥ ΤΟΥ ΡΗΤΟΡΟΣ.

Θέοκριτος Χίος, ῥήτωρ· μαθητὴς Μητροδώρου τοῦ Ἰσοκρατικοῦ, ἔγραψε χρείας. φέρονται δὲ αὐτοῦ ἱστορίαι Λιβύης, καὶ ἐπιστολαὶ θαυμάσιαι· καὶ λόγοι παιγνιώδεις.

ΠΕΡΙ ΘΕΟΠΟΜΠΟΥ.

Θεόπομπος Χῖος ῥήτωρ, υἱὸς Δαμασιστράτου, γενόμενος κατὰ τοὺς χρόνους τῆς ἀναρχίας Ἀθηναίων ἐπὶ τῆς ργʹ Ὀλυμπιάδος, ὅτε καὶ Ἔφορος· Ἰσοκράτους ἀκμάσας, ἅμα Ἐφόρῳ ἔγραψεν ἐπιτομὴν τῶν Ἡροδότου ἱστοριῶν ἐν δυσὶ βιβλίοις· φιλικὰ ἐν βιβλίοις οβʹ· ἑλληνικὰς ἱστορίας. ἔπονται δὲ ταῖς Θουκυδίδου καὶ Ξενοφῶντος, καὶ εἰσὶν ἐν βιβλίοις ιάʹ· ἔχουσι τὰ ἀπὸ τοῦ Πελοποννησιακοῦ πολέμου καὶ λοιπά. ἔγραψε δὲ καὶ ἕτερα πλεῖστα.

ΠΕΡΙ ΘΕΩΝΟΣ ΤΟΥ ΣΟΦΙΣΤΟΥ.

ΘΕών, Ἀλεξανδρεὺς σοφιστὴς, ὃς ἐχρημάτισεν Αἰλιος. ἔγραψε τέχνην περὶ προγυμνασμάτων· ὑπόμνημα εἰς τὸν Ξενοφῶντα· εἰς τὸν Ἰσοκράτην· εἰς Δημοσθένην· ῥητορικὰς ὑποθέσεις· καὶ ζητήματα περὶ συντάξεως λόγου καὶ ἄλλα.

Καὶ ἕτερος σοφιστὴς Θέων ὁ Ὀυαλέριος. φέρεται αὐτοῦ εἰς Ἀνδοκίδην ὑπόμνημα. καὶ ἄλλος λόγων ῥητορικῶν σοφιστής· γεγονὼς ἀπὸ τῆς ἱερᾶς Μαρκέλλης τὸ γε ἀνέκαθεν, τὸ δ' ἐξ ὑπογενοῦς πατρόθεν ἀπὸ Ῥαδικίου διδασκάλου· ἔγραψε τέχνην ῥητορικὴν· ἀρχαίαν ἰσοραίαν· καὶ ἄλλα τινά. ἔστι καὶ ἄλλος Σιδώνιος, σοφιστὴς καὶ αὐτός· Γυμνασίου τοῦ σοφιστοῦ παῖς, παιδεύσας καὶ τὴν πατρίδα, ἐπὶ Κωνσταντίνου.

ΠΕΡΙ ΘΗΡΑΜΕΝΟΥΣ ΤΟΥ ΑΘΗΝΑΙΟΥ.

ΘΗραμένης Ἀθηναῖος ῥήτωρ, μαθητὴς Προδίκου τοῦ Κείου· ὃς ἐπεκαλεῖτο Κόθορνος. ἔγραψε μελέτας ῥητορικὰς καὶ ἄλλα.

ΠΕΡΙ ΘΗΡΑΜΕΝΟΥΣ ΤΟΥ ΚΕΙΟΥ.

ΘΗραμβίης Κεῖος σοφιστής. ἔγραψε μελετῶν βιβλία τρία· περὶ ὁμοιώσεως λόγου· περὶ εἰκόνων, ἤτοι προβολῶν· περὶ σχημάτων.

ΠΕΡΙ ΘΡΑΣΥΜΑΧΟΥ.

ΘΡασύμαχος Χαλκιδόνιος σοφιστὴς ἐν Βιθυνίᾳ. ὃς πρῶτος τερίοδον καὶ κῶλον κατέδειξε· καὶ τὸν νῦν τῆς ῥητορικῆς τρόπον εἰσηγήσατο, μαθητὴς Πλάτωνος τοῦ φιλοσόφου, καὶ Ἰσοκράτους τοῦ ῥήτορος. ἔγραψε συμβουλευτικούς· τέχνην ῥητορικήν· παίγνια· ἀφορμὰς ῥητορικάς.

ΠΟΙΗΤΑΙ.

ΠΕΡΙ ΘΑΛΗΤΟΥ ΤΟΥ ΠΟΙΗΤΟΥ.

ΘΑλῆτας Κρὴς, ἢ Ἰλλυριὸς λυρικὸς, γεγονὼς πρὸ Ὁμήρου, ἔγραψε μέλη. καὶ ἔπος Κνώσιος ῥαψῳδός· συνέθηκε ποιήματά τινα μυθικά.

ΠΕ-

ΠΕΡΙ ΘΕΟΓΝΗΤΟΥ.

Θ Εόγνητος κωμικός. τῶν δραμάτων αὐτοῦ Φάσμα, ἢ Φιλάργυρος· φιλοδέσποτος· Κένταυρος.

ΠΕΡΙ ΘΕΟΓΝΙΔΟΣ.

Θ Εόγνις, Μεγαρεὺς ὁ Σικελίας. ἔγραψε γνώμας· ἐλεγείας εἰς ἔπη βω· ᾧ φησὶ Κύρνον τὸν αὐτοῦ ἐρώμενον, γνωμολογίαν δι' ἐλεγείων· καὶ ἑτέρας ὑποθήκας παραινετικάς· πάντα ἐπικῶς. καὶ ἕτερος Θέογνις γραμματοποιός.

ΠΕΡΙ ΘΕΟΔΩΡΟΥ.

Θ Εόδωρος ποιητής· ὃς ἔγραψε διάφορα δι' ἐπῶν· ᾧ εἰς Κλεοπάτραν δι' ἐπῶν.

ΠΕΡΙ ΘΕΟΚΡΙΤΟΥ.

Θ Εόκριτος Πραξαγόρᾳ ᾧ Φιλίννης Συρακούσιος, καὶ δέ τινας, Κῶος. ἔγραψε τὰ καλούμενα βουκολικὰ ἐπη Δωρίδι διαλέκτῳ. τινὲς δὲ ἀναφέρουσιν εἰς αὐτὸν καὶ ταῦτα, Προιτίδας, ἐλπίδας, ὕμνους, ἡρωίνας, ἐπικήδεια μέλη, ἐλεγείας, καὶ ἰάμβους· ἐπιγράμματα.

ΠΕΡΙ ΘΕΟΠΟΜΠΟΥ.

Θ Εόπομπος, Θεοδέκτου, Ἀθηναῖος κωμικός. ἐδίδαξε δράματα κδ'. ἔστι δὲ τῆς ἀρχαίας κωμῳδίας καὶ Ἀριστοφάνει.

ΠΕΡΙ ΘΕΟΦΙΛΟΥ.

Θ Εόφιλος κωμικός. τῶν δραμάτων αὐτοῦ ὄφις ἰατρός· Ἐπίδαυρος, παγκράτεια, Βοιωτία, Προιτίδες, Νεοπτόλεμος.

ΠΕΡΙ ΘΕΣΠΙΔΟΣ.

Θ Έσπις, Ἰκαρίᾳ πόλεως Ἀττικῆς, τραγικός. ἐκκαιδέκατος ἀπὸ τοῦ πρώτου χορομβῷ τραγῳδοποιοῦ ἐπὶ γένους τοῦ Σικυωνίου τιθέμενος. καὶ πρῶτον μὲν χρίσας τὸ πρόσωπον ψιμυθίῳ ἐτραγῴδησεν· εἶτα ἀνδράχνῃ ἐσκέπασε τὸ πρόσωπον· καὶ μετὰ ταῦτα εἰσήνεγκε καὶ τοὺς τῶν προσωπείων χρῆσιν. δράματα αὐτοῦ, Ἄθλα Πελίου, Φορβάς, ἱερεῖς, ἡθοποιοί, Πενθεύς.

ΙΣΤΟ-

ΙΣΤΟΡΙΚΟΊ.

ΠΕΡΙ ΘΕΜΙΣΤΟΓΕΝΟΥΣ ΤΟΥ ΙΣΤΟΡΙΚΟΥ.

ΘΕμιστογένης Συρακούσιος, ἱστορικός. ἔγραψε Κύρου ἀνάβασιν καὶ ἄλλα τινὰ περὶ τῆς ἑαυτοῦ πατρίδος.

ΠΕΡΙ ΘΗΣΕΩΣ ΤΟΥ ΙΣΤΟΡΙΚΟΥ.

ΘΗσεὺς ἱστορικός. ἔγραψε τὰς τῶν ἐνδόξων βίους ἐν βιβλίοις πέντε· Κορινθιακῶν ἐν βιβλίοις τρισί· ἐν οἷς δὲ περὶ καταστάσεως τοῦ Ἰσθμικοῦ ἀγῶνος.

ΠΕΡΙ ΘΟΥΚΥΔΙΔΟΥ.

ΘΟυκυδίδης Ὀλόρου Ἀθηναῖος, μαθητὴς Ἀντιφῶντος. ἔγραψε τὸν Πελοποννησίων καὶ Ἀθηναίων πόλεμον. ἤκμασε δ' ἔτι παῖς τυγχάνων ὁ Ἡροδότου.

I

ΠΕΡΙ ΙΑΝΟΥΑΡΙΟΥ.

ΙΑνουάριος, ἄγαλμα τετράμορφον διὰ τὰς τέσσαρας τροπάς· οἱ δ' πλάττουσιν αὐτὸν ἐν τῇ δεξιᾷ χειρὶ κλεῖδα κατέχοντα, ὡς ἀρχὴν τοῦ χρόνου ὁ ἄνοιξις ἦν ἐνιαυτοῦ, ὁ θυρεόν. ἕτεροι δ' τῇ δεξιᾷ Τ', τῇ δ' ἀριστερᾷ ΞΕ' κατέχοντα, ὥσπερ τὸ ἐνιαυτόν. ὅθεν καὶ ὁ Λογγῖνος ἀιωναείου αὐτὸν ἑρμηνεῦσαι βάζεται, ὡσανεὶ αἰῶνος πατέρα.

ΠΕΡΙ ΙΑΣΙΩΝΟΣ.

ΙΑσίων, ὃν τὸν Ἑλλάνικον, Διὸς υἱὸς ὁ ἡμέρας· παρ' ὃν μετὰ τὸν κατακλυσμὸν εὑρέθη, φασὶ, σπέρματα. ὅθεν ἡ Δημήτηρ, ὃν τὸν μῦθον, ἐφίλει αὐτὸν, ὡς καὶ Ἡσιόδῳ δοκεῖ. καὶ μίγνυται οὐκ ἐν θαλάμῳ, ἀλλὰ ὁ ἐν νειῷ τριπόλῳ· ἦν ὁ αὐτὸς Ἡσίοδος ἐξαίρει ἀλεξιάρου καλέσας, καὶ παίδων δυκηλήτειραν. καὶ ἐκ τῆς τριάδος μίξεως ὁ Πλοῦτος γεννᾶται, ὁ ὠραῖος δηλαδή. ὁ δ' τῷ Ἰασίωνι τούτῳ ἐνσκήψας κεραυνὸς εἰς πολιὸν ἀυχμὸν

νοῆται, ὃς δὴ ὀλέθριος ἀπεναντίας ἦκεν τοῖς γεωργοῖς ὅπε γένηται. τὸ δ' ὅλον εἰπεῖν, ἐπεὶ γεωργικώτατος ὁ Ἰασίων, δόξαν ἔχε Δήμητρι σιωφκηκέναι, ἐκ τὸν Πλοῦτον τεκεῖν καθ' Ἡσίοδον. δοκεῖ δ' ἀφοσφυῶς κληθῆναι Ἰασίων, ἀφ' τὸ ἵημι, διὰ τὴν τῶν σπερμάτων ἔσιν, ὃ δὴ πέμψιν κ' τῆς γῆς. ὁ δ' Ἀρριανὸς ἱστορεῖ, κ' ὅτι Ἰασίων ἀδελφὸς Ἀετίωνος ἐκ Δαρδάνυ, πρόγονος Πριάμυ, ἐκ Δήμητρος καὶ Κόρης κάτοχος γλυκύθυμος εἰς τε Σικελίαν ἦλθε, κ' πολλὴν ἄλλην γῆν ἐπλανήθη, τὰ ἐκείνης ὄργια δεικνύων. διὸ λόγον ἔχειν, ὡς Δημήτης αὐτῷ μίσγεται.

ΠΕΡΙ ΤΩΝ ΙΔΑΙΩΝ ΔΑΚΤΥΛΩΝ.

Ἰδαῖοι Δάκτυλοι Ἀγχιάλης Νύμφης λέγονται εἶναι. Ἑκαταῖος δὲ Μιλήσιος λέγει, ὅτι Νύμφη τις Ἀγχιάλη Ὀιαξίδος γῆς δραξαμένη, ἐποίησε τὰς Ἰδαίας Δακτύλους, ἐκ ὅτι διὰ τὸ ῥυῆναι αὐτὰς διὰ τῶν χειρῶν, Δάκτυλοι ἐκλήθησαν. οἱ δὲ τὰς Ἰδαίας Δακτύλους ἐξ ἐκ πέντε φασὶν εἶ)· ἐκ τὰς μὲν δεξιὰς, ἄῤῥενας, τὰς δὲ ἀριστερὰς, θηλείας. Φερεκύδης δὲ τὰς μὲν δεξιὰς εἴκοσί φησιν εἶ)· τὰς δ' εὐωνύμους, τειάκοντα δύο. γόητες δὲ ἦσαν καὶ φαρμακεῖς· κ' δημιοργοὶ σιδήρυ λέγονται πρῶτοι, κ' μεταλλεῖς. ὠνομάθησαν δ' Ἰδαῖοι, ἀπὸ τῆς μητρὸς Ἴδης· οἱ μὲν ἀριστεροὶ, γόητες· οἱ δ' δεξιοὶ, ἀναλύοντες. οἱ δέ φασιν ὅτι Ἰδαῖοι ἐκλήθησαν, ἐπειδὴ ἐν τῇ Ἰδῃ σιωτυχόντες τῇ Ἥρᾳ ἐδεξιώσαντο τὸν θεόν· κ' τῶν δακτύλων αὐτῆς ἥψαντο. Μνασέας δ' λέγει ὅτι Δάκτυλοι λέγονται ἀπὸ Δακτύλυ τυ πατρός· κ' Ἰδαῖοι, ἀπὸ τῆς μητρὸς Ἴδης. δεῖ δ' εἰδέναι ὅτι Ἰδαῖοι, ἐκ Δάκτυλοι, καὶ Κυρῆτες, κ' Κορύβαντες, οἱ αὐτοί εἰσιν.

ΠΕΡΙ ΤΟΥ ΙΑΣΟΝΟΣ.

Τυρὼ, ἡ Σαλμωνέως θυγάτηρ, ἔτεκε τῷ Ποσειδῶνι Νηλέα κ' Πελίαν. εἶτα γαμεῖται Κρηθεῖ τῷ Αἰόλυ παιδί· κ' τίκτει αὐτῷ Αἴσονα, Φέρητα, ἐκ Ἀμυθάονα. κ' γίνεται ἐκ μὲν Αἴσονος, Ἰάσων· ἐκ δ' Φέρητος, Ἄδμητος· ἐκ δ' Ἀμυθάονος, Μελάμπους. ἐκ ὁ μὲν Ἰάσων, ἐκδίδοται Χείρωνι τρέφειν, ἐκ τὴν ἰατρικὴν μανθάνειν, Αἴσονος τυ πατρὸς τὴν βασιλείαν τῷ ἑαυτυ ἀδελφῷ Πελίᾳ καταλιπόντος, ἄρχειν τε ἐκ κρατεῖν τ Θεσσαλίας κελεύσαντος, ἕως ἂν ὑποστραφῇ Ἰάσων ἀπὸ Χείρωνος. χρησμὸν δ' ἦν εἰληφὼς ἀφ' τυ Ἀπόλλωνος ὁ Πελίας φυλάττεσθαι τὸν ἀπιόντα σφὸς αὐτὸν μονοπέδιλον· τεθνήξεσθαι γὰρ δι' αὐτόν. ὁ

δὲ

δὲ Ἴάσων αὐξηθεὶς, ἐρχεται πρὸς τὸν ἀδελφὸν τοῦ πατρὸς, μεθέξων καὶ αὐτὸς τῆς βασιλείας τοῦ πατρός. χειμάζοντι δὲ αὐτῷ ἐπὶ τῷ Ἀναύρῳ ποταμῷ, (ἔστι δὲ οὗτος τῆς Θεσσαλίας) καὶ βουλόμενος παρελθεῖν, δύεται ἐπὶ τῆς ὄχθης τὴν Ἥραν γυμνὴ ὁμοιωθεῖσαν, διαπεράσαι μὴ βουλομένῳ, φοβουμένῳ δέ, καὶ ἑστῶτα. εἶτα τοῦτο γνοὺς Ἴάσων, λαβὼν ἐπὶ τῶν ὤμων, διασώζει. κατὰ δὲ τὸ μέσον τοῦ ποταμοῦ, τὸ ἓν πέδιλον ἀποβάλλει τοῦ πηλοῦ. εἶτα ἀπέρχεται ἐπὶ τὴν πόλιν, μονοπέδιλος, καὶ εὑρίσκει πανήγυριν δημοσίαν, καὶ θυσίαν ἀγομένην τοῖς θεοῖς ὑπὸ Πελίου. θεασάμενος δὲ μονοπέδιλον τὸν Ἴάσονα ὁ Πελίας, ἀναμιμνήσκεται τοῦ χρησμοῦ. βουλευόμενος δὲ αὐτὸν ἀνελεῖν, ἄθλον αὐτῷ προστάττει τοιοῦτον, εἰπὼν ὅτι, ἀπελθὼν εἰς τὴν Σκυθίαν, τὸ χρυσόμαλλον δέρας κόμισον, καὶ λήψῃ τὴν βασιλείαν τοῦ σοῦ πατρός. τοῦτο δὲ προσέταξεν, οὐχ ὡς τοῦ κωδίου τοῦ χρυσοῦ δεόμενος, ἀλλ' ὀιόμενος αὐτὸν ἐν τῇ ἀλλοδαπῇ ἀναιρεθήσεσθαί τινος, ἢ ἐν τῇ θαλάσσῃ ναυαγήσειν. ὁ δὲ Ἴάσων πλεύσας διὰ τῆς Ἀργοῦς εἰς Κόλχους, καὶ μεταμορφωσάμενος τὸ χρυσοῦν δέρας, ἐπανῆλθε. καὶ Πελίου ἀποκειμένου αὐτῷ βασιλείαν ὑπὸ τοῦ πατρὸς διεδέξατο τοῦ Πελίου φυγόντος.

Τὰ δὲ περὶ τοῦ χρυσομάλλου δέρατος οὕτως ἔχει· Ἀθάμας, υἱὸς Αἰόλου, ἀδελφὸς Κρηθέως, ὡς Ἀπολλώνιός φησιν· (ἀμφω γὰρ Κρηθεὺς Ἀθάμας τ' ἔσαν Αἰόλου υἱες,) ποιεῖ ἐκ Νεφέλης δύο παῖδας, Φρίξον καὶ Ἕλλην. πλανησάσης δὲ αὐτῆς, γαμεῖ δευτέραν γυναῖκα τὴν Ἰνώ. αὕτη δὲ, ὡς μητρυιὰ, ἐπεβούλευε τοῖς παισὶ, τοῖς ἐκ τῆς προτέρας γυναικός· καὶ φρύττουσα τὰ σπέρματα, παρεῖχε τοῖς γεωργοῖς πρὸς σπόρον. οἱ δὲ, ἔσπειρον μὴ ἐν τῇ γῇ. ἡ δὲ γῆ λαβοῦσα, οὐκ ἔφερε τοὺς καρποὺς τοὺς ἐπισίους διὰ τὸ πεφεύχθαι τὸν σπόρον. Ἀθάμας οὖν, ὡς βασιλεύς, συναγαγὼν τοὺς μάντεις, ἠρώτα αὐτοὺς, μαθεῖν βουλόμενος τὴν αἰτίαν τῆς ἀφορίας. ἡ δὲ Ἰνὼ πέμπει πρὸς αὐτοὺς, δῶρα ἐπαγγελλομένη δώσειν, ἐὰν φήσειν πρὸς Ἀθάμαντα, ὡς εἰ μὴ ἀναιρεθείη τὰ τέκνα τὰ ἐκ τῆς προτέρας γυναικὸς αὐτοῦ γεγονότα, Φρίξου καὶ Ἕλλης, οὐκ ἂν ἐκφύσειεν ἡ γῆ τοὺς καρπούς. πεισθέντες δὲ οἱ μάντεις λέγουσι ταῦτα προσρέψαντες τῷ Ἀθάμαντι. μελόντων δὲ τῶν παίδων τῆς Νεφέλης Φρίξου καὶ Ἕλλης φονεύεσθαι, κριὸς ἀπήγγειλεν αὐτοῖς τὸν ἐπικρεμάμενον κίνδυνον. εἶτα ἐπὶ τῶν νώτων λαβὼν ἔστειλεν εἰς θάλασσαν· καὶ νηχόμενον ἔφερεν αὐτούς. ἐλθὼν δὲ εἰς τὸ Τρωϊκὸν πέλαγος ἀποβάλλει τὴν Ἕλλην· ὅθεν καὶ ἀπ' αὐτῆς Ἑλλήσποντος ὠνομάσθη· τὸν δὲ Φρίξον ἐπὶ τὴν Σκυθίαν

διακομίζει. ἔνθα αὐτὸς σφάζει μὲν τὸν κριὸν, Διὶ δὲ Φυξίῳ θύει· ὅτι ἐξέφυγε τὴν ἐπιβουλὴν τῆς μητρυιᾶς. γαμεῖ δ' Χαλκιόπην τὴν θυγατέρα Αἰήτου τοῦ Σκυθῶν βασιλέως· καὶ ποιεῖ ἐξ αὐτῆς παῖδας τέσσαρας, Ἄργον, Κυτίσσωρον, Μέλανα, καὶ Φρόντιν· καὶ ὕστερον ἐκεῖ τελευτᾷ.

Ἰάσονος γενεαλογία, καὶ πῶς ἀπέκτατο αὐτῷ κληρονομήσαι τὸ χρυσόμαλλον δέρας.

ΣΑΛΜΩΝΕΥΣ, ὁ τῆς Ἀχαΐας καὶ Ἤλιδος βασιλεύς, γήμας ΤΥΡΩ,

ἥτις πρῶτον ἐκ Ποσειδῶνος γήμας ΝΗΛΕΑ, ΠΕΛΙΑΝ.

γήμασα δὲ τοὺς δύο τούτους παῖδας, παρὰ τοῖς Ἐνιπέως τοῦ ποταμοῦ ῥείθροις, κατέλιπε· τὸν μὲν οὖν ἕνα κύων, ἀφαιρεθέντων αὐτῆς τῶν τέκνων, παρέσχετο θηλήν, ἔτρεφε· τὸν δὲ ἕτερον ἵππος κατὰ τὸ μέτωπον ἐπάτησεν. ἐπελθόντες οὖν οἱ ἱπποφορβοὶ, ἀνελόμενοι τὰ παιδία ἔτρεφον· καὶ τὸν μὲν, ἐπεὶ ἐκ συῶν δορᾶς αἵματος ἐπελιώθη, Πελίαν ὠνόμασαν· τὸν δὲ ἕτερον, ἐπεὶ κύων κατηλέησε, Νηλέα. ὕστερον δὲ ἡ Τυρὼ γαμεῖται Κρηθεῖ τῷ Αἰόλου παιδὶ, καὶ τῷ ἱπποτάδῃ· ἐξ οὗ γήμας

ΑΙΣΩΝΑ, ΦΕΡΗΤΑ, ΑΜΥΘΑΟΝΑ,
ἐξ οὗ ἐξ οὗ ἐξ οὗ
ΙΑΣΩΝ, ΑΔΜΗΤΟΣ. ΜΕΛΑΜΠΟΥΣ.
οὗ ἐκ τῆς Ὑψιπύλης
τῆς Λημνίας,
ΕΥΝΕΩΣ, ἢ ΕΥΗΝΟΣ.

ΑΘΑΜΑΣ, υἱὸς Αἰόλου, ἀδελφὸς Κρηθέως πάππου ΙΑΣΟΝΟΣ ἐκ τῆς ΝΕΦΕΛΗΣ γήμας

ΦΡΙΞΟΝ, ΕΛΛΗΝ.
οὗ καὶ
Χαλκιόπης
τῆς Αἰήτου τοῦ Σκυθῶν βασιλέως, ὃν ἔγημεν ἐκεῖ σωθεὶς διὰ τοῦ χρυσομάλλου ἀρνὸς,

ΑΡΓΟΣ, ΚΥΤΙΣΣΩΡΟΣ, ΜΕΛΑΣ, ΦΡΟΝΤΙΣ.

ὥστε τὸν Ἰάσονα δεύτερον ἐξάδελφον τοῖς παισὶ τοῦ Φρίξου δυνάμει καταριθμεῖσθαι. τούτου ἕνεκεν καὶ ὡς κληρονόμος τοῦ χρυσοῦ δέρατος ἦλθεν εἰς Κόλχους· ἔθανον γὰρ οἱ υἱοὶ Φρίξου εἰς τὸν τῶν Ἀλβανῶν πόλεμον, μὴ λιτόντες σπέρμα· Ἀλβανοὶ δὲ, οἱ νῦν Μίγκρελλοι.

ΠΕ-

ΠΕΡΙ ΤΟΥ ΙΔΟΥ.

Ἴδας, Ἀφαρέως μὲν υἱὸς, ἀδελφὸς δὲ Λυγκέως· ὅτος ἄεισος τοξότης ὑπάρχων, τῷ Ἀπόλλωνι, καὶ μῦθον, ἀντικατέστη, ἁρπάζοντι καὶ ἔρωτα τίω Μάρπησαν τίω αὐτοῦ γαμετὴν, ὐκ ἐθέλησαν· ὡς δὲ ὁ Λυκόφρων ἱστορεῖ. καὶ φαίνεται μὲν ἀμυθήτω κάλλος αἴνιγμα εἶ) ὁ τοῦ Ἀπόλλωνος ἡλίου, εἰς τίω ἡρωΐδα Ἰωτίω ἔρως, ὡς ἀξιοθέατον, δὲ ὅιον ἡλιώδη τὸ εἶδος, δὲ διὰ τοῦτο τῷ ἡλίῳ ῥέπουσαν. ᾠδεῖάδεται δὲ ὅμως, ἄλλως τὸ φίλανδρον τῆς Μαρπήσης· ἦν ὁ μῦθος λέγει πολλάτε κλαῦσαι, ὅτε ὑπὸ Ἀπόλλωνος ἡρπάγη· δὲ αἵρεσιν χοῦσαν ῥοελέσθαι Ἀπόλλωνος, τὸν αὐτῇ συγγηράσαντα θνητὸν Ἴδαν. ἦν δὲ θυγάτηρ Εὐήνου τοῦ γαμβροκτόνου· ὃς εἰς ἁρματηλασίαν τοὺς μνηστῆρας τῆς θυγατρὸς προκαλούμενος, καθά καὶ ὁ Οἰνόμαος, δὲ τῷ διεκφυγόντι αὐτὸν διώκοντα, εἰς ἄεισεῖον δίδους αὐτήν· δὲ τοὺς λειπομένους, ὃ ὅξιν ἠττωμένους, καρατομῶν, καὶ τὰς κεφαλὰς τῆς οἰκίας ἁπαιωρῶν εἰς ἐκφόβησιν δεινὰ ἐποίει. ἐπεὶ δὲ ὁ Ἴδας ὑπερήλασεν αὐτὸν, ἁρπάσας τίω Μάρπησαν, καὶ ἐκεῖνος ἐπιδιώξας, ὃ καπέλαβε, κατασφάττει μὲν τοὺς ἵππους, ἑαυτὸν δὲ ῥίπτει ἐς τὸ πεῖν μὲν Λυκόρμαν ποταμὸν, ἀπ' ἐκείνου δὲ, Εὔηνον.

ΠΕΡΙ ΤΟΥ ΙΔΜΩΝΟΣ.

Ἴδμωνα Χαμαιλέων τὸν Θέστορά φησι καλεῖσθαι δι' ἐμπειρίας. Φερεκύδης δὲ τὸν Ἴδμωνα Ἀσπειρίας τῆς Κορώνης, δὲ Ἀπόλλωνός φησι γενέσθαι· τοῦ δὲ, καὶ Λαοθοίας, Θέστορα· τοῦ δὲ, Κάλχαντα. ὁ δὲ Ἀπολλώνιος, Ἀβαντός φησιν· συμμαρτυρεῖ δὲ αὐτῷ δὲ Ἡρόδοτος, ὄν τινα καὶ Αἰολίδαν λέγει· ὅτι Αἰόλου τοῦ Ἕλληνος γίνεται Κρηθεὺς δὲ Ἀθάμας· Κρηθέως δὲ Ἀμυθάων καὶ Αἴσων· Ἀμυθάονος δὲ, Μελάμπους· τοῦ δὲ Ἄβας, οὗ Ἴδμων.

ΠΕΡΙ ΙΛΑΟΝΟΣ.

Ἰλάων, ἥρως, Ποσειδῶνος υἱός· ἀφ' οὗ Ἀριστοφάνης ὁ Τριφαλίτης, Ἰλάονας ἔφη τοὺς φάλητας μεταφέρων, ὡς ὑπερβάλλοντας τῷ μεγέθει, ὥστε ἔλεγε Τιτυούς, ἤ τινας τοιούτους. ἄλλοι δὲ θεὸν Πειραιῶδη φασίν.

ΠΕΡΙ ΤΗΣ ΙΝΟΥΣ.

ΠΟΣΕΙΔΩΝ ἐκ τῆς Δαμνοῦς τοῦ Βήλου γίνεται
ΑΓΗΝΟΡΑ,
ἣ δὲ Ἀργιόπης τοῦ Νείλου ποταμοῦ
ΦΟΙΝΙΞ, ΙΣΑΙΗ, ΜΕΛΙΑ, ΚΑΔΜΟΣ, ΕΥΡΩΠΗ.
ἣ καὶ
Ἁρμονίας,
ΙΝΩ, ΣΕΜΕΛΗ, ΑΓΑΥΗ, ΑΥΤΩΝΗ.

Ἰνὼ, γυνὴ ἦν Ἀθάμαντος, μετὰ τὴν Νεφέλην· ἀφ' ἧς ὁ τοῦ ἀφ' Ἀθάμαντος εἴρηται· ἥτις φεύγουσα μετὰ τοῦ παιδὸς αὐτῆς Παλαίμονος, τοῦ πρότερον Μελικέρτου λεγομένου, διὰ τὸ διώκεσθαι ὑπὸ Ἀθάμαντος μανέντος, εἰς θάλασσαν ἀπέπτη· ἐξεχύθη δὲ περὶ Κόρινθον ὑπὸ δελφῖνος. Ἀμφίμαρχος δὲ καὶ Δονακῖνος ἀνελόμενοι τὸ σῶμα, ἄγουσιν εἰς Κόρινθον. ὁ δὲ Σίσυφος ἀδελφὸς ὢν Ἀθάμαντος, βασιλεύων Κορίνθου, ἀγῶνα ἐπὶ θυσίαν ἐπ' αὐτοῖς ἐπισίως ἐκέλευσε γενέσθαι· ὅθεν ἐπὶ θεοῦ αὐλὸς κεκλήκασι· καὶ Λευκοθέαν ἀπὸ τοῦ τῆς θαλάσσης ἄρρενος, τὴν Ἰνὼ ὠνόμασαν. καὶ Βύνη, ἡ αὐτὴ παρὰ Λυκόφρονι· οἷον, Βύνης καταλέκτειαι αὐδήεσσης. εἴρηται δὲ, παρὰ τὸ εἰς βυθὸν δύνειν, βυθοδύνη· καὶ κατὰ συγκοπὴν, δύνη· ἢ παρὰ τὸ δύνω, δύνη, ἡ καταδύσα εἰς θάλασσαν, καὶ βύνη κατὰ τροπήν· ἢ παρὰ τὸ βύω, τὸ κολυμβῶ· ἢ παρὰ τὸ βύω, τὸ κρύπτω, ὅπερ ἐστὶν ἄμεινον· ὅθεν καὶ ἡ αὐτὴ, Βύνη.

ΠΕΡΙ ΙΞΙΟΝΟΣ.

Ἰξίων, κατὰ μὲν Εὐριπίδην, Φλεγύου παῖς ἦν· κατὰ δὲ Φερεκύδην, Αἰτωνος· ὃς γαμήσας Δίῃ τὴν Ἠιονέως, ποινὰ ὑπέσχετο δώσειν ἕδνα. ἐλθόντος δὲ ἐπὶ τοῦτο τὸ Ἠιονέως, βάραθρον ποιήσας ὁ Ἰξίων, ἐπυρακτώσας σκεπάζει αὐτὸ λεπτοῖς ξύλοις καὶ κόνει λεπτῇ· ἐμπεσὼν δὲ εἰς τοῦτο ὁ Ἠιονεὺς, ἀπώλετο. λύσσα δὲ τῷ Ἰξίονι ἐπέπεσε διὰ τοῦτο· καὶ θύειν ἤθελεν αὐτὸν ἀγνίσαι ὅτε θεῶν, ὅτ' ἀνθρώπων· ὅτι ὡρῶτος ἐμφύλιον ἄνδρα ἀπέκτεινεν. ἐλεήσας δὲ ὁ Ζεὺς ἀγνίζει αὐτόν· καὶ ἀγνισθεὶς ἠράσθη τῆς Ἥρας. ὁ δὲ Ζεὺς νεφέλην ὁμοιώσας Ἥρᾳ παρακοιμίζεται αὐτῷ· καὶ ὕστερον ποιήσας τροχὸν τετράκυκλον, καὶ δεσμεύσας αὐτὸν τιμωρεῖται.

Ἄλλως δὲ, ἔοικεν ὁ Ἰξίων φανταστικός τις εἶναι, καὶ πραγμά-

μάτων ἐφιέμενος ὑπὲρ αὐτὸν ὄντων, οἷσιν πολλὸς ὁ μακρὸς χρόνος ἤνεγκε. διόπερ ὁ μῦθος ἐρᾶν αὐτὸν λέγει τῆς Ἥρας, ὕψους τινὸς δηλαδὴ ἡγεμονικοῦ. καὶ γὰρ οἱ παλαιοὶ καὶ εἰς ποιότόν τι, ὡς εἴρηται, τὸν Ἥραν ἐκλαμβάνουσι, ζωὴν ἀρίστην λέγοντες τὴν βασιλικήν· ἧς διεκπεσὼν ὁ Ἰξίων ἐμίγη, φησὶ, τῇ νεφέλῃ, σκιᾷ τινὶ δηλαδὴ καὶ φαντάσματι τῆς φιλοσοφίας ὑψηλῆς ζωῆς, ᾗ ἐδώλου τοῦ ποθουμένου· ᾗ ἀπέτεκε Ἱπποκενταύρους, ἀνυποστάτους δηλονότι ἐννοίας, ᾗς οὐκ οἶδε φύσις τελεσφορεῖν· οὐδὲν γάρ ἐστιν ὁ Ἱπποκένταυρος, ὥσπερ οὐδὲ ὁ τραγέλαφος.

ΠΕΡΙ ΙΚΑΡΙΟΥ ΤΟΥ ΠΑΤΡΟΣ ΤΗΣ ΠΗΝΕΛΟΠΗΣ.

Ἴκάριος, Λάκων τὸ γένος, ὁ πατὴρ Πηνελόπης, ἀδελφὸς ἦν Τυνδάρεω τοῦ Λάκωνος, τοῦ παλαιοῦ τῆς Ἑλένης· οἳ τῆς οἰκίας ἐκπεσόντες ὑπὸ Ἱπποκόωντος, ἦλθον εἰς Θέσιον Πλευρωνίων ἄρχοντα· ᾧ τὴν πέραν Ἀχελῴου συγκαπεκτήσαντο. ὕστερον δὲ, Τυνδάρεως μὲν τὴν Θεσίου θυγατέρα Λήδαν λαβὼν, ἐπανῆλθεν· ἀφ' ἧς ἐγένοντο αὐτῷ Ἑλένη καὶ οἱ Διόσκουροι· Ἰκάριος δὲ ἐπέμενε, μέρος, φασὶν, ἔχων τῆς Ἀκαρνανίας· ἔνθα καὶ τεκνωσάμενον Πηνελόπην ἐκ Πολυκάστης, τῷ Ὀδυσσεῖ ὡρὸς γάμον ἐξέδοτο.

ΠΕΡΙ ΤΗΣ ΙΠΠΟΔΑΜΕΙΑΣ.

Ἱπποδάμεια ἔτεκεν ἐκ τοῦ Πέλοπος, Ἀτρέα, Θυέστην, Πιτθέα, Ἀλκαθόην, Πλειστθένην, Χρύσιππον· οἱ δὲ, Ἀτρέα, Θυέστην, Ἀλκαθόην, Ἵππαλκον, Πιτθέα, Δίαντα, ἢ Χρύσιππον· ὅς τινας λαγέτας καλεῖ Πίνδαρος, ἦγεν ἡγεμόνας· ᾗ Ἱπποδάμεια, ἀγορὰ ἐν Πειραιεῖ ὕστερον καλουμένη, ἀπὸ Ἱπποδάμου Μιλησίου ἀρχιτέκτονος, τοῦ οἰκοδομησαμένου Ἀθηναίοις τὸν Πειραιᾶ.

ΠΕΡΙ ΙΠΠΟΔΑΜΟΥ.

Ἱππόδαμος τὸν Πειραιᾶ ὡρῶτος κτίσας τὰ Μηδικὰ σωήγαγεν· ὅπου καὶ κατῴκει, καὶ οἰκίαν εἶχεν, ἥπερ ἀνῆκε δημοσίαν εἶναι. ἦν δὲ Ἀθηναίοις λίμνος· διεβάλλετο δὲ ἐπὶ πολυφαγίᾳ. Ἀριστοφάνης· ὁ δὲ Ἱππόδαμος ἐωυτὸν ὧν τῇ πόλει, καταλείβεται τοῖς δάκρυσιν, ἀναξίως ὁρῶν σε τὰ τῆς πόλεως καρπούμενον.

ΠΕΡΙ ΙΣΙΔΟΣ.

Ἶσις, δαίμονός ἐστιν ὄνομα τιμωμένης παρὰ Αἰγυπτίοις. ὃ τοῦ Ἴτον ὃ γίνεται Ἶσις· ἡ αὐτὴ γάρ ἐστι τῇ γῇ· καὶ γὰρ ἡ γῆ

ἴση

ἴστη ἐστὶ δὲ σφαιροειδής. ἄλλοι δὲ λέγουσιν, ὅτι αὕτη ὀξὺν ἡ Ἰὼ τότε χάειν διὰ τὸ Ι γράφεται· ἐπειδὴ πρῶτα τὸ ἰέσθαι ὀξύ· δὲ γὰρ πολλὰ ἐπλανήθη ἡ Ἰὼ μεταβληθεῖσα εἰς βοῦν. ὑπάγεται δὲ τὸ Ἴσις, τῷ κανόνι τοῦ Βιθυνία· δὲ γὰρ ἔχει τὸ Ι ἐν τῇ δευτέρᾳ συλλαβῇ, ὡς Ἶσις.

ΠΕΡΙ ΙΣΤΙΑΙΑΣ.

Ἰστιαία, θυγάτηρ Τελέως, ἀρχαία ἡρωΐς, ἀφ' ἧς ἡ πόλις ὠνόμασται Ἰστιαία. κεῖται δὲ ἡ Ἰστιαῖα ὑπὸ ὄρει πρὸς τὸν Κάλαντα ποταμὸν ἐπὶ πέτρας ὑψηλῆς· διὸ καὶ Ὠρεὸς ἐκλήθη, ἐκτάσει δηλαδὴ τοῦ Ο εἰς Ω, διὰ τὸ ὀρείους, φασὶν, εἶναι τοὺς τροφοικήσαντας. δοκεῖ δὲ, φασὶ, καὶ Ὠλίων ἐνταῦθα τραφεὶς, ἀφεῖναι τὸ ὄνομα αὐτῇ. οἱ δὲ ἀνάπαλιν, ὅτι δὲ ὁ Ὠλίων ἐνταῦθα τραφεὶς, ὕστερον λέγεται ὀνομασθῆναι. ἦν δὲ δὲ γυνὴ σοφὴ Ἀλεξανδρινὴ, καὶ τὸν Γεωγράφον, Ἰστιαίαν δὲ Ἑστιαίαν.

ΠΕΡΙ ΤΟΥ ΙΤΤΟΣ.

Ἴτυς, υἱὸς ἦν Τηρέως δὲ Πρόκνης τῆς ἑαυτοῦ γαμετῆς· Παυδίονος γὰρ, ὁ τῶν Ἀθηναίων βασιλεὺς, Πρόκνην τὴν ἑαυτοῦ θυγατέρα εἰς γάμον ἐκδίδωσι τῷ Τηρεῖ Θρᾳκῶν δυναστεύοντι. ὁ δὲ μετὰ τοὺς γάμους ἀφικνεῖται πρὸς Θρᾴκην μετὰ Πρόκνης, ἐξ ἧς ἔσχεν Ἴτυν. μετὰ δὲ χρόνον συχνὸν, ποθήσης τὴν ἀδελφὴν Φιλομήλαν τὴν Πρόκνης ἰδεῖν, ὁ Τηρεὺς Ἀθήναζε ἀπελθὼν, καὶ λαβὼν καθ' ὁδὸν, αὐτὴν διεκόρησε· καὶ τὴν γλῶτταν αὐτῆς ἀποτάμνει, μὴ δῆλα θείη τὰ πραχθέντα Πρόκνῃ. ἡ μὲν ἀλλ' ὑφάνουσα, διὰ γραμμάτων ἐδήλωσε τὸ συμβάν. Πρόκνη μὲν οὖν μαθοῦσα τὴν συμφορὰν, σφάξασα τὸν υἱὸν Ἴτυν, εἰς βρῶσιν παρέθηκε τῷ Τηρεῖ. ὁ δὲ γνοὺς, ἐδίωκεν αὐτὰς ξίφει, πῦ πῦ φθεγγόμενος. Πρόκνη μὲν οὖν, κατά τινας, ὡς ἐν τῷ περὶ Παυδίονος λεκθήσεται, Τηρεὺς ἦν βοῶσα τῷ φόβῳ· Φιλομήλα δὲ ἡ Ἴτυν θρηνοῦσα, Ἴτυ Ἴτυ ἐλεεινῶς ἐφθέγγετο. τοῦ δὲ Διὸς ἐλεήντος, ἡ μὲν Φιλομήλα, εἰς ἀηδόνα, ἡ δὲ Πρόκνη, εἰς χελιδόνα μεταβληθῆναι, ἔτι γε μὴν καὶ Τηρεὺς εἰς ἔποπα, ταῦτα φθέγγεσθαι φαίνονται ἕκαστος ἀεὶ ποτε.

ΠΕΡΙ ΤΗΣ ΙΦΙΓΕΝΕΙΑΣ.

Ἰφιγένεια, κατά τινας, Νεοπτολέμῳ τῷ Ἀχιλλέως μήτης ὑπῆρχεν· μετὰ δὲ τὸν ἐπ' Εὐρίπῳ Ἰφιγενείας θυσίαν, ὡς φησι Πίν-

δα-

δαρ. Ἰφιγένεια δὲ ἐπ' Εὐείπῃ σφαγεῖσα, παρέθετο, ὥς τινές φασιν, Ἀχιλλεὺς τὸν παῖδα Δηϊδαμείᾳ ἐν Σκύρῳ τῇ νήσῳ. Τρυφιόδωρος δ' ὁ λοιποὶ πάντες Δηϊδαμείας τ Λυκομήδους θυγατρὸς καὶ Ἀχιλλέως παῖδα τὸν Νεοπτόλεμον ἴσασι. φησὶ γοῦν ὁ Τρυφιόδωρος ὅτος·

Τιὸς Ἀχιλλέως, ἐκ ἑταιρῆς Δηϊδαμείας.

τὴν δ' Ἰφιγένειαν κ τὰς ἀκριβεῖς τῶν ἱστορικῶν, ἡ γυναῖκα ἔσχεν Ἀχιλλεύς, ἀλλὰ καταγεθέντων τῶν ἀνέμων ἐν τῷ διάγειν τοὺς Ἕλληνας ἐν Αὐλίδι, πέμπτον εἰς Μυκήνας ἀφελέσθαι ὡρὸς θυσίαν τ Ἰφιγενείαν. ἐρομένης δὲ τῆς Κλυταιμνήστρας τ αὐτῆς μητρὸς, τίς ἡ χρεία αὐτῆς, ἔφησαν Ἀχιλλεῖ μέλλειν συνάψαι αὐτήν. οἱ δ' τῷ ὄντι λέγειν, δι' Ἀχιλλέως τοῦτον κομισθῆναι ἐν Αὐλίδι, ἐκ διὰ τὸ σύμφωνον τὸ συμβὰν ὠδὶ τοὺς ἀνέμους, ἔμελλον αὐτῷ θύειν, ὅπε ἀπὸ τ Ἑλλάδος ἀπόπλους τῶν Ἑλλήνων ἐπὶ Τροίαν ἐγίνετο. ἐν τῇ Αὐλίδι τοίνυν τ Βοιωτίας, θυσίας γιγνομένης τῇ Ἀρτέμιδι, ἐκ τ θυγατρὸς τ Ἀγαμέμνονος τ Ἰφιγενείας, ἐπιδοθείσης τυθῆναι, ἡ Ἄρτεμις ἐλεήσασα τ παρθένον, ἁρπάζει μὲν ταύτην καὶ ἀποφέρει ὧδε τοῖς Ταύροις ἐν Σκυθίᾳ, (ἔθνος δ' ὧδὶ τ Σκυθίαν οἱ Ταῦροι) ἔλαφον δ' ἀντὶ τ παρθένου φανῆναι ἐποίησεν, ἥντινα λαβόντες ἔθυσαν οἱ Ἕλληνες. κ δ' Φαιδήμων τ ἱστορικὸν, εἰς ἄρκτον μεταβαλεῖν· κ δ' Νίκανδρον, εἰς ταῦρον· κ κατ' ἄλλους εἰς γραῦν. οὕτω δὴ ἡ Ἰφιγένεια ὖσα ἐν τοῖς Ταύροις, διὰ τὸ μὴ ἐπιγνωσθῆναι ὧδε τῶν ἐπιξενωμένων τίς ἦσιν, ἐπέτρεπε θύειν αὐτὸς τῇ Ἀρτέμιδι. ὕστερον δ' Ὀρέστης δεισιδαιμονῶν ὑπὸ τῶν Ἐρινύων, κ ἐλθὼν ὧδε τοῖς Ταύροις, ἐκ συλληφθεὶς ὡς ξένος ἐπ' ἀναιρέσει, καὶ προτεινεχθεὶς ὡς ἱερεῖα τῇ ἀδελφῇ Ἰφιγενείᾳ, ἐπεγνώσθη διὰ τὸ ἐλεφαντίνου ὦμον, καὶ ἀφέθη τῆς θυσίας. ὅτος λοιπὸν ὁ Ὀρέστης, ὡς φασιν, λαβὼν τὴν ἰδίαν ἀδελφὴν, κομίζει πάλιν εἰς Τὼ Ἑλλάδα.

Τὸ δ' ἀληθὲς ὠδὶ τ θυσίας ὅπως ἔχει· ὡσταστάσης τ Ἰφιγενείας τῇ θυσίᾳ, ἐκ μελλούσης θύεσθαι, ἄρκτος, ἢ ταῦρος, ἢ γραῦς, ἢ ἔλαφος, διέβαινε μέσον τὸν τῶν Ἑλλήνων στρατὸν, κ ὡροτάξει τοῦ μάντεως, τὸ διελθὸν ἐκεῖνο ἀναιρεῖται. ἡ δ' Ἰφιγένεια σωθεῖσα, φεύγει παρὰ Σκύθας, ἐν ᾗ πόλει Ἀρτέμιδος λέγεται· κ ἀνῆσαι πάντας τοὺς Ἑλλήνων ἀφικνουμένους. τινὲς δὲ τ Ἰφιγένειαν τοῦτον, ὥσπερ καὶ Δῦρις, ὁ Ἀγαμέμνονος θυγατέρα λέγειν, ἀλλὰ Θησέως δὲ Ἑλένης γενέσθαι· ἄλλοι δὲ ὁ

ὐκ Κλυταιμνήστρας λέγυσι τ̃ Ἰφιγένειαν, ἀλλὰ ὐκ τ̃ Χρυσηΐδος· καὶ Ἀγαμέμνονος παῖδες γίνονται, Χρύσης, ὃν ἡ ῥηθεῖσα Ἰφιγλύεια. μ̃ δὲ τὴν πύρθησιν Ἰλίυ, ἐν τῷ τ̃ Ἑλλήνων Ἀπόλλωνι, Χρύσης μὺ ὐκ τῇ λεγομύνῃ Χρύσῃ πόλει τ̃ Ἐυξένυ πλυτᾶ. τλὼ δὲ Ἰφιγένειαν τλὼ αὐτ̃ ἀδελφὴν Ταυροσκύθαι αἰχμαλωτίσαντες, ἱέρειαν Ἀρτέμιδος, ἤτοι σελήνης, ἐπόιησαν. ὐκ ἀπεικὸς δὲ τὸ θυομένης τ̃ς Ἰφιγενείας διαδραμεῖν ἔλαφον, ὃν ταύτην τὺς Ἕλληνας ἀνελεῖν, ὃ τὴν κόρλω ἐᾶσαι. καὶ γὸ Ἴκλος Πέρκαν ῥώμης ἀετὸς, ὅτως ἔσωσε· σφαγιαζομύνης γὸ αὐτ̃ς, κατακτὰς ἀπὸ τ̃ δημίυ, ἢ ἱερίως, ἁρπάζει δὴ τὸ ξίφος, καὶ ὡρὸς δάμαλιν ἐπιῤῥίπτει πλησίον τ̃ νεῶ νεμομένλω, ἣν καὶ ἐθυσίασαν ἀντ̀ αὐτ̃ς.

ΠΕΡῚ ΤΟΥ̃ ἸΚΑΡΙΏΤΟΥ, ΤΟΥ̃ ΠΑΡᾺ ΔΙΟΝΎΣΟΥ ΛΑΒΌΝΤΟΣ ΤῸ ΤΗ̃Σ ἈΜΠΈΛΟΥ ΚΛΗ̃ΜΑ ΚΑῚ ΦΥΤΕΎΣΑΝΤΟΣ.

Οἶνος λέγεται, ὅτι ὡρὰ τ̃ Διονύσυ ἔυρηται· διὸ καὶ ἔφορον τ̃ ἀμπέλυ λέγυσιν αὐτόν. ὅτος ὃν ὁ Διόνυσος ἐλθὼν Ἀθήναζεν, Ἰκαρίῳ τινὶ πειτυχὼν, δέδωκεν αὐτῷ̃ κλῆμα ἀμπέλυ φυτεῦσαι· ὃ ἐφύτευσε καὶ ἐγεώργησεν οἶνον· καὶ ἔπιε καὶ αὐτὺς, καὶ δέδωκε ὃ τοῖς ποιμέσι πιεῖν. οἱ ὃ ποιμένες μεθυσθέντες, διὰ τὸ ὐκ ὡρὰδόξυ ὡρῶτον, νομίσαντες φαρμαχθῆναι ὡρὰ τ̃ Ἰκαείυ, ἀποκτείνυσιν αὐτόν. ἡ δὲ Ἠριγόνη, ἡ τύτυ θυγάτηρ, διὰ τ̃ κυνὸς τ̃ Ἰκαείυ ὑλακῆς, γνῦσα ὅτι ἀπέθανεν, ἐποτνιᾶτο ὃ ἤχαλε. ὃ καθὼς μυθέυσι, ταύτλω, φασὶν, ἐλεήσαντες οἱ θεοὶ διὰ τὸ πάθος, μετέθηκαν αὐτὴν εἰς τ̀ ὐρανὸν, καὶ νυῦ ὄξιν ὐν τοῖς ἄστροις ἡ Ἠριγόνη. οἱ δέ φασι ὡρὰ Χίοις ὡρώτοις γλυέλῳ τὸν μέλανα οἶνον· οἱ ὃ φυτεύειν ὃ θεραπεύειν ἀμπέλυς μαθόντες ὡρὰ Οἰνοπίωνος Διονυσίυ, τ̃ ὃ σιωοικίσαντος τ̀ νῆσον, τοῖς ἄλλοις ἀνθρώποις μετέδωκαν.

ΠΕΡῚ ΤΟΥ̃ ἸΦΊΚΛΟΥ.

Ἴφικλος, υἱὸς ἦν Φυλάκυ καὶ Κλυμένης τ̃ Μινυ̃· τ̃τόν φασι διὰ τ̃ τῶν ποδῶν ἀρετὴν, ὃ ἀνέμοις ἀμιλλᾶλῳ· καὶ ἐπ̀ ἄκρων ἀνθερίκων θέειν ὃ μὴ κατακλᾶν αὐτύς.

ΠΕΡῚ ΤΗ̃Σ ἸΟΥ̃Σ.

Ἰώ, Ἰνάχυ θυγάτηρ ἦν· ἥν τινα Ζεὺς ὐκ τ̃ Ἄργυς ἥρπασε· καὶ φοβήμῳ τ̃ Ἥραν τ̃ ἑαυτ̃ γυναῖκα, μετέβαλε τ̃ Ἰὼ

εἰς

εἰς βῶν, καὶ ποτε μὲν εἰς λευκὴν, ποτὲ δ' εἰς μέλαιναν, ποτὲ δ' εἰς ἰάζυγαν· ὡς ὕστερον ἐπλανᾶτο μετ' αὐτῆς. ἦλθεν οὖν καὶ εἰς Αἰγυπτῳ πλανώμενος μετ' αὐτῆς. καὶ διὰ τοῦτο τιμῶσιν οἱ Αἰγύπτιοι τὴν Ἰὼ, ἤτοι τὴ Ἶσιδα· αὕτη γὰρ ἐνομίσθη παρ' αὐτοῖς· διὸ ἐπὶ τοῦ ἀγάλματος αὐτῆς ὡς τὴν κεφαλὴν κέρατα βοὸς ἐγγλύφουσι, σημαίνοντες τὴν κόρης τὴν εἰς βοῦν μεταβολήν. φησὶ δὲ Ἀρριανὸς ὡς τὸ Βοσπόρῳ λέγων ὅτι· πορθμὸς ὁ κὴ Χαλκηδόνα δὲ Βυζάντιον, ὁ ποτὲ Μύσιος, διότι Μυσοὶ ἀντιπέραν ὤκουν τὴ Θράκης. ὕστερον δὲ, Βόσπορος, ἐπὶ τῇ συμφορᾷ τῆς Ἰοῦς, ἣν κὴ μῆνιν Ἥρας οἰστρωθεῖσαν, εἰς τὰς χώρας τούτους ἀφικέσθαι, δὲ ταύτῃ διαπεραιώσασθαι οἱ μῦθοι ἐποίησαν. λέγει δὲ ὁ αὐτὸς κὴ ὅτι, κατά τινας, οὐκ ἀπὸ τῆς ῥηθείσης βοὸς ὁ τοιοῦτος Βόσπορος, ἀλλ' ἀπό τινος ἑτέρας ὠνόμασται, ἥτις, φησὶ, Φρυγῶν ἐπικεκμηώων, ἐκβάλλει ἀδεῶς εἰς τὴ θάλασσαν, κὴ περαιοῦσθαι ἀβλαβῶς τὴ κὴ Χαλκηδόνα κὴ Βυζάντιον Βόσπορον. κὴ ὅτω καθηγεμὼν ἐκείνου γίνεται, κατά τινα θεοφορίαν, ἦγουν μαντείαν, ἥτις διεκελεύετο βοῦν ἡγεμόνα τῆς ὁδοῦ ποιήσασθαι· οἱ δὲ ποιήσαντες ἐκεῖνοι, διεπεραιώσαντο ἀσφαλῶς. κὴ μνῆμα, φησὶ, τοῦ βοὸς τούτου ἕστηκε βοῦς χαλκῆ, ὑστέρῳ ποτὲ χρόνῳ ὑπὸ Χαλκηδονίων ἱδρυθεῖσα. κὴ τάχα ὅτι ταύτης καὶ τις ἐκεῖ τόπος καλεῖται Δάμαλις, ἕως νῦν. ὁ δὲ Ἔφορός φησιν, ἁρπάσθαι τὴ Ἰὼ ὑπὸ Φοινίκων, καὶ διακομισθῆναι εἰς Αἴγυπτον, ἀνθ' ἧς τὸν βασιλέα τῶν Αἰγυπτίων πέμψαι Ἰνάχῳ ταῦρον. πεπλευτηκότος δὲ ἐκείνου, περιϊέναι αὐτὸς ὡς ἀδεκινύντας, καθὸ πρότερον οὐκ ἐγίνωσκον τὸ ζῶον. τὸ δὲ τόπον ὡροσημοδοῦσθαι, δι' οὗ οἱ τὸν ταῦρον ἔχοντες, ἔπλευσαν τὸν Βόσπορον. ἄλλοι δὲ πάλιν ὅτω φασὶ ὡς τῆς Ἰοῦς μὴ πιθανὰ τὰ τοῦ μύθου νομίζοντες. Ἰὼ, βασιλέως τοῦ Ἀργείων ἦν θυγάτηρ. ταύτῃ οἱ ἀπὸ τῆς πόλεως τιμὴν ἔδωκαν, τὸ, ἱέρειαν εἶ τῆς Ἀργείας Ἥρας. αὕτη ἔγκυος γενομένη, κὴ δείσασα τὸν πατέρα κὴ τοὺς πολίτας, ἔφυγεν ἐκ τῆς πόλεως. οἱ δὲ Ἀργεῖοι κὴ ζήτησιν ποιούμενοι, ὅπου ἂν δοῦρον συλλαμβάνοντες, ἐν δεσμοῖς εἶχον. ἔλεγον δὲ, ὅτι ὥσπερ βοῦς οἰστρήσασα, διαφθείρει εἰς Αἴγυπτον· ἔνθα ἀφικομένη, τίκτει· ὅθεν ὁ μῦθος ἀνεπλάσθη. τινὲς δὲ ἐν τοῖς κὴ ὁ Ποιητὴς, ὡς υἱὸν τῆς Ἰοῦς τὸν Ἴασον οἴδασι βασιλέα Πελοποννήσου· διὸ κὴ Ἴασον Ἄργος αὐτὴν καλεῖ Ὅμηρος.

ΠΕΡΙ ΤΟΥ ΙΑΜΒΛΙΧΟΥ.

Ἰάμβλιχος ὁ φιλόσοφος, Χαλκίδος τῆς Συρίας, μαθητὴς Πορφυρίου φιλοσόφου τοῦ Γλωτίνου ἀκουστοῦ, ἐπὶ Κωνσταντίνου βασιλέως. ἔγραψε διάφορα βιβλία φιλόσοφα.

ΠΕΡΙ ΙΑΣΟΝΟΣ ΤΟΥ ΦΙΛΟΣΟΦΟΥ.

Ἴασων Μενεκράτους Νυσαεὺς ὁν πατρὸς, ἀπὸ δὲ μητρὸς, Ῥόδιος φιλόσοφος, μαθητὴς καὶ θυγατριδοῦς, καὶ διάδοχος τῆς ἐν Ῥόδῳ διατριβῆς Ποσειδωνίου τοῦ φιλοσόφου. ἔγραψε βίους ἐνδόξων, καὶ φιλοσόφων διαδοχάς, καὶ Βίον Ἑλλάδος ὁν βιβλίοις δ'. ἔγραψε καὶ ᾠδὴν Ῥόδου.

ΠΕΡΙ ΤΟΥ ΙΕΡΟΚΛΕΟΥΣ.

Ἱεροκλῆς, φιλόσοφος Ἀλεξανδρεὺς, ἔγραψε σύγγραμμα εἰς τὰ χρυσᾶ ἔπη τῶν Πυθαγορείων βιβλίων· καὶ ᾠδὴν προτρεπτικὴν, ὁν ἑτέροις βιβλίοις συγχωνεύσας· ὁν οἷς φαίνεται ὁ ἀνὴρ τὴν μὲν ζωὴν ὑψηλόφρων, τὸν δὲ γνῶσιν οὐκ ἀκριβής.

ΠΕΡΙ ΙΠΠΑΡΧΙΑΣ.

Ἱππαρχία ἀδελφὴ Μητροκλέους τοῦ Κυνικοῦ, Μαρωνεῖτις φιλόσοφος, κυνικὴ γυνὴ Στράτητος τοῦ κυνικοῦ, ὃς ἦν Ἀθηναῖος, Βρύσωνος μαθητὴς τοῦ Ἀχαιοῦ, ἢ, ὡς τινες, Διογένους. ἔγραψε φιλοσόφους ὑποθέσεις, καί τινα ἐπιχειρήματα καὶ προτάσεις πρὸς Θεόδωρον τὸν ἐπικληθέντα Ἄθεον.

ΠΕΡΙ ΙΠΠΑΡΧΟΥ.

Ἵππαρχος Νικαεὺς φιλόσοφος ἐπὶ τῶν Ὑπάτων· ἔγραψε ᾠδὴν τῷ Ἀράτῳ φαινομένων· ᾠδὴν τῆς τῶν ἀπλανῶν συστάξεως, καὶ τοῦ καταστερισμοῦ· ᾠδὴν τῆς κ' πλάτος μηνιαίας τῆς σελήνης κινήσεως· καὶ εἰς τοὺς ἀείσους.

Καὶ ἕτερος Ἵππαρχος Σταγειρίτης φιλόσοφος, Ἀριστοτέλους γνώριμος καὶ συγγενής. ἔγραψε ᾠδὴν τοῦ τί τὸ ἄρρεν καὶ θῆλυ παρὰ θεοῖς, καὶ τίς ὁ γάμος, καὶ ἄλλα τινά.

ΠΕΡΙ ΙΠΠΟΒΟΤΟΥ.

Ἱππόβοτος φιλόσοφος, ὃς ἔφησεν ἐννέα αἱρέσεις εἶναι τῶν φιλοσόφων.

ΠΕ-

ΠΕΡΙ ΙΣΤΙΑΙΟΥ.

Ἱστιαῖος, Σάμιος ἦν τὸ γένος, φιλόσοφος δὲ γενόμενος Δαρείῳ τῷ Περσῶν βασιλέως, ἐλήφθη ὑπ' αὐτοῦ ἐν Περσίδι. ἐκεῖ δὲ διατρίβων, ἐπεθύμει ἰδεῖν τὴν ἐκείνου πατρίδα. μὴ ἀπολυόμενος δὲ, γράφει τῷ ἰδίῳ ἀνεψιῷ τῷ Ἀρισταγόρᾳ μελετᾶν ἀποστασίαν, καὶ πεῖθειν καί τινας τῶν Ἰώνων ἀποστῆναι. γράφει δὲ ὕστερον· λαβὼν πιστὸν οἰκέτην, καὶ τάτου τὴν κεφαλὴν ξυρήσας, ἐγχαράττει τῇ κεφαλῇ ὁ δηλῶσαι ἐβούλετο· εἶτα μέλαντι ἐγκαυστῷ τιλῷ χάραξιν ἐγκαίει, καὶ ἀφῆκε ἀνεγκεῖν τὰς τρίχας, καὶ μετὰ τὸ κομάσαι αὐτὸν, ἀπέπεμπεν λέγων τῇ οἰκέτῃ πάλιν ἐκεῖσε γενόμενον ἀποξυρηθῆναι, ἵνα ἀναγνῷ Ἀριστογόρας τὰ γράμματα. ἀναγνὺς τοίνυν ὁ Ἀρισταγόρας Ἱστιαίου τὰ γράμματα, καὶ μαθὼν, ἐποίησε τὴν ἀπόστασιν καθὸν πάντων τῶν Ἰώνων. εἶτα μανθάνει ὁ Πέρσας ὁ βασιλεὺς, καὶ σύμβουλος γίνεται τῷ Ἱστιαίῳ ὡς Ἕλλησι, τί δεῖ ποιῆσαι· καὶ συμβουλεύεται παρὰ τοῦ Ἱστιαίου αὐτὸν πέμψαι εἰς τὴν Ἀσίαν, ὡς ἱκανὸν ὄντα διαλῦσαι τὰ περὶ τὴν ἀπόστασιν. ἐλθὼν δὲν ὁ Ἱστιαῖος εἰς τὴν Ἀσίαν, καὶ ὡς ὑποπτος γενόμενος ὅλῳ τοῦ στρατεύματος παρὰ τοῦ Ἀρταφέρνου τοῦ ὑπάρχου Σαρδέων, ἔκαυσε τοῦτο τὸ ὑπόδημα ἔρραψε μὲν Ἱστιαῖος, ἐπεβούλατο δὲ Ἀρισταγόρας· ὑπόδημα δὲ τὸ ὅλλῳ κατασκευὴν ἔλεγε. ταῦτα Ἡρόδοτος ἐν τῷ ἕκτῳ.

ΠΕΡΙ ΓΑΣΟΝΟΣ ΤΟΥ ΙΣΤΟΡΙΚΟΥ.

Γάσων Ἀργεῖος, νεώτερος Πλειστάρχου τοῦ Χαιρωνέως. ἔγραψε περὶ τῆς Ἑλλάδος βιβλία ὀ. ἔσχε δὲ ἀρχαιολογίαν Ἑλλάδος καὶ τὰ ἀπὸ τῶν Μηδικῶν· τά τε κατ' Ἀλέξανδρον ἕως τῆς πλάνης αὐτοῦ· καὶ τὰ μέχρι τῆς Ἀθηναίων ἁλώσεως τῆς ὑπὸ Ἀντιπάτρου τοῦ πατρὸς Κασσάνδρου.

ΠΕΡΙ ΙΠΠΟΥ ΤΟΥ ΙΣΤΟΡΙΚΟΥ.

Ἵππυς Ῥηγῖνος, ἱστορικὸς γεγονὼς ἐπὶ τῶν Γερσικῶν· ὃς πρῶτος τὰς Σικελικὰς πράξεις ἔγραψεν, ἃς ὕστερον Μύης ἐπετήμετο· κτίσιν Ἰταλίας· Σικελῶν βιβλία ε· χρονικὰ ἐν βιβλίοις ε· ἀρχαιολογικῶν τεῦα. οὗτος πρῶτος ἔγραψε παρῳδίαν, καὶ χωλίαμβον, καὶ ἄλλα.

ΠΕ-

ΠΕΡΙ ΊΣΤΡΟΥ ΤΟΥ ΣΥΓΓΡΑΦΕΩΣ.

Ἴστρος, Μενάνδρᾳ Ἴστρῳ Κυρηναῖος συγγραφεύς, Καλλιμάχῳ δὲ λος καὶ γνώριμος. Ἑρμιππος δέ φησιν αὐτὸν Γάφιον, ὃν τῷ δευτέρῳ τῶν διατρεψάντων τὰ παιδικὰ δόλων. ἔγραψε δὲ πολλὰ καὶ καταλογάδην καὶ ποιητικῶς.

ΙΑΤΡΟΙ.

ΠΕΡΙ ΤΟΥ ΙΠΠΟΚΡΑΤΟΥΣ.

Ἱπποκράτης Κῷος ἰατρὸς, Ἡρακλείδᾳ υἱός. γέγονε μαθητὴς πρῶτον μὲν πατρὸς, εἶτα Ἡροδίκῳ τῷ Σηλυβριανῷ, καὶ Γοργίᾳ τῷ ῥήτορος καὶ φιλοσόφᾳ· ὡς δέ τινες, Δημοκρίτῳ τῷ Ἀβδηρίτῃ, καὶ Προδίκῳ. διέτριψεν ἐν Μακεδονίᾳ φίλος ὢν τῷ βασιλεῖ Περδίκκᾳ. παῖδας ἔσχε δύο Θεσσαλὸν καὶ Δράκοντα. κατέστρεψε τὸν βίον ἐνιαυτῶν γεγονὼς δ' καὶ ρ' καὶ τέθαπται ἐν Λαρίσῃ τῆς Θετταλίας. ὡρώτη βίβλος αὐτοῦ, ἡ τὸν ὅρκον περιέχουσα· δευτέρα, ἡ τὰς προγνώσεις ἐμφαίνουσα· τρίτη, ἡ τῷ ἀφορισμῷ ἀνθρωπίνῳ ὑπερβαίνουσα σιώπην· τετάρτη, τάξιν ἔχουσα ἡ πολυθρύλλητος καὶ πολυθαύμαστος ἑξηκοντάβιβλος, ἡ πᾶσαν ἰατρικὴν ἐπιστήμην τε καὶ σοφίαν ἐμπεριέχουσα.

Ἱπποκράτης Γνωσιδίκου Κῷος καὶ αὐτὸς τοῦ γένους τῶν Ἀσκληπιαδῶν, ἰατρός.

Ἱπποκράτης Θεσσαλοῦ, Κῷος ἰατρὸς, ἔγγονος Ἱπποκράτους τοῦ πρεσβυτέρου τοῦ υἱοῦ Ἡρακλείδου· ἔγραψε καὶ αὐτὸς ἰατρικά τινα.

Ἱπποκράτης τέταρτος Δράκοντος ἰατρὸς Κῷος καὶ αὐτὸς τοῦ αὐτοῦ γένους, ὃς ἰάτρευσεν Ῥοξάνην. ἔγραψε καὶ αὐτὸς ἰατρικά.

Ἱπποκράτεις δύο, πέμπτος καὶ ἕκτος ἰατροὶ, Θυμβραίου παῖδες Κῷοι, καὶ αὐτοὶ τοῦ γένους τοῦ αὐτοῦ. ἔγραψαν ἀμφότεροι εἰς τὴν αὐτὴν ἐπιστήμην.

Ἱπποκράτης ἕβδομος Κῷος, καὶ αὐτὸς ἰατρὸς, Πραξιάνακτος παῖς· καὶ αὐτὸς ἐκ τοῦ αὐτοῦ γένους· ἔγραψε καὶ αὐτὸς εἰς τὸν αὐτὸν τρόπον.

ΡΗΤΟΡΕΣ.

ΠΕΡΙ ΙΠΠΕΙΟΥ ΤΟΥ ΡΗΤΟΡΟΣ.

Ἱππείας Διοτιμήθους Ἠλεῖος ῥήτωρ καὶ φιλόσοφος· μαθητὴς Ἡγησιδάμου· ὃς πέλος ὠφέλετο τὴν αὐτάρκειαν. ἔγραψε πολλά.

ΠΕ-

ΠΕΡΙ ΊΣΑΙΟΥ.

Ἰσαῖος εἷς μὲν τῶν δέκα ῥητόρων· μαθητὴς μὲν Ἰσοκράτους, διδάσκαλος δὲ Δημοσθένους, Ἀθηναῖος τὸ γένος. ἔτος ἐπαινεῖται καὶ ὡς ῥήτωρ, καὶ ὡς Δημοσθένει ἀμιτθὶ προαγαγών.

ΠΕΡΙ ΤΟΥ ΊΣΟΚΡΑΤΟΥΣ.

Ἰσοκράτης Θεοδώρου αὐλοποιοῦ Ἀθηναῖος ῥήτωρ, γεγόμενος μετὰ τὰ Πελοποννησιακά. ἔγραψε λόγους λβ', βιώσας ἔτη τρία πρὸς τοῖς ἑκατόν.

Ἰσοκράτης Ἀμύκλα τοῦ φιλοσόφου· μαθητὴς καὶ διάδοχος τοῦ μεγάλου Ἰσοκράτους· διακούσας δὲ καὶ Πλάτωνος τοῦ φιλοσόφου, λόγους πέντε· Ἀμφικτυονικόν, προτρεπτικόν, περὶ τοῦ τάφον μὴ ποιῆσαι Φιλίππῳ, περὶ τοῦ μετοικισθῆναι, περὶ τῆς ἑαυτοῦ πολιτείας.

ΠΕΡΙ ΊΦΙΚΡΑΤΟΥΣ.

Ἰφικράτης Σωπέως πατρὸς, Ἀθηναῖος ῥήτωρ, καὶ στρατηγός, ὃς πρῶτος ἐν τοῖς λαφύροις ἐπίγραμμα ἐποίησε μεμνημένον τοῦ στρατηγοῦ· πρότερον μόνης τῆς πόλεως ἐπιγραφομένης·

ΠΕΡΙ ΊΒΥΚΟΥ ΤΟΥ ΠΟΙΗΤΟΥ.

Ἴβυκος Φυτίου υἱὸς, ποιητής. ἔγραψε Δωρίδι διαλέκτῳ βιβλία ζ'. ὃτος φονεύσαντος ὑπό τινων, καὶ μηδένα μήτε σύμμαχον, μήτε μάρτυρα τῆς ἐπιβουλῆς ἔχων, θεωρήσας γεράνους, ὑμεῖς, ἔφησεν, ὦ γέρανοι, τιμωρήσατέ μοι τὸν φόνον. τῆς δὲ πόλεως ζητούσης τοὺς φονεύσαντας, καὶ μὴ δυναμένης εὑρεῖν, ἐπιπλεομένου θεάτρου, καὶ τοῦ δήμου καθεζομένου, γέρανοι διέπτησαν. θεασάμενοι δὲ οἱ φονεῖς ἐγέλασαν· καὶ ἰδού, εἶπον, αἱ τιμωροὶ τοῦ Ἴβυκου. τῶν δὲ πλησίον καθεζομένων τις ἀκούσας, ἀπήγγειλε ταῖς ἀρχαῖς, καὶ συλληφθέντες ὡμολόγησαν τὸν φόνον, καὶ τοῦ φόνου δίκην ἔδοσαν.

Ὅρα τὸ ἀναίκαστον προνοίαν τοῦ Θεοῦ, καὶ δικαιοκρισίαν.

ΠΕΡΙ ΊΔΑΙΟΥ ΤΟΥ ΠΟΙΗΤΟΥ.

Ἰδαῖος Ῥόδιος, υἱὸς Λιντοῦ ἐποποιός. παρεμβαλὼν στίχον στίχῳ, ἐδίπλασε τὴν ποίησιν Ὁμήρου. ἔγραψε καὶ ἄλλα Ῥόδια εἰς ἔτη γ'.

ΠΕ-

ΠΕΡΙ ΙΟΦΩΝΤΟΣ ΤΟΥ ΤΡΑΓΙΚΟΥ.

Ἰοφῶν Ἀθηναῖος τραγικὸς υἱὸς Σοφοκλέους τοῦ τραγῳδοποιοῦ γνήσιος· ἐδίδαξε δράματα πεντήκοντα· ὧν ἔστιν Ἀχιλλεύς, Τήλεφος, Ἀκταίων, Ἴλιος, Περσίς, Δεξαμενός, Βάκχαι, Πενθεύς· καὶ ἄλλα τινὰ τοῦ πατρὸς Σοφοκλέους.

ΠΕΡΙ ΓΕΝΟΥΣ ΤΟΥ ΠΟΙΗΤΟΥ.

Ἴων Χῖος, τραγικὸς καὶ λυρικὸς, καὶ φιλόσοφος. δράματα δὲ αὐτοῦ ΙΒ'. οἱ δὲ λ'· οἱ δὲ μ'. ἔστος ἔγραψε περὶ μεσῶν καὶ σωθέντος λόγους· ὃν παίζων Ἀριστοφάνης ὁ Κωμικὸς ἀσῖόν φησιν.

ΠΕΡΙ ΙΠΠΑΡΧΟΥ ΤΟΥ ΚΩΜΙΚΟΥ.

Ἵππαρχος κωμικὸς τῆς ἀρχαίας κωμῳδίας. δράματα αὐτοῦ περὶ γάμων.

ΠΕΡΙ ΙΠΠΩΝΑΚΤΟΣ ΤΟΥ ΙΑΜΒΟΓΡΑΦΟΥ.

Ἵππώναξ Ἐφέσιος Ἰαμβογράφος. γράφει δὲ πρὸς Βύπαλον καὶ Ἀθηνιν ἀγαλματοποιούς, ὅτι αὐτοῦ εἰκόνας πρὸς ὕβριν εἰργάσαντο.

K

ΠΕΡΙ ΤΟΥ ΚΑΔΜΟΥ.

Κάδμος υἱὸς Ἀγήνορος. οὗτος, ὡς Ἑλλάνικος ἱστορεῖ ἐν πρώτῳ Φοινίδος, ἔσπειρε τοὺς ὀδόντας τοῦ δράκοντος, καὶ Ἄρεος βάλλοντος· καὶ ἐξήροντο πέντε ἄνδρες ἔνοπλοι, Ὀυδαῖος, Χθόνιος, Πέλωρ, Περήνωρ, Ἐχίων. ὁ δὲ Ἀπολλώνιος πολλοὺς ὄιεται καὶ ἄλλους πολεμίους πεπολεμηκέναι. ἐν δὲ τῷ τείτῳ Μυθαίᾳ Τιτανογραφίας λέγεται, ὡς Κάδμος ἐν τοῦ Δελφικοῦ ἐπορεύετο, προκαθηγεμόνος αὐτῷ τῆς βοός. Ἱππίας δὲ ὁ Δήλιος ἐν ἐθνῶν ὀνομασίαις φησὶν, ἔθνος τι καλεῖσθαι σπαρτούς. καὶ ὁμοίως Ἀτρόμητος. Φερεκύδης δὲ ἐν τῇ πέμπτῃ ἔτω φησίν· ἐπειδὴ Κάδμος κατῳκίσθη ἐν Θήβαισιν, Ἄρης δοῦναι αὐτῷ καὶ Ἀθηναίη τὸ

ὄφιος

ὄφιος τὰς ἡμίσεις ὀδόντας, τὰς δὲ ἡμίσεις, Αἰήτῃ· ᾧ ὁ Κάδμος αὐτίκα ἔσπειρε αὐτὰς εἰς τὸ ἄρδην, Ἄρεος κελεύσαντος, καὶ αὐτῷ ἀναφύονται ἄνδρες ὡπλισμένοι. ὁ δὲ Κάδμος δείσας, βάλλει αὐτοὺς λίθοισιν· οἱ δὲ δοκέοντες ὑφ' ἑαυτῶν βάλλεσθαι, κτείνουσί τε ἀλλήλους ᾧ θυήσκουσι, πλὴν πέντε ἀνδρῶν, Οὐδαίου, Χθονίου, Ἐχίονος, Πέλωρος, Ὑπερήνορος· καὶ αὐτὰς Κάδμος πολίτας κατῴκισεν ἐν Θήβαις. λέγει δὲ Ἑλλάνικος, ὅτι Κάδμος ἔξελὼν τὸ ὄφεως τὰς ὀδόντας, ἔσπειρεν, ἐκ δὲ αὐτῶν πέντε ἄνδρες ἔφυσαν οἱ προρρηθέντες. ὁ δὲ Ἀπολλώνιος λέγει ὅτι καὶ ἄλλοι πολλοὶ ἔφυσαν.

ΔΙΑΤΙ ΚΑΙΕΙΝ ΤΟΥΣ ΝΕΚΡΟΥΣ ΠΑΡΑ ΤΟΙΣ ΠΑΛΑΙΟΙΣ ΕΠΟΙΟΥΝ.

Καίειν τοὺς νεκρούς, ὃ δὴ ᾧ εἰσέτι νῦν παρά τισι τῶν Βορείων βαρβάρων, ἐποίουν πρὸς ἔνδειξιν· τοῦτο μὲν θεῖον τοῦ ἀνθρώπου ἄνω φορηθέν, ὥσπερ ἐν ὀχήματι τῷ πυρὶ, συμμίξαι τοῖς οὐρανίοις· τὸ δὲ γήϊνον κάτω μεῖναι, τὸ μὲν πυρὶ δαπανηθέν, τὸ δὲ ἐναπομεῖναν λειψάνοις ὀστῶν. οἱ δέ φασιν, ὅτι τὸ μὲν νεκρὸν ὡς καθαρὸν ἐδόκει· ἀγνισμὸς δέ τις ἦν, ἡ διὰ πυρὸς δαπάνη τοῦ νεκρωθέντος, ὅτι ᾧ τὸ πῦρ ἁγνιστικόν· διὸ καὶ οἱ καθαρμοὶ διὰ πυρὸς ἐγίνοντο. καὶ Εὐριπίδης δὲ τοιοῦτόν τι ἐμφαίνει, ὅτε φησὶν, ὅτι τὸ τῆς Κλυταιμνήστρας δέμας πυρὶ καθήγνισαι. ὁ δὲ Αυκόφρων τὴν προτέραν ἐννοίαν σιωπήσας, ἐν οἷς τὴν Σκύλλαν καυθεῖσαν δομηθῆναί φησιν, ἤγουν ἀνακλισθῆναι, ἀναζωωθῆναι, καὶ γενέσθαι κύνα τὸν Ποιητὴν, κακὸν ἀθάνατον. ἔδοξε δέ τισιν, ὡς μὴν ἀληθῶς, τὸν Ἡρακλέα κατάρξαι τῆς τῶν νεκρῶν καύσεως.

ΠΕΡΙ ΚΑΙΝΕΩΣ.

Καινέα μυθολογοῦσιν πρότερον γεγονέναι γυναῖκα· εἶτα Ποσειδῶνος αὐτῇ πλησιάσαντος, μεταβληθῆναι εἰς ἄνδρα· τοῦτο γὰρ ἤτησε καὶ ἀτρωσίαν. ἤεισε δὲ Ἀπόλλωνι, καὶ ἐνικήθη. φησὶ δὲ καὶ Πλάτων περὶ αὐτοῦ, ὅτι παρθένος εὐπρεπὴς ποτε ἐγεγόνει· ᾧ Ποσειδῶνος αὐτῇ συμμιγέντος, αἰτησαμένην ἀνὴρ γενέσθαι, καὶ ἄτρωτος μεῖναι, ὧν ἤθελεν ἔτυχε. λέγεται δὲ καὶ σωφρονῆσαι. ἀκόντιον γὰρ, φασὶν, ἐν ἀγορᾷ μέσῃ πήξας εἰς ὀρθὸν, θεὸν τοῦτο προσέταξεν ἀεὶ θυμεῖν· ὅθεν ἡ δίκη ποινὴν αὐτὸν ἀσεβείας εἰσπραττομένη, πεποίηκεν ὑπὸ τοῖς Κενταύροις, οἳ

δρυσί τε ἐλάίας αὐτὸν ἐς γῆν ἤρεισαν, ἄῤῥηκτον καὶ ἄκαμπτον δύνατα ὑπὸ γλῶ, θεινόμενον στιβαρῆς κατίγδην ἐλάτας, ὥς φησιν Ἀπολλώνιος. ἐκέλευε δὲ καὶ τὸς παιόντας ὀμνύναι τὸ δόρυ αὐτῷ· ἔνθα ἡ παροιμία, τὸ Καινέως δόρυ. τινὲς δέ φασι Καινέα συμπλεῦσαι τοῖς Ἀργοναύταις, ὰ Κόρωνον. ὁ δὲ Ἀπολλώνιος ἐν τῷ Πινδάρῳ εἴληφε λεγόντος, ὁ δὲ χλωρῆς ἐλάτησι τυπεὶς ὤχετο Καινεύς, χίσας ὀρθῷ ποδὶ γᾶν. τῦτο δὲ αὐτῷ συμβῆναι, διὰ τὸ μήτε θύειν τοῖς Θεοῖς, μήτε ἔυχεσθαι, ἀλλὰ τῷ ἑαυτῷ δόρατι. διὸ Ζεὺς ἐφορμᾷ αὐτῷ τὸς Κενταύρους· ὅι τινες καὶ γλῶ αὐτὸν ὠθῦσι.

Τὸ δ' ἀληθὲς ὕτως ἔχει ὧδε αὐτῷ· Καινεὺς ἦν Θετταλὸς τῷ γένει, ἀγαθὸς καὶ ἀνδρεῖος τὰ πολεμικὰ, καὶ ἐπιστήμων τῦ μάχεσθαι. γυμόμενος δὲ ἐν πολλαῖς μάχαις, ὐδέποτε ἐτρώθη, καθὰ δὲ ὁ Τελαμὼν Αἴας παρ' Ὁμήρῳ φαίνεται, ὅτε Λαπίθαις συμμαχῶν, πρὸς τὸς Κενταύρων ἀπέθανεν, ἀλλὰ συλλαβόντες αὐτὸν μόνον, κατέχωσαν, καὶ ὕτως ἐτελεύτησεν. ἔλεγον δὲ ὅι Λαπίθαι ἀνελόμενοι τὸν νεκρὸν αὐτῦ, καὶ εὑρόντες μὴ τετρωμένον τὸ σῶμα· Καινεὺς τὸν γε ἄλλον βίον ἄτρωτος ἦν, δὲ ἀπέθανεν ἄτρωτος. λέγεται δὲ δὲ ὅτι κάλλος ὑπερτῦν εἶχεν.

ΔΙΑΤΙ ΤΗΝ ΚΟΜΗΝ ΈΤΡΕΦΟΝ ΟΙ ΈΛΛΗΝΕΣ.

Ἔθος ἦν τοῖς Ἀχαιοῖς κόμην τρέφειν, ὃς καὶ ὁ Ποιητὴς καρηκομόωντας λέγει, ἤτοι κομῶντας τὰ κάρηνα, καὶ πολύτριχας, ὐ μόνον ἐς κάλλος, ἀλλὰ καὶ διὰ τὸ φοβερόν. ὕτω καὶ λέων χαιτήεις, φοβερώτερος τῦ μὴ χαίτην ἔχοντος. λέγονται δὲ, τὸν μὲν ἄλλον πάντα χρόνον κομᾶν οἱ Ἕλληνες, ἐν ᾧ πένθος καιρῷ κείρεσθαι· ὡσάυτως δὲ καὶ ἐν καιρῷ ἀκμῆς, ἤτοι ἡλικίας τελείας· τηνικαῦτα γὰρ πλόκαμον κείραντες, ἀνέθηκαν Ἀπόλλωνι κυρτοτρόφῳ, δὲ ποταμοῖς, καθάπερ Ὅμηρος ἱστορεῖ. δὲ ἦν ὅτος μὲν ὁ πλόκαμος θρεπτήριος, καὶ τὸν Ἀχιλλέα πενθήριος, ὁ ἕτερος. λέγεται δὲ τὸ τομῆς τῦ θρεπτηρίου πλοκάμου κατάρξαι Θησεύς· κειράμενος γὰρ, φασὶν, ἐμπροσθίαν κόμην, εἰς Δῆλον ἀνέθετο τῷ Ἀπόλλωνι. εἰ δέ τινες τῶν Ἑλλήνων ὐκ ἦσαν καρηκομόωντες, παρεσημειώσατο αὐτὸς ἡ ἱστορία, Κυρῆτας αὐτὸς ὀνομάζεσθαι λέγουσα, τὸς δὲ ἀντιθέτους αὐτοῖς, Ἀκαρνᾶνας.

ΠΕΡΙ ΚΑΡΝΕΩΝ ΕΟΡΤΗΣ ΤΟΥ ΑΠΟΛΛΩΝΟΣ.

ΚΑρνος, μάντις τις ὢν, εἶπε τοῖς Ἡρακλείδαις, ἄτημα τέτοις μαντευόμενος· ὄντινα ἐκτραπεὶς εἰς τὴν Ἡρακλειδῶν, Ἱππότης τένομα, λόγχῃ βαλὼν ἀπέκτεινε· δι' ὃν λοιμὸς ἐγένετο ἐν τῇ Πελοποννήσῳ, καὶ ἀπελθόντες ἔλαβον χρησμὸν ἐξ Ἀπόλλωνος, Κάρνειον τιμῆσαι Ἀπόλλωνα. ἐκ τέτο ποιήσαντες, ἐπάυσαντο τῆ λοιμῆ. ταύτην ὖν τὴν ἑορτὴν Κάρνεα καλεμένην, καὶ οἱ μετοικήσαντες ἐκ Πελοποννήσε εἰς ἑπτὰ πόλεις, διὰ τὸν λοιμὸν ἐπετέλεν.

Ἄλλως· Κάρνεα ἑορτὴ Δωρικὴ τελεμένη Καρνείῳ Ἀπόλλωνι κατὰ τὸν Πελοτόννησον, ἀπὸ Κάρνε μάντεως, ὃς ἔχρησε τοῖς Ἡρακλείδαις· ἀπ' αὐτῆ δὲ Κάρνειον Ἀπόλλωνα φροσαγορεύεσιν. ἡ δὲ ἱστορία παρὰ Θεοκόμπῳ, ὅτι τὸν αὐτὸν καὶ Δία καὶ ἡγήτορα καλῆσιν Ἀργεῖοι, διὰ τὸ τὸν Κάρνον ἡγήσαθαι τῆ στρατῆ, ὃν οἱ Ἡρακλεῖδαι ἀπέκτειναν ἀφερχόμενον εἰς Πελοπόννησον, ὑπολαβόντες κατάσκοπον εἶ) τῆ στρατεύματος· ὃν ὕστερον ἐτίμησαν ὑπὸ λοιμῆ φθειρόμενοι. ὁ δὲ Πραξίλας ἀπὸ Καρνείε φησὶν ὀνομάθαι, τῆ Διὸς καὶ Εὐρώπης υἱῆ, ὃς ἦν ἐρώμενος τῷ Ἀπόλλωνι. Ἀλκμὰν δὲ, ἀπὸ Καρνέε τινὸς Τρωϊκῆ· Δημήτριος δὲ ἀπὸ τῆ κρᾶναι, ὃ ὄνομα τελέσαι· φησὶ γὰρ, ὡς ὁ Μενέλαος στρατεύσας εἰς Ἴλιον, ηὔξατο τιμῆσαι αὐτὸν ἐὰν κρατήσῃ. ἄλλοι δέ φασιν, ὅτι Κάρνεα, ἑορτὴ ὄνομα Διός, Καρνεᾶα ὀνομαζομένη. παρ' Ἕλλησι δὲ τελεῖται, διὰ τὸν Δούρειον ἵππον ἐκ καρνείε εἶ) ξύλε.

ΠΕΡΙ ΤΗΣ ΚΑΣΤΑΛΙΑΣ.

ΠΗγὴ ἐν Ἀντιοχείᾳ ἐστὶν· ἐν ᾗ λέγεται τὸ Ἀπόλλωνα παρεδρεύειν, καὶ χρησμὸς τοῖς ἐρχομένοις ἐπὶ τὸ ὕδωρ λέγεθαι. λέγεται δὲ ὅτι ἡνίκα ἐμαντεύετό τις, ἄυρας ἐκ πηγᾶς ἐκ ἀπλῆν τινα ἦχον, ἠ φωνὴν, ὡς τινες λήρεσι, τὸ ὕδωρ ἀνεδίδε· ἐκ ἀνεδιδομένων τὸ τοιέτων πνευμάτων, οἱ ἱστάμενοι ἐφὶ τὸ πηγὴν ἱερεῖς νοεῖτε τὰ σύμβολα, ἔλεγον ἃ ἤθελεν ὁ δαίμων.

ΠΕΡΙ ΤΟΥ ΚΕΚΡΟΠΟΣ.

ΚΕκροψ βασιλεὺς γέγονεν Ἀθηναίων· ὃς μεγάλως τὴν Ἀττικὴν κατεκόσμησεν. ὅτος δέ ἐστιν ὁ διφυὴς καλέμενος. ἐκαλεῖτο δ' διφυὴς, ὅτι δύο φωνὰς ἦν ἠσκημένος· μίαν μὲν, τὴν τῆ Ἑλλάδος, ἑτέραν δ', τὴν τῆ Αἰγύπτε. λέγεται γὰρ ὅτι οἱ Ἀθη-

ναῖοι ἄποικοί εἰσιν Αἰγυπτίων ἀπὸ Σάεως πόλεως. ἡγεμὼν δὲ τῆς ἀποικίας γέγονεν ἔτος ὁ Κέκροψ· ὃς ἐλθὼν εἰς τὴν Ἑλλάδα ἔμαθε τὴν Ἑλλάδα φωνὴν καὶ τὴν Αἰγυπτίαν. ὃς ἦλθεν εἰς τὴν Ἑλλάδα, φωνὴν ἔχων καὶ τὴν Αἰγυπτίαν. ὁ δὲ λόγῳ ὁ λέγων αὐτόχθονας εἶναι Ἀθηναίους, μῦθος ἔοικε· λαβὼν τὸ πλάσμα ἀπὸ τοῦ μηδέποτε ἀπωθῆναι, μᾶλλον δὲ ἀναθῆναι τοὺς οἰκήσαντας εἰς τὴν Ἀττικήν. λεπτόγεως γὰρ ἔσα ἡ χώρα, ἀ πάνυ ἦν ζηλωτὴ καὶ ἄλλοις ἐποικίσαι.

Καὶ ἄλλως· Κέκροψ ἐλθὼν ἀπὸ Σάεως πόλεως Αἰγύπτου, τοὺς Ἀθήνας σωώκησε. Σαΐς δ', καθ' Αἰγυπτίους, ἡ Ἀθηνᾶ λέγεται, ὡς φησι Χάραξ. δίμορφον δὲ λέγουσι, καὶ διμόρφου γενοῦς τὸν Κέκροπα, διὰ τὸ δύων ἀνδρῶν φύσιν καὶ μέγεθος ἔχειν· ἢ διὰ τὸ δύο φωνὰς ἐπίστασθαι, Αἰγυπτίαν, καὶ Ἑλληνίδα· ἢ, ὡς λεγουσι, τὰ ἄνω ἀνθρώπου, τὰ δὲ κάτω δράκοντος εἶχεν· ὅπερ ἀλληγορῶν Δημοσθένης, ὅτι καὶ ἀλκὴν ὁμοίος τῷ δράκοντι, ἀνδρώπῳ δέ γε τὴν φρόνησιν. ἄλλοι δὲ ὅτι πάλιν ἀλληγοροῦσι λέγοντες ὅτι ἀγαθὸς βασιλεὺς γεγονὼς, πᾶσαν θηριωδίαν ἐθνῶν ὅτι ὑπέταξεν, ὡς μίαν σύμπνοιαν πάντας ἔχειν αὐτῷ, καὶ ἀγαθὸν ἡγεμόνα καὶ αὐτοκράτορα. διὰ ταῦτα γοῦν λέγουσιν αὐτὸν διφυῆ. ἢ, ὡς ἔυρον ἐν Ἀντιοχείᾳ, ὅτι πρότερον αἱ καθ' Ἑλλάδα γυναῖκες θηριωδῶς, ὥσπερ τὰ ἄλογα, καὶ ἀ συζυγίαν ἐμίγνυντο. οἱ γοῦν παῖδες τότε μονοφυεῖς ἦσαν· μητέρα γὰρ μόνην, πατέρα δὲ οὐκ ἐπεγίνωσκον. βασιλεὺς δὲ Κέκροψ τῆς Ἀττικῆς κατέπαυσε τὸ θηριῶδες τῆς μίξεως, καὶ ἀνδράσι νομίμοις ἐποίησε τὰς γυναῖκας συνάπτεσθαι. ἐπεὶ γοῦν ἐκ τούτου οἱ παῖδες πατέρα καὶ μητέρα ἐγνώρισαν, τὰς αἰτίας αὐτῶν τῆς γενέσεως, δύο τυγχάνοντας φύσεων, διφυὴς ὁ Κέκροψ ἐλήφθη, ὡς τοῦτο ποιήσας αὐτοῖς.

Ἄλλως· Κέκροψ, Αἰγύπτιος ὢν τὸ γένος, ᾤκησε τὰς Ἀθήνας· ὅθεν οἱ Ἀθηναῖοι Κεκροπίδαι. τινὲς δέ φασι διὰ τοῦτον καὶ διφυῆ γενέσθαι· οἱ μὲν, ὅτι τὰ ἄνω ἀνδρὸς εἶχε, τὰ δὲ κάτω, θηρίου. ἕτεροι δὲ, ὅτι νόμους πολλοὺς ἐφεῦρε τοῖς ἀνθρώποις, καὶ ἀπὸ ἀγριότητος εἰς ἡμερότητα ἤγαγεν. ἄλλοι δὲ, ὅτι τῶν ἀνδρῶν ὡς ἔτυχεν μιγνυμένων ταῖς γυναιξὶ, καὶ ἐκ τούτου μὴ γινωσκομένου, ἢ τοῦ παιδὸς τὸν πατρὸς, ἢ πατρὸς τὸν παιδὸς, αὐτὸς νόμους θέμενος, ὥστε φανερῶς συγγίνεσθαι αὐλαῖς, καὶ μιᾶς τυχεῖν, καὶ χεδὸν εὑρὼν τοὺς δύο φύσεως τοῦ τε πατρὸς καὶ τῆς μητρὸς, τούτου χάριν διφυὴς ἐλήφθη. εἰσί τινες, οἱ φασι τὸν Κέ-

κρο-

κροπα διφυᾶ γεγονέναι, καὶ τὰ κάτω ὄφεως ἐχηκέναι· καὶ διὰ τοῦτο ὡρὸς τοῦνομα κεχαλκεύλισαι. καὶ ὧδε μὲν Κέκροπος ἄλις. ἔπωμεν δ' καὶ ὧδε τῆς Κελαδεινῆς Ἀρτέμιδος, μηδὲν ὧδε τούτου λέξασαι ἐν τῷ περὶ Ἀρτέμιδος.

ΔΙΑΤΙ ΚΕΛΑΔΕΙΝΗ Ἡ ΑΡΤΕΜΙΣ ΛΕΓΕΤΑΙ.

Κελαδεινὴ Ἄρτεμις λέγεται, ὡς αἰτία τοῦ ἐν κυνηγεσίοις κελάδου, καὶ ἡ κήλη δεινὰ ἔχουσα, τυπόστι βέλη· ἢ ὅτι ἐγκέλαδόν τινα σιὼ Ὠρίωνι ἀνεῖλε διαζόμενον αὐτήν· ἢ διὰ τὸς κελαδὸς, ἤτοι θορύβους· ὃς ἡ μὲν μυθικὴ Ἄρτεμις κυνηγετοῦσα· ἡ δὲ ἀλληγορυμένη αὔξουσα καὶ φθίνουσα· σελήνης γὰρ πάθη ἡ αὔξομείωσις, ὅτε κέλαδοι ὡς ἐπὶ πολὺ περὶ ἄερα γίνονται.

ΠΕΡΙ ΚΕΝΤΑΥΡΩΝ.

Κενταύρους ἐκ δύο φυῶν ἁρμοσμένους, ὃ ὄξη διφυεῖς, μυθολογοῦσι γεγονέναι· τὸ μὲν κάτω ἵππους ὄντας ἄχει καὶ εἰς ἀυχένα· τὸ δ' ἐντεῦθεν, ἀνθρώπους. ἐκ τὸ ὅλον εἰπεῖν, ἵππους τε ὄντας ἀκεφάλους, καὶ ἀνθρώπους ἄποδας· ὅθεν ἐκ ἀσεῖον ἐκεῖνο εἴρηται, ὅτι δηλαδὴ ἐν τῇ τ' Ἱπποκενταύρων φύσει, ἵππος μὲν ἀπερέυγεται ἄνδρα, βροτὸς δ' ἀποπέρδεται ἵππον. ἡ δ' ἀλήθεια περὶ αὐτῶν ὥπως ἔχει καὶ τ' ἰσοείαν. Ἰξίονος βασιλέως ὄντος Θεσσαλίας, ἐν τῷ Πηλείῳ ὄρει, ἀπηγριώθη ταύρων ἀγέλη, καὶ τὰ λοιπὰ τῶν ὀρῶν ἄβατα ἐπόιει. εἰς γὰρ τὰ οἰκήμβυα κατιόντες οἱ ταῦροι, ἔσινον τὰ δένδρα ἐκ τὰς καρπὰς, ἐκ τὰ ὑποζύγια διέφθειρον. ἐκήρυξεν οὖν ὁ Ἰξίων, ὡς εἴ τις οὖν ἕλοιτο τὰς Κενταύρους, τούτῳ δώῃ χρήματα πάμπολλα. νεανίσκοι δέ τινες ἐν τ' ὑπωρείας, ἐν κώμης τινὸς καλυμένης Νεφέλης, ἐπινοοῦσιν ἵππους κέλητας διδάξαι. πρότερον γὰρ οὐκ ἠπίσταντο ἐφ' ἵπποις ὀχεῖσθαι, ἀλλὰ μόνον ἅρμασιν ἐχρῶντο. ὕπω δ' ἀναβαίνοντες τὰς κέλητας, ἤλαυνον ἐφ' ἃ οἱ ταῦροι ἦσαν. ἐκ ἐπεισβάλλοντες τῇ ἀγέλῃ, ἠκόντιζον· καὶ ὅτε μὲν ἐδιώκοντο ὑπὸ τῶν ταύρων, ἀπέφευγον οἱ νεανίαι· ποδωκέστεροι γὰρ ἦσαν οἱ ἵπποι. ὅτε δὲ ἔστησαν οἱ ταῦροι, ὑποστρέφοντες ἠκόντιζον· καὶ τοῦτον τ' τρόπον ἀνεῖλον αὐτούς. καὶ τὸ μὲν ὄνομα ἐντεῦθεν ἔλαβον οἱ Κένταυροι, ὅτι τὰς Κενταύρους μετεκέντων. οὐδὲν γὰρ πρόσεστι ταύρου τοῖς Κενταύροις, ἀλλ' ἵππου καὶ ἀνδρὸς ἰδέα ἐστὶν ἀπὸ ἔργου. λαβόντες γοῦν οἱ Κένταυροι τῶν Ἰξίονος χρήματα, ἐκ γωνιῶντες ἐπὶ τῇ πράξει ἐκ τῷ πλούτῳ, ὑβρισταὶ ὑπῆρχον, καὶ ὑπερήφανοι, ἐκ πολλὰ κακὰ εἰργάζοντο,

καὶ

καὶ δὴ ἐς κατ' αὐτὸ Ἰξίονος, ὃς ᾤκει τὴ νιῦ καλυμβίλω Λάρισσαν πόλιν· οἱ δὲ τότε τοῦτο τὸ χωρίον οἰκοῦντες, Λαπίθαι ἐκαλοῦντο. κεκλημβίοι ὂ οἱ Κένταυροι ἐπὶ τῶ Λαπίθων ἐπὶ θοίνῃ, μεθυσθέντες, ἁρπάζεσι τὰς γυναῖκας αὐτῶν, καὶ ἀναβιβάσαντες ἐπὶ τὰς ἵππους αὐτὰς, ᾤχοντο φεύγοντες εἰς τὴ οἰκίαν, ὅθεν ὡρμῶντο. ἐπολέμουν δὲ τοῖς Λαπίθαις, ἐς καταβαίνοντες διὰ νυκτὸς εἰς τὰ πεδία, ἐνέδρας ἐποίουν. ἡμέρας ὂ γιομβύσης, ἁρπάζοντες ἀπέτρεχον ἐπὶ τὰ ὄρη. ὅτω δ' ἀπερχομβύων αὐτῶν, ἵππων ἀραὶ καὶ ἀνθρώπων κεφαλαὶ μόνον ἐφαίνοντο· ξένιον δὲ ὁρῶντες θέαν, ἔλεγον· οἱ Κένταυροι ἡμᾶς, κατατρέχοντες ὁκ Νεφέλης, πολλὰ κακὰ ἐργάζονται. ἀπὸ δὴ ταύτης τῆς ἰδέας τὸ λόγο, ὁ μῦθος ἀπίστως ἐπλάσθη, ὡς ὁκ τῆς Νεφέλης ἵππος τε καὶ ἀνὴρ ἐγυνήθη ὁκ τῷ ὄρει.

ΠΕΡΙ ΤΟΥ ΚΕΡΑΤΟΣ ΤΗΣ ΑΜΑΛΘΕΙΑΣ.

ΚΕρας δ' Ἀμαλθείας τὸ δ' μυθικῆς αἰγὸς δ' θρεψαμένης τ' αἰγίοχον Δία ἔνιοί φασιν εἶ)· ὃ φέρων παντα χῆ ὁ Ἡρακλῆς, ἐγίνετο αὐτῷ ὅσα ἐβάλετο. ἕτεροι δέ φασιν ὡς Ἀχελῶος κλαυθεὶς τὸ ἀριστερὸν κέρας ὑφ' Ἡρακλεῖ, τὸ τῆς Ἀμαλθείας κέρας ἀντέδωκεν, ὃι' ὃ πᾶν ἀγαθὸν ἐχορηγεῖτο τῷ χρήζοντι. τοῦτο δὲ οἱ τῶν μύθων θεραπευταὶ ὡρὸς ἀλήθειαν συμβιβάζοντες, τοιοῦτόν τι φασὶν αἰτίτεσθαι. Ἡρακλῆς εὐεργετεῖν εἰδὼς τὰς ὁπόποτε γῆς, ἔτα ἐς τὸν ποταμὸν τοῦτον μαθὼν πλημμερῶς ῥέοντα, ἐς ταῖς καμπαῖς πολλῶ τῆς Αἰτωλικῆς ἀφεστημόμενον, καὶ ὅλως ἀδικοῦντα, ἀφ' ἁρχώματί τινι ἐς διώρυξι, καὶ διοχετίαις αὐτὸν ἐβιάσατο· ἐς ἀφ' ἑτρέψας ἐς ῥέειν σωφρόνως ποιήσας, ἀνέψυξε τὴ γλῶ, καὶ ἐς ἀγαθοποιὸν εὐχρηστίαν μεθήγαγε, καὶ τὸ τοῖς ἐγχωρίοις ἐπαειγερὸν κέρας τοῦ ποταμοῦ, τ' ἄπακτον καμπῶ δηλαδὴ, τ', ὡς εἰπεῖν, ἀπέραμον καὶ σκληρὸν τοῖς ἐκεῖ, εἰς μαλθακῶ ὅιον ἀντιταρέστησε δεξιότητα. ἐς ταῦτά εἰσι τὰ κέρατα τοῦ Ἀχελῶο, τό, τε βίαιον, τὸ καταπονηθὲν, ἐς τὸ πλωτοποιὸν, τὸ ἀντιδοθὲν, δι' ὃ καὶ Ἡρακλῆς εὐεργέτης ἔγνωσται. τὰς γάρ τοι τῶν ποταμίων ῥεύθρων καμπὰς, κέρατα ἐκάλων οἱ παλαιοί· ἐς διὰ τοῦτο ταυροκράνους ἐς κερασφόρους ἐτύπων αὐτούς.

Ἄλλοι δὲ πάλιν φασὶν ὅτι Ἡρακλῆς ἀποδημῶν ἐς Βοιωτίαν, μὴ Ἰολάου τοῦ ἀδελφιδοῦ, καταλύει ὁκ Θεσπιάδος, ἔν τινι πανδοχείῳ· ὁκ ᾧ ἦν τις γυνὴ καλυμβίη Ἀμάλθεια, ὡραία καὶ καλή. ὁ δὲ Ἡρακλῆς ἡδόμβυος αὐτῇ, πλείονα χρόιαν ἐξενίζετο. Ἰόλαος

δὲ

δὲ βαρέως φέρων, ἐπινοεῖ τὸν ἐμπολὴν τῆ Ἀμαλθείας ὡς κέρατι κεκμένῳ, ἀνελέσθαι· ἐξ ἧς ἐμπολῆς, εἴ τι ἤθελεν, ὠνεῖτο τῷ Ἡρακλεῖ. ἔλεγον δὲ διὰ τοῦτο οἱ σωέκδημοι, Ἡρακλῆς τὸ κέρας ἔχε τῆ Ἀμαλθείας, ἐξ οὗ ὠνεῖτο ὅτα βόλοιτο ἐπ' αὐτῷ· ἐξ οὗ ὁ μῦθος ωροσανεπλάθη. οἱ δὲ, ὡ νέαν ὡραίαν τιὼ Ἀμαλθειαν βόλονται γεγέσθαι, ἀλλὰ γραῦν κερδαλέαν, καὶ ἐμπορικήν, τὸ πολὺ τῆς ἐμπολῆς ἐντιθεῖσαν κέρατι, ὃ διὰ τοῦτο Ἀμαλθείας κέρας ἐφημίζετο, πλυτοωοιὸν καὶ βιωφελές. ἐπεὶ ὃ ὁ Ἡρακλῆς ἀφελόμενος αὐτὸ πλῆρες τοῦ ἐγκειμένου κέρματος, καὶ χρησάμενος ἔζησε ωρὸς τρυφὴν, λόγος ἐντεῦθεν διεδόθη ἀστεῖος, ὡς ἄρα τῷ Ἡρακλεῖ τὸ τῆς Ἀμαλθείας κέρας ἐκβλύζει πᾶν ἀγαθόν· ὡ τὸ τῆ μυθικῆς αἰγὸς, ἀλλὰ τὸ τῆ ῥητόρικης γραός. ἄλλος δέ τις λόγος Λιβυκόν τι χωρίον πάμφορον, ἐοικὸς βοὸς κέρατι κῦ τὸ χῆμα ἐκτίθεται, ὃς εἰς κῆμα γωναικί τινι Ἀμαλθείᾳ δίδωσιν. ὅπερ διὰ τὸ καρπῶ ωαντὸς εἰς πολλαπλάσιον δοτικὸν ἐῆ, ὁ μῦθος εἰς βόειον κέρας μεταλαβὼν, τὰ θρυλλύμενα ωερὶ αὐτῷ δίδωσιν. εἰ δέ τι ωαῤῥαωήλαυσεν ἀγαθὸν τοῦ τοιούτου κέρατος ὁ Ἡρακλῆς, ὅτε εἰς Λιβύλω ἀπεδήμησε, λέγοιτο ἂν ὕστω μετεῖναι τῷ Ἡρακλεῖ τοῦ τῆ Ἀμαλθείας κέρατος.

ΠΕΡΙ ΤΟΥ ΚΕΡΒΕΡΟΥ.

Μυθεύεται ὅτι ἔσι τις κύων ἔχων τρεῖς κεφαλὰς, ὃς καλεῖται τείκρανος, ὁ τῷ Ἅδη· ὃ τὸ κλῆσιν Ὁμηρος μὲν σιγᾷ, οἱ δὲ νεώτεροι Κέρβερον αὐτὸν καλοῦσι· καὶ ὑρὰν ωροσπλάττουσιν αὐτῷ δράκοντος, ἐπὶ δὲ νώτῳ ωροσφύουσιν ὄφεων κεφαλάς· οὗτος, φασὶ, φυλάττει τὰς πύλας τοῦ Ἅδου· καὶ τοὺς μὴ καταβαίνοντας εἰς τὸν Ἅδην, σαίνει δὲ κολακεύει, τοὺς δὲ ἀνιόντας δάκνει, καὶ οὐκ ἐᾷ ἀνελθεῖν. φασὶν οὖν ὅτι ὁ Ἡρακλῆς, ὅτε καταῆλθε σωαρτάσαι τῷ Πειρίθῳ τῆ Περσεφόνην, ἀνιὼν ἀπέκτεινε τὸ τείκρανον Κέρβερον. οἱ δὲ, ὅτι ἀνήγαγε ζῶντα, δὲ τῷ Εὐρυσθεῖ ἐκόμισε· ἵνα φασὶν ἐῆ τῷ Ἡρακλέους ἆθλων μέγιστον, οἱ δὲ μηνὶ καὶ ἔτεσιν ὀκτὼ ἐκείνῳ ἡνύσθησαν· δὲ ταῦτα μὲν ὁ μῦθος. οἱ δὲ ἱστορῦντες λέγουσιν, ἄφυκτον ἐῆ κύνα τὸν Κέρβερον Ἀιδωνέως Θρακῶν βασιλέως· ἔνθα καλέντα τὸ Ἡρακλέα ὑπὸ Εὐρυσθέως, ἀνιχνεύσαι τοῦ κυνὸς, καὶ τὸν μῦθον ἐντεῦθεν πλασθῆναι, διὰ τὸ Ἀϊδωνέα τὸ Θράκα τῷ ὑπὸ γῆν Ἅδη ὁμωνυμεῖν. οἱ δέ φασιν ὅτι Γηρυόνη ὁ Τειρανηίᾳ πόλεως τοῦ Εὐξείνου πόντου διάγοντι ἐπὶ ταῖς βυσὶν ἦσαν κύνες μεγάλαι τε δὲ νεανικαί· ὧν ὁ

μὲν

μὲν Κέρβερος τετκάρηνος, ἡ δὲ, Ὄρθος. τὸ μὲν ὂν Ὄρθον Ἡρακλῆς ἐν Τετκαρηνίᾳ, πρὶν πεσεῖν τὰς βόας, ἀναιρεῖ. ὁ δὲ Κέρβερος συνηκολούθει ταῖς βουσίν. ἐπιθυμήσας δὲ τοῦ κυνὸς ἀνὴρ Μυκηναῖος, τύραννος Μολοττῶν, τὸ μὲν πρῶτον ἤτει τὸν Εὐρυσθέα ἀποδοῦναι τὸν κύνα. ὑ βουλομένου δὲ τοῦ Εὐρυσθέως, ἀναπείθει τοὺς βουκόλους, ἐς τὸν κύνα καπηργυμένους ἐν τῇ Λακωνικῇ ἐπὶ Ταινάρῳ ἐν σπηλαίῳ τινὶ, ἐς ἀφίησιν αὐτῷ κύνας θηλείας συμβατεύειν. Εὐρυσθεὺς δὲ, πέμπει Ἡρακλέα ἐπὶ ζήτησιν τοῦ κυνός. ὁ δὲ πᾶσαν περιὼν τὴν Πελοπόννησον, ἦλθεν ὅπου ὁ κύων αὐτῷ ἐμηνύθη εἶναι· καὶ καταβὰς, ἀνάγει ἐκ τοῦ ἄντρου τὸν κύνα. ἔλεγον δέ τινες τότε, ὅτι διὰ τοῦ ἄντρου καταβὰς εἰς Ἅιδου ὁ Ἡρακλῆς, ἀνήγαγε τὸν κύνα. ἡ δὲ ἀλληγορία εἰς μέθην αὐτὸν ὑπονοεῖ, ἢ ἄλλο τι τοιοῦτον κακὸν, ὃ δὴ τὸ κέαρ βαρύνει, ὃ ὄζει τὴν ψυχήν. ὃ δὴ Κερβέρου περιγίνεται Ἡρακλῆς, ὁ εἰς τὸν λόγον ἀναγόμενος.

ΠΕΡΙ ΤΩΝ ΚΕΡΑΜΙΚΩΝ.

ΚΕραμικοὶ τόποι δύο τινὲς ἦσαν Ἀθήνησιν ὕπτω καλούμενοι· ὧν ὁ μὲν, ἔνδον τῆς πόλεως, ὁ δὲ, ἔξω. ἔνθα καὶ τοὺς ἐν πολέμῳ τελευτήσαντας ἔθαπτον δημοσίᾳ, ἐς τοὺς ἐπιταφίους ἔλεγον. ἦσαν δὲ ἔνθεν ἐς ἔνθεν στῆλαι ἐπὶ τοῖς δημοσίᾳ πεθαμμένοις, ἔχουσαι ἐπιγραφὰς, πῇ ἕκαστος τέθαπται. ἐν δὲ τῷ ἑτέρῳ ἦσάν τε ἐς πορνεῖα κεκοσμημένα αἱ πόρναι. οἱ δὲ, Κεραμεικὸν φασι τόπον Ἀθηναίων, ὅπου θεῶν τὰ ἀγάλματα ἱδρυμένα ἦν.

ΠΕΡΙ ΤΟΥ ΚΕΡΔΩΟΥ ΘΕΟΥ.

ΚΕρδῶον θεὸν καλοῦσι τὸν Ἑρμῆν οἱ Ἕλληνες, ὡς κέρδους ποιητικὸν ἐς ἔφορον. διὸ ἐς μαρσίππιον αὐτὸν ποιοῦσι βαστάζειν, ὡς καὶ ἔφορον τῆς κλοπῆς· ὅθεν καὶ Ἀριστοφάνης ἐν Πλούτῳ, ἀπορῶν τίνα δεῖ καλέσαι τὸν Ἑρμῆν, φησὶν· ἐμπολαῖον αὐτὸν ἱδρυσώμεθα, τουτέστι, κέρδους ἔφορον.

ΠΕΡΙ ΤΟΥ ΚΗΤΟΥΣ ΤΟΥ ΤΡΩΙΚΟΥ.

ΠΕρὶ τοῦ Τρωϊκοῦ κήτους μυθεύεται ὅτι τοῖς Τρωσὶν ἐκ τῆς θαλάττης ἐφοίτα. ἐς εἰ μὲν αὐτῷ δοῖεν κόρας, ἀπήρχετο· εἰ δὲ μὴ, τὴν χώραν αὐτῶν ἐλυμαίνετο. ὡς δὲ μάταιον, τὸ ἄνδρας ἀντίθεσθαι τοῖς ἐμπνέουσι θυγατέρας, τίς οὐκ οἶδεν; ἀλλ' ἦν ἀνὴρ βασιλεὺς μέγας, ἐς πολλῷ ἔχων δύναμιν, καὶ ναυτικὸν πολύ,

λὺ, ὃς κατέστρεψε τὸ περὶ Θαλάσσιον τῆς Ἀσίας ἔλος, ὃ Τρῶες ἐκτῶντο. ἐδίδυ δὲ φόρον, ὃν τινες δασμὸν καλέσσιν. ἀργυρείοις μὲν ἒν οἱ τότε ἄνθρωποι οὐκ ἐχρῶντο, ἀλλὰ σκεύεσι. προστέταξε δὲ ὁ Βασιλεὺς, ᾧ ὄνομα Κήτων, τῇ πόλεων, τινὰς μὲν ἵππους διδόναι, τινὰς δὲ κόρας. τὸν δὲ Βασιλέα, ᾧ ὄνομα Κήτων, οἱ Βάρβαροι ἐκάλυν Κῆτος. πρεσβεύεν δὲ ὁ Κήτων χρ τὸν δέοντα χρόνον, ἀπαιτῶν τὸν δασμόν· τῇ δὲ μὴ ἀποδιδόντων, ἐκάκυ τὰς χώρας. ἐξέρχεται δὲ εἰς Τροίαν, καθ' ὃν χρόνον ὁ Ἡρακλῆς ἦκεν, ἔχων στρατιὰν τῇ Ἑλλήνων. μανθάνει δὲ τὸν Ἡρακλέα Λαομέδων ὁ Βασιλεὺς, ἀρῆξαι τοῖς Τρωσίν. ἀποβιβάσας δὲ τὴν στρατιὰν ὁ Κήτων, ὁδοιπόρει· ὑπαντήσαντες δ' αὐτῷ Ἡρακλῆς, καὶ Λαομέδων, ἀναιρέσιν αὐτόν. ὃ γνωμένῳ, ὁ μῦθος προσανεπλάσθη.

ΠΕΡΙ ΤΩΝ ΚΟΛΑΣΕΩΝ ΤΩΝ ΠΑΡ' ΕΛΛΗΣΙ ΔΟΞΑΖΟΜΕΝΩΝ.

Οἱ παλαιοὶ δὲ αὐτοὶ βάλλονται εἶ) κολαστήρια, ὅπῃ αἱ τῇ ἁμαρτανόντων ψυχαὶ κολάζονται· ὧν ὅις μὲ Πλάτων ἐν τῷ Φαίδωνι λέγων περὶ τῆ λήξεων δὲ τῇ ἀποκληρώσεων τῇ ψυχῶν λέγει, ὅτι οἱ ἀδίκως βεβιωκότες κολάζονται ἐν τῷ Κωκυτῷ, δὲ ἐν τῷ Πυριφλεγέθοντι, καὶ ἐν τῷ Τάρταρῳ· ποταμοὶ δὲ ὅτοι εἰσίν· ὁ μὲν Κωκυτὸς ψυχρότατος· ὁ δὲ Πυριφλεγέθων θερμότατος· ὁ Τάρταρος μέσος τις τόπος τοῦ παντός· ἐν ᾧ ἀνίσωτός ἐστιν ὑδάτων, δὲ κατάπτωσις, ἄχει τοῦ πέρματος τοῦ παντός· σκοτεινός τις δὲ ἀφεγγὴς· καὶ ὅτι ἐν τούτῳ τῷ τόπῳ κολάζονται οἱ ἄδικοι. ὁ δὲ Ἀχέρων δὲ αὐτὸς μέσος τις ὢν, καθαρσίῳ ἔοικε, καὶ οὐχὶ κολαστηρίῳ· ῥύπτων μὲ σμήχων τὰ τῇ ἀνθρώπων ἁμαρτήματα.

ΠΕΡΙ ΤΟΥ ΚΟΛΟΙΟΥ ΚΑΙ ΤΩΝ ΠΤΕΡΩΝ ΑΥΤΟΥ.

Κρίσις ἦν, ὡς φασι, περὶ κάλλυς ὀρνέων, δὲ ὁ Ζεὺς διαιπητὴς ὑπῆρχε τῆς κρίσεως. ἦν δὲ ὁριωθεῖσα ἡμέρα, ἐν ᾗ ἔδει συναυλισθῆναι τὰ ὄρνεα πρὸ τὸν Δία. τῇ προτέρᾳ δὲ τῆ ὁρισθείσης ἡμέρας, πρὸ τὰς ποταμὰς φοιτήσαντα τὰ ὄρνεα, τοῖς νάμασιν ἀπενίζοντο τὰ πτερὰ, ἵνα τὸ φυσιλὸν ἑκάστῳ διαλάμψῃ κάλλος. ὁ δὲ κολοιὸς, (ἔστι δὲ τοῦτο ὄρνεον, εὖ μάλα μικρὸν μὲν τῷ σώματι, ἀκαλὲς δὲ τὸ εἶδος) τῇ ἐκπεσόντων πρὸ τοῖς ὕδασι πτερῶν περιθεὶς ἑαυτῷ, ἦκε δὲ αὐτὸς πρὸ τὸν Δία, ὡς ληψόμενος τοῦ κάλλυς τὰ νικητήρια. ἀνέμυ ὃ ὧδε πυθόμενος,

καὶ ἀποσκεδάσαντος τὰ ἀλλόφυλα τῷ πατρῶι, γυμνὸς εὑρέθη τῆ ἀλλοχρυῆ. ἔχων δὲ τιὼ ἐκ φύσεως αὐτῷ διεκεκμένην ἀμορφίαν, ὅτω δ' αἰσχύνης ἀπέλαυσεν.

ΠΕΡΙ ΚΟΤΤΟΥ ΚΑΙ ΒΡΙΑΡΕΩΣ.

Κότττω καὶ Βριάρεως, ἄνδρες ὄντες, μυθεύονται ὡς ἑκατὸν χεῖρας ἔχον, οἳ μετὰ τῶν Θεῶν ἐπολέμησαν τοὺς Γίγαντας. τὸ δ' ἀληθὲς οὕτως ἔχει· τῇ πόλει ἦν ὄνομα Ἑκατονταχειρία ἐν ᾗ ᾤκουν. ἦν δὲ πόλις τῆς νῦν καλουμένης Ὀρεστιάδος. ἔλεγον οὖν οἱ ἄνθρωποι· Κόττος καὶ Βριάρεως οἱ ἑκατοντάχειρες, βοηθήσαντες τοῖς Θεοῖς, αὐτοὶ ἐξήλασαν τοὺς Γίγαντας ἐκ τῆς Ὀλύμπου.

ΠΕΡΙ ΤΟΥ ΚΡΟΝΟΥ.

Κατὰ τὸ μῦθον, ὡς ἐρηται, ὁ Οὐρανὸς γίνεται Κρόνου πατήρ. ὁ Κρόνος δὲ μὴ βουλόμενος χωρὶς αὐτῷ ἕτερον παῖδα, λαβὼν δρέπανον, ἐκτέμνει τὰ αἰδοῖα τοῦ πατρὸς, καὶ ῥίπτει αὐτὰ εἰς τὴν θάλασσαν· ἐκ ἀφροῦ χωσθέντος, ἐγεννήθη ἡ Ἀφροδίτη· ἔνθεν καὶ Ἀφροδίτη ὠνομάσθη ἐκ τοῦ ἀφροῦ· λέγεται δὲ προσέτι ὁ Κρόνος πρῶτον μὲν καταπίνειν τὰ ἐκ τῆς αὐτοῦ γαμετῆς Ῥέας γινόμενα αὐτῷ τέκνα· διὸ καὶ τεκνοφάγον αὐτὸν καλοῦσιν. οἱ δὲ τῶν μύθων θεραπευταὶ ἐκ θεολόγοι τῶν Ἑλλήνων ἀλληγοροῦντες, φασὶν, ὅτι εἵληπται μὲν οὐ πάνυ εἰκότως, ἐπειδὴ ὅσα ἂν γίνονται καθ' τὸν τῆς κινήσεως λόγον, πάλιν, κατὰ τὸν αὐτὸν ἐν περιόδῳ ἀφανίζεται. καὶ ὁ χρόνος δὲ τοιοῦτόν ἐστι· δαπανᾶται γὰρ ὑπ' αὐτοῦ τὰ γενόμενα. εἶτα τῇ Ῥέᾳ φασὶ, χωσθέντι αὐτῇ τοῦ Διὸς, λίθον ἀντ' αὐτοῦ προσενεγκεῖν ἐσπαργανωμένον τῷ Κρόνῳ, τοῦτον εἰσοῦσα τεκεῖναι· καὶκεῖνον μὲν καταποθῆναι ὑπ' αὐτοῦ· τὸν δὲ Δία τραφέντα, βασιλεῦσαι τοῦ κόσμου. ἐνταῦθα δὲ ἄλλως εἵληπται ἡ κατάπωσις· σωπέπακται γὰρ, φασὶν, ὁ μῦθος περὶ τῆς τοῦ κόσμου γενέσεως, ἐν ᾧ τότε ἀνετράφη ἡ διοικοῦσα αὐτὸν φύσις, ἐκ ἐπεκράτησεν, ὅτε εἰς τὸ μεσαίτατον αὐτοῦ ὁ λίθος οὗτος, ὃν καλοῦμεν γῆν, οἷονεὶ καταποθεὶς, ἐγκαπεσηείχθη. οὐ γὰρ ἂν ἄλλως σωέστη τὰ ὄντα, εἰ μὴ ἐπὶ θεμελίῳ ταῦτα ἐρείσθη, γινομένων ἐκ τρεφομένων ἐντεῦθεν πάντων. τέως δὲ ὁ Κρόνος ἰσορρέπεται σωεχῶς κατιὼν ἐπὶ τῷ μίγνυσθαι τῇ γῇ, τοῦτον δὲ ἐκτεμεῖν, καὶ παῦσαι τῆς ὕβρεως· ὁ μὲν γὰρ Ζεὺς ἐκβαλὼν αὐτὸν τῆς βασιλείας, καταταρτάρωσε. διὰ γοῦν τοῦτο αἰνίττονται, ὅτι ἡ τῆς ὅλης γε-

χρύσεως τάξις ἦν φασιν ἀπὸ τοῦ κραίνειν, Κρόνον εἰρῆσθαι, τῷ γινομένῳ πως πολλῷ ῥύσιν τοῦ περιέχοντος ἐπὶ τῷ γλοῦ ἔσκαλε, λεπτοτέρας ποιήσασα τὰς ἀναθυμιάσεις. ἡ δὲ τοῦ κόσμου φύσις ἐπιχύσεις ἐπιχύσασα, ἣν καὶ Δία λέγουσι καλεῖσθαι, τὸ λίαν φερόμενον τῆς μεταβολῆς ἔσχε, καὶ ἐπεπέδησε μακρότερον διεξαγαγοῦσα, καὶ δοὺς αὐτῷ τῷ κόσμῳ. πάνυ δ' εἰκότως καὶ ἀγκυλομήτην φασὶ καλεῖσθαι τὸν Κρόνον, ἀγκύλων ὄντων καὶ δυσπαρακολουθήτων, ἃ μὴ πελέσηται τοσοῦτος ἀριθμὸς ἐλελίττων.

Ἡ δὲ ἰσοδία Κρόνου βασιλέα Κρήτης ὧδε, ὁμοίως δὲ Δία τὸν δὲ Ἀσερίονα νομοθέτην Κρητῶν καὶ ἄλλων Ἑλλήνων ὄντα· ἀλλ' ὁ μὲν Κρόνος ἐξορισθεὶς ὑπὸ τοῦ ἰδίου υἱοῦ Διὸς, εἰς Ἰταλίαν ἀφικνεῖτο, βασιλεύς τε ἐγένετο Λατίνων, νόμους θεὶς αὐτοῖς· καὶ γεωργίαν διδάξας, ὃν καὶ ὡς θεὸν ἀποθανόντα ἐτίμησαν. δὲ ἀλληγορεῖσθαι φασιν, ὅτι τὸ νοερᾶς ζωῆς ὄντος ὅρος ὢν τοῦ νοῦ· μᾶλλον δ' ὁ κόρος νοῦς δὲ καθαρός. πάντες οὖν οἱ νοερῶς ζῶντες, χρονίαν ἔχουσι πολιτείαν φασίν. ὅθεν καὶ βασιλεὺς αὐτῶν ὁ Κρόνος λέγεται· ὃν ὅτι τοῦ κρᾶν καὶ κιρνᾶν ἕκαστα τῶν χυθλιωμάτων φασὶ, καὶ μίξαντα τὸ θῆλυ τῷ ἄρρενι. Χρύσιππος δέ φησι, καθύγρων ὄντων τῶν ὅλων, καὶ ὄμβρων καταφερομένων πολλῶν, τοῦτων ἕνεκεν τοῦτον, Κρόνον ὠνομάσθαι.

ΠΕΡΙ ΚΑΛΛΙΣΤΟΥΣ.

Καλλιστὼ, τοῦ Λυκάονος, χόλῳ Ἥρας διὰ τὸν Διὸς ἔρωτα, μεταπεσεῖν εἰς ἄρκτον λέγουσι· καὶ τοξευθῆναι μὲν ὑπ' Ἀρτέμιδος, ἀναχθῆναι δὲ εἰς ἄστρα ὑπὸ τοῦ Διός. ἰστέον δ', καὶ ἐπεὶ ἄρκτον ὁ μῦθος καὶ ζωονυμίαν τὸ τῆς Καλλιστοῦς ὀνόμασεν ἀστεροθέτημα, ὁ δὲ Ὠρίων κυνηγέτης ὑπόκειται, χαριέντως εἶπεν ὁ Ποιητὴς τὸ,

Ἦ τ' αὐτοῦ στρέφεται, καὶ τ' Ὠρίωνα δοκεύει.

ἀληθῶς μὲν, διότι τῷ αὐτὴν ἡ ἄρκτος τῷ Ὠρίωνι ποιεῖται κίνησιν· ἀστείως δ', ὡς ὥρος τὸ μῦθον, διότι δέδιεν ὡς ἄρκτος τὸν κυνηγέτην, καὶ διὰ τοῦτο ὥρος τοῦ Ὠρίωνος ἀπονεύει ἄστρον. καὶ τὸ ἀρκτοῦρον δὲ Καλλιστοῦς υἱὸν λέγουσιν Ἀρκάδα καλούμενον, ὃς ἐπερχομένῳ τῷ μητρὶ ἐν κυνηγεσίῳ κατ' αὐτοῦ, μεταβαλλομένῳ εἰς ἄρκτον, τοῦ Διὸς μιγνυμένης αὐτῇ, ὡς εἴρηται, ἀνεῖλεν· καὶ ὁ Ζεὺς ἐλεήσας αὐτοὺς κατεστέρισεν· ἔστι δὲ ἀστὴρ ἐπὶ τῆς ζώνης τοῦ ἀρκτοφύλακος.

ΠΕΡΙ ΚΕΦΑΛΟΥ.

Κέφαλος Δηϊονέως υἱὸς, πατὴρ Ἀρκεσίου τοῦ πάππου Ὀδυσσέως, ὃν ἐγέννησεν ὁ τῆς Ἄρκτου μεταβληθείσης εἰς γυναῖκα· ὅθεν Ἀρκείσιος. τοῦτο δὲ τοῦ μαντικοῦ θεοῦ κελεύσαντος· ἀφ' οὗ καὶ ἡ Κεφαλληνία νῆσος.

ΠΕΡΙ ΚΗΥΚΟΣ.

Κήυξ ὁ Φωσφόρου τοῦ ἀστέρος, γήμας Ἀλκυόνην τὴν Αἰόλου, μέγα φρονήσας ἐφ' ἑαυτῷ, θεὸς ἐβούλετο νομίζεσθαι. διόπερ ἥτε γαμετὴ διὰ παντὸς αὐτὸν ἐκάλει Δία, κἀκεῖνος Ἥραν τὴν γυναῖκα. Ζεὺς δὲ ἀγανακτήσας, μετέβαλεν αὐτοὺς εἰς ὄρνεα, χωρὶς ἀλλήλων βιῶντα. ἐκλήθη δὲ ἡ μὲν Ἀλκυόνη, ὁ δὲ Κῆυξ. ἐφ' οἷς δὲ τοῖς αἰγιαλοῖς τῆς Ἀλκυόνης τικτούσης, συμβαίνει ἐπελθόντα τὰ κύματα, τὰ ἔγγονα αὐτῆς κατασύρειν. Ζεὺς δὲ θεασάμενος αὐτῆς κλαίουσαν, καταλεήσας ἐπέταξε τοῖς ἀνέμοις, καθ' ὃν ἂν καιρὸν ἡ Ἀλκυόνη τίκτει, μὴ πνεῖν μέχρι τεσσάρων καὶ δέκα ἡμερῶν, τοῦ χειμῶνος αὐξανομένου. εἴρηται δὲ Ἀλκυὼν, παρὰ τὸ ἁλὶ κύειν.

ΠΕΡΙ ΚΗΦΕΩΣ.

Κηφεὺς, ὡς Εὐριπίδης φησὶν, ἦν Αἰθιόπων βασιλεύς, Ἀνδρομέδας δὲ πατήρ. τιμὴ δ' αὐτοῦ θυγατέρα δοκεῖ θεσθῆναι τῷ κήτει βοράν· ἣν Περσεὺς ὁ Διὸς διέσωσε. δι' ἣν καὶ αὐτὸς ἐν τοῖς ἄστροις ἐτέθη Ἀθηνᾶς γνώμῃ.

ΖΕΤΣ γεννᾷ
ΒΗΛΟΝ, ὃς ἦν
βασιλεὺς Βαβυλῶνος, ἃ
ΚΗΦΕΤΣ, βασιλεὺς
Αἰθιόπων, ἃ
ΑΝΔΡΟΜΕΔΑ·
ἣς καὶ Περσέως τοῦ Διὸς,
ΓΟΡΓΟΦΟΝΤΗΣ, ΑΛΚΑΙΟΣ, ΣΘΕΝΕΛΟΣ, ΕΛΕΙΟΣ, ΜΝΗΣΤΩΡ, ΗΛΕΚΤΡΥΩΝ.

Ἰστέον δὲ ὅτι δύο προσέτι εὑρίσκονται Κηφεῖς· ὧν ἡ γενεαλογία ὧδε ἔχει·

ΔΙΟΣ καὶ ΘΕΜΙΣΤΟΣ
γίνεται ΑΡΚΑΣ,
ἐξ ΑΦΕΙΔΑΣ,
ἐξ ΑΛΕΟΣ,
ἐξ ΚΗΦΕΥΣ.

ΔΙΟΣ καὶ ΔΩΡΙΠΠΗΣ
γίνεται ΕΛΛΗΝ,
ἐξ ΑΙΟΛΟΣ,
ἐξ
ΚΗΦΕΥΣ, ΔΗΙΟΝΕΥΣ, ΣΑΛΜΟΝΕΥΣ· ἅμοι.

ΠΕ-

ΠΕΡΙ ΤΗΣ ΚΙΡΚΗΣ.

Κίρκην τινὲς μὲν Αἰήτου ἀδελφὴν, τινὲς δὲ θυγατέρα φασὶν εἶναι. ταύτην Διονύσιος ὁ Μιλήσιος ἐν τῷ πρώτῳ τῶν Ἀργοναυτικῶν, θυγατέρα Αἰήτου καὶ Ἑκάτης τῆς Περσέως, ἀδελφὴν δὲ Μηδείας λέγει· ἠλίῳ γάρ φησιν ἐξῆς γενέσθαι δύο ἐν τοῖς τόποις ἐκείνοις, οἷς ὀνόματα ἦν Περσεὺς καὶ Αἰήτης. τούτους δὲ κατασχεῖν τὴν χώραν· καὶ Αἰήτην μὲν Κόλχων εἶναι τῆς Μαιώτιδος, Περσέα δὲ τῆς Ταυρικῆς βασιλεῦσαι, καὶ γῆμαι γυναῖκα τῶν ἐγχωρίων τινά, καὶ γενέσθαι αὐτῷ θυγατέρα, ἧς ὄνομα Ἑκάτη. οἱ δὲ, ἐπιγάμβρου τινὸς ἐγχωρίας τὴν Ἑκάτην φασὶν αὐτῷ γενέσθαι, ἀνδρεικὴν πρὸς τὰ κυνηγετικὰ, καὶ πρώτην θανασίμους ῥίζας εὑρεῖν, καὶ ἐμπειροτάτην γενομένην τῶν τε δηλητηρίων, καὶ τῶν ἰάσεων δυναμένων· καὶ τὸν ἑαυτῆς πατέρα φαρμάκοις ἀποκτεῖναι. ταύτην γήμασαν μεταπεμφθεῖσαν εἰς Κόλχους Αἰήτην τῷ πατραδέλφῳ, ἀφ' ἧς γενέσθαι Κίρκην, καὶ Μήδειαν. τὴν δὲ Κίρκην φρεσβυτέραν οὖσαν Μηδείας, ὑπερβαλέσθαι τὴν ἑαυτῆς μητέρα· τὰ μὲν διακυσασαν παρ' αὐτῆς, τὰ δὲ καὶ αὐτὴν ἐφευρηκυῖαν πολλὰ καὶ δεινὰ φάρμακα· Μηδείᾳ δὲ νεωτέραν Κίρκης, οὐκ ἠττωμένην δὲ αὐτῆς. ταῦτα μὲν ὅτοι. Ἡσίοδος δέ φησι τὴν Κίρκην τὴν ἠλίου θυγατέρα εἶναι.

ΠΕΡΙ ΚΑΤΜΕΝΗΣ.

Κατμένη θυγάτηρ Ἴφιος, ἢ Μινύα, ὑπὸ Φυλάκῳ τῷ Δηϊονέως Ἰφίκλου τέκνα παῖδα ποδώκη. Ἡσίοδος δέ φησι γαμηθῆναι αὐτὴν Ἡλίῳ, καὶ τεκεῖν Φαέθοντα.

ΠΕΡΙ ΚΟΙΣΤΡΑΣ.

Κοισύρα, γύνη Ἀθήνησιν εὐγενὴς καὶ πλουσία, μήτηρ Μεγακλέους καὶ Λαμάχου, Ἀλκμαίωνος γαμετὴ, ἥτις ἐπὶ βλακείᾳ διαβεβόητο. καὶ Κοισυρῆται, καὶ κοσμῆται, ἀπὸ τῆς Κοισύρας.

ΠΕΡΙ ΚΟΝΝΑ.

Κοννᾶς, αὐλητὴς ἦν, καὶ μέθυσος, ὃς καὶ συμπόσια παρήει σιωπῶν ἐστεμμένος. ἦτος Ὀλυμπιονίκης γυμνικὸς, καὶ πολλάκις στεφανωθεὶς, πενιχρὸς ἦν, μηδὲν ἔχων ἀλλ' ἢ κότινον· ἀφ' οὗ Κρατῖνος εἶπεν,

Ἔσθιε, καὶ σῇ γαστρὶ δίδου χάριν, ὄφρα σε λιμὸς
Ἐχθαίρῃ· Κοννᾶς δὲ πολυστέφανος νικήσει.

λέ-

λέγει δὲ αὐτὸν τοσαῦτα νικήσαντα, μηδέποτε τετιμῆσθαι. ἡ δὲ παροιμία·

— Στέφανον μὲν ἔχων, δίψῃ δ' ἀπολωλώς.

καὶ πάλιν·

Δελφὸς ἀνὴρ στέφανον μὲν ἔχων, δίψῃ δ' ἀπολωλώς.

πρὸς τὸν Κρατῖνον δὲ καὶ τοῦτο, ὅτι μέθυσός ἐστι.

ΠΕΡΙ ΚΟΡΥΔΑΛΟΥ.

Κόρυδος, ὁ Κορυδαλός, τὸ στρουθίον, τὸ ἔχον ἐπὶ τῆς κεφαλῆς ἀνεστηκότα πτερά, ὥσπερ λόφον· ὃν λόφον ὁ τῶν Ἑλλήνων μῦθος τὸν τάφον εἶναι βούλεται τοῦ πατρὸς αὐτῶν· φασὶ γὰρ αὐτὸν εἰς ὀρὸς τοῦ γῆν ὑποστῆναι· ἀποθανόντα δὲ τὸν πατέρα αὐτῶν, ἐπεὶ μὴ εἶχον ὅπου θάψωσιν, ἐπὶ ταῖς αὐλῶν ἔθαψαν κεφαλαῖς. τοῦτο δὲ βούλεται δηλοῦν ὁ τῶν Θεοκρίτου, τὸ, ἐπιτυμβίδιοι κορυδαλίδες, ἤγουν αἱ ἐπὶ ταῖς ἑαυτῶν κεφαλαῖς τὸ τύμβον τοῦ πατρὸς φέρουσαι.

ΠΕΡΙ ΚΡΗΘΕΟΣ.

Κρηθεύς, Σαλμωνέως ἦν ἀδελφὸς, ὡς δέ τινες, καὶ Ἀθάμαντος· ἀμφότεροι δὲ παῖδες Αἰόλου καὶ Λαοδίκης τῆς Ἀλωέως.

ΠΕΡΙ ΚΡΙΟΥ.

Κρίον, Διονύσιος ὁ τοῖς Ἀργοναυτικοῖς φησι γεγονέναι τροφέα Φρίξου· ὃν ἀθάμβυον τὸ ἐπιβουλῆς Ἰνοῦς, ὑποθέσθαι τῷ Φρίξῳ τὸν φυγὸν ποιήσασθαι· καὶ συμπεπλακέναι αὐτῷ εἰς Κόλχους· ὅθεν καὶ μεμυθεῦσθαι ὡς ὑπὸ Κριοῦ διασωθείη, καὶ ὡς διὰ τῆς αὐτοῦ θυσίας αὐτόθι. Ἡρόδωρος δέ φησιν Ἀθάμαντος καὶ Θεμιστοῦς χρυσοῦν παῖδας, Σχοινέα, Ἐρύθριον, Λεύκωνα, Ποῖον, νεωτάτους δὲ Φρίξον καὶ Ἕλλω· οὓς διὰ τὸ Ἰνοῦς ἐπιβουλὴν ἐκχωρῆσαι, πλευτῆσαι δὲ τὴν Ἕλλω ὑπὸ τῆ ἀποχωρήσει. οἱ δὲ φασὶν αὐτοὺς ἐπὶ χρυσορρόου σκάφους πλεῦσαι φεύγοντας τὸ ὀργὴν τὴ μητρυιᾶς.

ΠΕΡΙ ΚΤΙΜΕΝΗΣ.

Κτιμένη, Ὀδυσσέως ἦν ἀδελφὴ, ἧς ἀνὴρ Εὐρύλοχος γεγονέναι ὑπονοεῖται· ἦν Ὄμηρος Ἰφθίμην λέγει, καθὰ καὶ τὸ τοῦ Λαέρτου ἄλοχον, δαίφρονα· ὁμοίως καὶ τὸ Πηνελόπην.

ΠΕ-

ΠΕΡΙ ΚΥΓΧΡΗΟΣ.

Κυγχρεὺς, Σαλαμῖνος καὶ Ποσειδῶνος υἱός. ἐβασίλευσε δ' Σαλαμινίων, ὡς φησιν Εὐφορίων. τοῦτον δέ τινες τ διφυῆ Κέκροπά φασιν. ἄλλοι δ' ὅτι ὄφις ἐλυμαίνετο τ Σαλαμῖνα, καὶ ἀοίκητον ἐποίει· ὃν ὁ Κυγχρεὺς ἀνεῖλεν. ὅθεν καὶ ἀνάξιφος ἐκλήθη.

ΠΕΡΙ ΤΟΥ ΚΥΔΩΝΟΣ.

Κύδων, βασιλεὺς Κυδωνίας πόλεως ἐν Κρήτῃ. οὗτος λέγεται υἱὸς γεγονέναι Ἑρμοῦ, διὰ τὸ λόγιον καὶ μυστικὸν τοῦ ἀνδρός· ᾧ καὶ Ἀλέξανδρος ὁ παρώτῳ Κρητικῶν φησι, τῇ Ἀκακαλλίδι συνελθεῖν τὸν Ἑρμῆν καὶ τὸν Ἀπόλλωνα· καὶ ἐκ μὲν Ἀπόλλωνος γεγένθαι Νάξον· ἐκ δὲ Ἑρμοῦ, Κύδωνα· ἀφ' οὗ ἡ πόλις Κυδωνία, κτίσμα ὄσα αὐτοῦ καὶ βασίλειον· ὥσπερ καὶ Κνωσσὸς Μίνωος· καὶ Γόρτυνα, ταῦρος ἐκείνου τοῦ τ Φοίνισσαν Εὐρώπην ἁρπάσαντος. μεγάλη δὲ αὕτη ἡ πόλις, καθ' τ Γεωγράφον, ἐπόρθησε πόλεις Κρήτης μέγιστα, Γόρτυνα, Κυδωνία, καὶ Κνωσσός.

ΠΕΡΙ ΤΩΝ ΚΥΚΛΩΠΩΝ.

Ἐν τῇ Σικελίᾳ τῇ νήσῳ, περὶ τὰ ὄρεινα αὐτῆς, λέγονται οἱ Κύκλωπες γεγένθαι, ποιμενικὸν μὲν βίον ἐπιτηδεύοντες, ζῶντες δὲ βιαιότερον. λέγονται δὲ ὅτοι ἀνθρωποφάγοι εἶναι, καὶ κατεδηδοκέναι τοὺς τοῦ Ὀδυσσέως ἑταίρους. ἐθνικὸν δὲ ὄνομα τὸ Κύκλωψ, υἱὸς τοῦ Ποσειδῶνος υἱῷ, κύριον δὲ τὸ Πολύφημος. εἰ μὴ ἄρα ὥσπερ τὸ Αἰγύπτιος, κύριον εὑρηται ὄνομα, οὕτω καὶ τὸ Κύκλωψ ἐξ ἐθνικοῦ εἰς κύριον μετέπεσεν, ἰδιωταμβάσε τοῦ Πολυφήμου τὸ κοινὸν, καὶ τῶν παλαιοτάτων Οὐρανοῦ καὶ Γῆς υἱῶν, Κυκλώπων καὶ αὐτῶν ὄντων, Βρόντου τε Στερόπου τε καὶ Ἄργου· οἵτινες χαλκεῖς τ τέχνῃ μυθεύονται ἐξοχώτατοι· διὸ τ βροντῇ καὶ τ στεροπῇ τῷ Διὶ κατασκευάζουσι. Ἡσίοδος δέ φησιν ὅτι Κύκλωπες ἐπωνομάσθησαν, ὡς ἕνα ἔχοντες κυκλοτερῆ ὀφθαλμὸν ἐν τῷ ὄψει. Ἑλλάνικος δὲ, ἀπὸ Κύκλωπος υἱοῦ Οὐρανοῦ, λέγων δὲ περὶ τῶν παρ' Ὁμήρῳ Κυκλώπων, ἀλλὰ περὶ τ Θεῶν. Κυκλώπων γὰρ γένη τρία· Κύκλωπες, οἱ τ Μυκήνῃ τειχίσαντες, οἱ περὶ τ Πολύφημον, καὶ αὐτοὶ οἱ Θεοί.

ΠΕΡΙ ΤΩΝ ΈΣΚΤΝΟΣΑΡΓΕΣ ΑΠΟΡΡΙΠΤΟΜΕΝΩΝ ΝΟΘΩΝ.

Τὸ Κιωσαργες τόπος ἦν Ἀθήνησιν, ἐν ᾧ οἱ νόθοι ἐκείνοντο, εἰ τῦδε ὄντως γέγονεν υἱός, ἢ ἐκεῖνος. ἐκάλουν δὲ παρ' Ἀθηναίοις καὶ τοὺς ἀπελευθέρους νόθους· νόθοι γὰρ καὶ ὅτοι φασὶ τοὺς ἐκ γυναικὸς ἐλευθέρας· ὡς ὅτοι γὰρ ἐκείνοντο ὡς ἐδοκιμάζοντο εἰ ὅλως ἐλευθερώθησαν.

Κιωσαργες δὲ ἤκουσεν ὁ τόπος, ἀπὸ τούτων. θυσίας πλησίον ἐν ἱερῷ γινομένης, εἰσελθὼν κύων ἥρπασε κρέας τῦ θύματος, καὶ ἤνεγκεν ἐν τούτῳ τῷ τόπῳ· καὶ ἐκεῖ ἐκλίθη τις νεὼς, καὶ ἐκλήθη Κιωσαργες, οἷον Κιωσάρκες, ἀπὸ τῦ σαρκῶν ὡς τῦ κυνός. ὕστερον δὲ τῦ κάπα ἐξελθόντος, εἰσῆλθε τὸ γάμμα· διὸ καὶ κιωσάργες καλεῖται.

ΠΕΡΙ ΤΩΝ ΚΥΝΩΝ.

ΤΑς Μούσας ὁ Ζεὺς ἐκ Μνημοσύνης γενέσθαι λέγεται, ἐννέα νύκτας συγκαθεύδων αὐτῇ ἐν Πιερίᾳ· αἱ γενηθεῖσαι μὲν ἐν Πιερίᾳ, ἀπὸ τὸν Ἑλικῶνα χορεύουσι, καὶ τὰ αὐτῶν πατρὸς γεραίρουσιν. ὁ Ζεὺς δὲ αὐτὰς ἐγέννησεν· ἐπειδὴ καὶ τῶν παιδευμάτων ἐπιστήμης ἐγένετο, ἃ δὴ καὶ ἐν μελέτης καὶ κατοχῆς ἀναλαμβάνεσθαι πέφυκε, καὶ ὡς ἀναγκαιότατα ῥὸς τὸ ζῆν εὖ ὄντα. καλοῦνται δὲ Μοῦσαι, ἀπὸ τοῦ μώσεως, ὅ ἐστι ζητήσεως, ἀπὸ τὸ ἐπὶ πάντων, ἢ τοῦ πλειόνων, ζητεῖσθαι· ἢ ἀπὸ τὸ ἐπὶ πολλῶν ζητεῖν, καὶ πολυῥαγμονεῖν, καὶ πάντα ἀνιχνεύειν τῇ ἐαυτῶν ἀγχινοίᾳ. ἐννέα δ' εἰσὶ, διὰ τὸ τετραγώνους, ὡς φησί τις, καὶ ἐπὶ τοὺς ῥοσήκοντας αὐταῖς ἀποτελεῖν· τοιοῦτος γάρ ἐστιν ὁ τῶν ἐννέα ἀριθμὸς, συνισάμενος τοῦ τὸ ἐφ' ἑαυτὸν γενέσθαι, καὶ τὸ τοῦ ῥώτα ἀπὸ τοῦ τελειότητος κατά τινας μετέχειν δοκοῦν ἀριθμοῦ· ἢ ὅτι τετράγωνος καὶ στερεὸς ὁ ἔννατός ἐστιν ἀριθμὸς, τοιοῦτοι δὲ καὶ αἱ γνώσεις, διότι ὁ ἐννέα, πολλάκις πολλά ἐστιν· ὁ γὰρ ἀριθμὸς, ἀρχὴ πλήθους· ὁ δὲ ἐννέα τρὶς τρεῖς, ἤγουν πολλάκις πολλά· καὶ ἡ καθόλου γνῶσις μονοειδής ἐστι, καὶ ἁπλῆ· ἀλλ' ἐν ταῖς καὶ μέρος πεσιγνώσεσίτε καὶ ἐφευρέσεσιν, εἰς ἄπει-

ρον

γον παρεκτείνεται· αἱ γὰρ ὑπ' ἀνθρώποις γνώσεις, ἀμυδραί τε καὶ μετεικάσται, οὐκ ὄντα πρὸς τὸν θεῶν, ἐνιαί τε καὶ ὁλόκληρος. γίνονται δὲ αἱ παρ' ἡμῖν αὗται γνώσεις αἱ Μοῦσαι, ὑπὸ τῆς Πιερίας, τοῦ τοῦ Διὸς, ἤγουν τοῦ νοὸς, οἰκητηρίου, τοῦ ὄρους τὸ κεφαλλὸν ἡμῶν τόπου· ἔνθα τὰ πόνα καὶ πιμελῆ, καὶ ἀγχινόστατα ῥέουσι, τοῦ Διὸς ἐννέα νύκτας μιγέντος τῇ Μνημοσύνῃ· τυπέσι τοῦ νοὸς πολλάκις ἀναπολήσαντος, καὶ μνημονεύσαντος, ἃ ἀνέγνωκε. γενηθεῖσαι δ' αἱ γνώσεις ὑπὸ τῇ τοιαύτῃ Πιερίᾳ, ὑπὸ τῷ Ἑλικῶνι χορεύουσι, τὸν αὐτῶν πατέρα Δία ὑμνοῦσαι· τυπέσιν ἐγγραφεῖσαι ταῖς βίβλοις, ἑλίσσονται, καὶ φερόμεναι πανταχοῦ, δίκλων χορείας, κηρύττουσι τὸν αὐτὰς γυμνασάμενον νοῦν. ὅπου τὸ τοῦ νοὸς οἰκητήριον, Πιερίαν δύναταί τις καλεῖν· τὰς δὲ βίβλους, Ἑλικῶνα, ὑφ' αἷς φερόμεναι χορεύουσιν αἱ Μοῦσαι, γνώσεις καὶ τὰ συγγράμματα. ἀλλ' Εὐμήλῳ μὲν ὁ Κορίνθιος τρεῖς φησιν εἶναι τὰς Μούσας, καὶ θυγατέρας Ἀπόλλωνος, Κηφισὼ, Ἀπολλωνίδα, Βαρυθενίδα. Ἄρατος δὲ ὁ ἐν τῇ πέμπτῃ τῶν Ἀστρικῶν, τέσσαρας λέγει, Διὸς τοῦ αἰθέρος, καὶ Γλαυκίας νύμφης· Ἀρχὴν, Μελέτην, Θελξινόην, καὶ Ἀοιδήν. τινὲς δὲ καὶ δύο μόνον εἶναι φασίν. Ἐπιχαρμος δὲ ὁ ἐν τῷ τοῦ Ἥβης γάμῳ, ἑπτὰ λέγει, θυγατέρας Πιέρου καὶ Πιμπληΐδος νύμφης· Νεμνὼ, Τελετώην, Ἀσωπὼ, Ἑπταπόλιν, Ἀχελωΐδα, Τιπόπλουν, καὶ Ῥοδίαν· καὶ τρεῖς μὲν λέγονται, διὰ τὸ προσεπιμίγνυσθαι τοῦ τελάδος πλειότητα· ἢ διὰ τὸ τέλη γένη σκευμάτων εἶναι, δι' ὧν ὁ περὶ φιλοσοφίαν λόγος συμπληροῦται· τέσσαρες δὲ καὶ ἑπτὰ, τάχα διὰ τὰ παλαιὰ τῶν μουσικῶν ὀργάνων τοσούτους φθόγγους ἐχρῆναι· δύο δὲ, ἀπὸ τοῦ θεωρεῖν τε καὶ πράττειν τὰ δέοντα, καὶ ὧν ὄντι τούτοις σωφρονεῖν τὸ πεπαιδεῦσθαι. τινὲς δὲ τὰς Μούσας πέντε φασὶν εἶναι, καὶ ὀνόματα ἔχειν τὰ πέντε αἰσθήσεων. ὑπὲρ δὲ Ἡσιόδου καὶ τοῖς πλείοσιν, ἐννέα λέγονται εἶναι· Κλειὼ, Θάλεια, Εὐτέρπη, Τερψιχόρη, Ἐρατὼ, Πολύμνια, Μελπομένη, Οὐρανία καὶ Καλλιόπη. τινὲς δὲ ἕτεροι ἰδίως τὰς ἐννέα φασὶ πρώτας Μούσας γεγονέναι Καλλιχόρην, Εὐτέρπην, Εὐκελάδην, Δῖαν, Ἐνόπην, Ἑλίκην, Εὐνίκην, Θελξινόην καὶ Τερψιχόρην, ὧν αἱ μὲν τρεῖς, εὗρον ἰδίως μουσικὰς τρεῖς τόνους· τὸν ὑπάτων, μέσον καὶ ἰσχνόν· τὰς τρεῖς προσῳδίας, ὀξεῖαν, βαρεῖαν, καὶ περισπωμένην· τοὺς τρεῖς χρόνους, ἐνεστῶτα, παρεληλυθότα, καὶ μέλλοντα· καὶ τὰ τρία πρόσωπα, πρῶτον, δεύτερον, τρίτον· καὶ τοὺς τρεῖς ἀριθμούς· καὶ τὸ τρίγωνον τῶν ἀστέρων, καὶ πολλὰ τοιοῦτα, ὅσα ὑπὸ τὰ τρία ἀνάγονται. αἱ δὲ τέσσαρες, τὰς τέσσαρας διὰ-

διαλέκτυς, Ἰάδα, Ἀτθίδα, Δωρίδα, Αἰολίδα, ἐπολλὰ τῶν ὑπὸ τὰ πέντε. αἱ δὲ πέντε, τὰς πέντε εὗρον αἰσθήσεις, ἐ ὅμοια ἄλλα πλεῖστα. αἱ δέ γε ἑπτὰ, τὴ ἑπτάχορδον λύραν, ἐ τὰς ἑπτὰ ζώνας, ἢ τὰς ἑπτὰ ἀστέρας, ἐ τὰ ἑπτὰ φωνήεντα, ἐ τὰ ὅμοια. αἱ δ' ἐννέα εὗρον, Κλειὼ, ἱστορίαν· Θάλεια, φυτουργίαν· Εὐτέρπη, αὐλούς· Μελπομένη, ᾠδήν· Τερψιχόρη, χορείαν· Ἐρατὼ, γαμικὰ καὶ ὄρχησιν· Πολύμνια, γεωργίαν· Οὐρανία, ἀστρολογίαν· Καλλιόπη, ποίησιν· ὅθεν ἐ διὰ τὰς τοιαύτας εὑρέσεις, θεὰς αὐτὰς ἐμυθεύσαντο· ἐ νῦν δὲ πᾶς ἀνὴρ ἢ πᾶσα γυνὴ, ζητητικοί τινων ἢ ἐφευρετικοὶ, μυστικοὶ καὶ μῦσαι λεχθήσονται· ὥσπερ ἐ πᾶς τέχνης μυστικῆς ἐπιμελούμενος. ἢ γὰ τῷ φιλοέργῳ ἐκείνῳ Διονύσῳ Ὀσίριδι συνεπόντο τὴ γεωργίαν διδάσκοντι, αὐλητρίδες ἐννέα μυστικὸν ᾄδουσαι, ἅπερ Μύσας ἐκάλουν. πολλὰς μὲν ἂν πολλοὶ ἢ διαφόρους ἔφασαν εἶ) τὰς Μύσας, τοῖς ἔργοις ἢ τοῖς ὀνόμασι· ἐ ὡς μὲν τῶν λοιπῶν Μυτῶν ὑπὲρ φασὶν, ἴσθι γυναῖκας ταύτας εὑρετικὰς γενέσθ τεχνῶν, ἐ βιωφελεστάτων τινῶν· καὶ διὰ τοῦτο Μύσας κληθῆναι, ἀπὸ τοῦ ὡς ἀληθῶς μύσης, τ γνώσεως· ὅθεν ἢ μυρίας μύσας ἄν τις καλέσειε, ἢ ὁ μόνας ὅσας ἐκεῖνοι, εἴπερ εὑρίσκειν τινὰς εὑρετίδας βιωφελῶν τινων ἢ τεχνῶν. αἱ δὲ παρ' Ἡσιόδῳ ἐννέα λεγόμεναι, σύνεισι ἢ συγχορεύουσιν ἀλλήλαις, ὡρὸς ἀφίασιν τοῦ τὰς ἀρετὰς ἀχωρίστως αὐτῶν ἐ ἀδιαζεύκτως εἶ). ὡς τὰς τῶν θεῶν δὲ ὕμνους ἢ τ θεραπείαν καταχολοῦνται μάλιστα, ἐπειδὴ στοιχεῖον ἢ ἀρχὴ παιδείας ὀρθὴ τὸ ἀφορᾶν ὡρὸς τὸ θεῖον· ἐ τοῦτο ὑπόδειγμα τοῦ βίου ποιησαμένους, ἀνὰ στόμα ἔχειν δεῖ. συγχορεύει δὲ αὐταῖς ἢ ὁ Ἀπόλλων, διὰ τ κοινωνίαν τ μυστικῆς· ὃν δὲ τοῖς ὄρεσι φασὶ θηρεύειν, ἐπειδὴ ἐ χρείαν ἔχωσι τοῦ μεμονωμένως ἢ σωφρόνως εἰς τ ἠρεμίαν ἀναχωρεῖν οἱ φιλοσοφοῦντες, ἧς χωρὶς οὐδὲν σεμνὸν εὑρίσκεται, ἢ τ τὸν Κωμικόν. τοῦτο δ' ἕνεκε, ἐ ἐννέα λέγεται νύκτας ὁ Ζεὺς συγγενόμενος τῇ Μνημοσύνῃ γεννῆσαι αὐτάς· ἐ γὰ τ ὀρθὴ νυκτὶ ζητήσεως δεῖ ὡρὸς τὰ ἢ παιδείαν· εὐφρόνιοι γὰ οἱ ποιηταὶ ὁ δι' ἄλλο τι τ νύκτα ἐκάλεσαν, ἢ διὰ τὸ εὖ φρονεῖν ὀρθὴν αὐτῇ, ὡς ἐ Ἐπίχαρμος· εἴτε τὶ, φησὶ, ζητεῖς σοφὸν, τ νυκτὸς ἐνθυμητέον· ἢ πάντα τὰ σπουδαῖα νυκτὶ μᾶλλον εὑρίσκεται. τινὲς δ' Οὐρανοῦ καὶ Γῆς ἔφασαν αὐτὰς φῦναι, ὡς ἀρχαιότατα ἡγεμόνας τ ὡρὸς τούτων λόγον δεόντως· ἐ θήλειαι δὲ παρήχθησαν, τῷ τὰς ἀρετὰς ἢ τ παιδείαν, θηλυκὰ ὀνόματα ὀρθὴ τύχης ἔχειν· ὡρὸς σύμβολον

τοῦτο

τῦτο ἑδραιότατον, τῦ τ πολυμάθειαν ωδειγίνεωζ. ἔστι δ' ἀπ' ἦν χ διὰ τὸ γόνιμον, ὁ ψυχῆς διαγνῶσεν γίνεται. σεφανῦνται ὑ φοίνικι, ὡς μύ τινες νομίζυσι, διὰ τ ὁμωνυμίαν, ἀπὸ τῦ Φοινίκων δοκεῖν εὑρῆμα εἰ τὰ γράμματα· ὡς δ' εὐλογώτερόν ὅτι, διὰ τὸ τιμιώτερον, ὁ εὐεργέτ, ὁ ἀνίζων, χ δυσανάβατον, χ γλυκύκαρπον τὸ φυτῦ. καὶ Κλειὼ μὺ ἡ μία αὐτῶν ἐπονομάζεται, ἀπὸ τῦ κλέος τυγχάνειν τὺς πεπαιδευμύς, ὁ τὺς ἑπόμυς κλεΐζειν· Εὐτέρπεια ὑ, ἀπὸ τῦ τὰς ὁμιλίας αὐτῶν ἀπερπεῖς ὁ εὐαγώγυς εἰ· Θάλεια δὲ, ἤτοι διὰ τὸ θάλλειν τ βίον αὐτῶν, ἢ διὰ τὸ ἔχειν αὐτὺς χ τ συμποτικὸν ἀρετὴν, ἐπαξίως χ ἐμμύσως ἀνατρεφομύς ἐν ταῖς θαλείαις. Μελπομύη ὑ, ἀπὸ τῆς μολτῆς ὁ τ γλυκείας φωνῆς μ μέλυς ὄσης· μέλπονται γὸ οἱ ἀγαθοὶ ἀπὸ πάντων, χ μέλπυσι ὁ αὐτοὶ τὺς θεύς, ὁ τὺς ωρὸ αὐτῶν γεγονότας· Τερψιχόρη δὲ, διὰ τὸ πρωτεωζ ὁ χαίρειν αὐτῇ τὸ πλεῖσον μέρος τῦ βίυ· ἢ ὁ διὰ τὸ ἀπὸ τῦ ὁρᾶωζ παιέχειν τέρψιν τοῖς ωροσπελάζυσιν αὐτῇ, ἑνὸς σοιχείυ πλεονάζοντος ἐν τῷ ὀνόματι. τάχα δὲ ἐπεὶ ὁ χόρυς ἔσησαν οἱ παλαιοὶ τοῖς θεοῖς, σωσπθέντων αὐτοῖς τὰς ᾠδὰς τῶ σοφωτέρων. ἡ δ' Ἔρατὼ, πόθεν ἀπὸ τῦ ἔρωτος λαβῦσα τ ὀνομασίαν, τὴν ωδικὴ πᾶν εἶδος Φιλοσοφίαν παείσησιν· ἢ τ ωδικὴ τὸ ἐρέωζ χαὶ ἀποκρίνεωζ διωάμεως ἐπίσημός ὅσιν, ὡς διαλεκτικῶν ὄντων χαὶ τῶ ωσυδαίων, Πολύμνια δέ ὅσιν, ἡ πολυύμνητος ἀρετή· ἢ μᾶλλον, ἡ πολλὰς ὑμνῦσα, ὁ ὅσα ωδικὴ τῶ ωρογενεσέρων ὑμνῆται παρειληφῦια, ὁ τ ἔκ τε τῶ ωοιημάτων χ τῶ ἄλλων συγγραμμάτων ἱσορίας ἐπιμελυμύη. Οὐρανία δέ ὅσιν, ἡ ωδικὴ τὰ ὑράνια ὁ τ τῶ ὅλων φύσιν ἐπιστήμη· τὸν γὸ ὅλον κόσμον, ὑρανὸν ἐκάλυν οἱ ωαλαιοί· Καλλιόπη δὲ, ἡ καλλίφωνος ὁ καλλιεπὴς ῥητορικὴ, δι' ἧς πολιτύονται, ὁ δήμοις ωροσφωνῦσιν ἄγοντες πειθοῖ, χαὶ ὑ βίᾳ ἐφ' ὅ, τι ἂν ωροαιρῶνται· δι' ἣν αἰτίαν τάυτην μάλισά φασι

—— Βασιλεῦσιν ἅμ' ἀιδοίοισιν ὀπηδεῖν.

ἀποδέδοται δὲ αὐτῇ ποικίλα ἔργα ἐμφαίνυσα ἑκάσυ, ὅτι ἥρμοσται, χ σύμφωνος αὐτῷ αὐτὸς ὁ ὁμολογούμως ὁ τῶ ἀγαθῶν βίος ὅσι.

ΠΕΡΙ ΤΩΝ ΕΝ ΕΛΕΥΣΙΝΙ ΤΗΣ ΑΤΤΙΚΗΣ ΜΥΣΤΗΡΙΩΝ.

Μυσήρια δύο ἐπελεῖτο ἐν Ἐλευσῖνι τ' Ἀττικῆς, τῦ ἐνιαυτῦ, μεγάλα τε ὁ μικρά· χ ἦν τὰ μικρὰ, ὥσπερ ωροκάθαρ-

σις

σις δὲ προάγνευσις τῶν μεγάλων. μὴ ὄντων δ' πρότερον μικρῶν, ἐλθόντος Ἡρακλέους, καὶ θέλοντος μυηθῆναι, ἐπειδὴ νόμῳ ἦν Ἀθηναίοις μηδένα ξένον μυεῖν, αἰδεσθέντες τ αὐτῶ ἀρετὴν, καὶ ὅτι φίλος τε ἦν πόλεως, δὲ υἱὸς τῶ Διὸς, ἐποίησαν μικρὰ μυστήρια, ἐν οἷς αὐτὸν ἐμύησαν. ἦσαν δὲ τὰ μὲν μεγάλα, τ Δήμητρος, τὰ δ' μικρὰ, Περσεφόνης, τ αὐτῆς θυγατρὸς, τ καὶ Κόρης λεγομένης. ὁ δ' μυούμενος τὸ ἱμάτιον ὃ ἐφόρει ἐν τῇ μυήσει, ἀδέποτε ἀπεδύετο, μέχρις ἂν τελέως ἀφανισθῇ διαρρυέν. Ἀεισοράνης· μῶν ἔν ἐμυήθης; παίζει ὁ ποιητὴς πρὸς τὸν Ἐλευσίνιον νόμον· ἔθος γὰρ ἦν, ὡς ἔφιν, ἐν οἷς τις ἱματίοις μυηθείη εἰς θεῶ τινος, τοῦτα ἀναθέναι. ὥσπερ δηλοῖ καὶ Μελάνθιος ἐν τῷ περὶ Μυσηείων, πάτριόν ὄστι ταῖς θεαῖς ἀνιερῶν, δ τὰς στολὰς τοῖς μύσαις ἐν οἷς τύχοιεν μυηθέντες.

ΠΕΡΙ ΤΩΝ ΜΥΡΜΙΔΟΝΩΝ.

Αἴγινα, νῆσός ὄστι πρὸ τ Ἐπιδαυρίας ἐνδοξοτάτη, κύκλον σταδίων ρπ', κλυζομένη τῷ τε Κρητικῷ πελάγει δὲ τῷ Μυρτῴῳ, τῷ μεταξὺ Κρήτης καὶ Ἀργείας καὶ Ἀττικῆς· ἐν βάθει μὲν γεώδης, ἐπιπολῆς δὲ πετρώδης, διὸ καὶ ὑψηλή ὄστι, κειθοφόρος δὲ ἱκανῶς· Οἰνώνη ποτὲ ὀνομαζομένη· ἐξ αὐτῆς ἦν ὁ Αἰακός. οἱ δ' ἐν αὐτῇ πρῶτοι Μυρμιδόνες ἐκλήθησαν, ὑχ ὅτι, τ μῦθον, λοιμῶ τῇ νήσῳ συμπεσόντος, καὶ τῶν ἐκεῖ ἐκτειβέντων τῇ νόσῳ, οἱ μύρμηκες ἄνθρωποι ἐγένοντο, Αἰακῶ εὐξαμένῳ, ἀλλ' ὅτι μυρμήκων δίκλω, τλῳ ἀγαθῷ γῆν κάτω ὅταν σπορύττοντες ἐπέφερον ταῖς πέτραις, ἵνα τ μὴ ἔχωσι γεωργεῖν, ἐν δ' τοῖς ὀρύγμασι κατοικεῖν, φειδόμενοι τῶ πλινθοποιεῖν, ἵνα ἔχωσι γῆν. Δωρικῆς δὲ ἀνέκαθεν οἱ Αἰγινῆται, ἀπὸ Ἐπιδάυρου, καὶ τ Ἡρόδοτον.

Καὶ ἄλλως· Μυρμιδόνες πόθεν μυθικῶς λέγονται, πᾶσι δῆλον. οἱ δ' τ μῦθον θεραπεύοντες ἰσοεικῶς, γεωρύχους τὸς Αἰγινήτας φασὶ, κοιλαίνοντας τ γῆν δίκλω σπηλαίων, καὶ ὑπὸ μὲν τὰς καταδύσεις οἰκοῦντας· τὸ δὲ ἀναβαλλόμενον χῶμα εἰς εὔχρηστον καρποῖς γῆν διαπεταννύοντας, διὰ τὸ τ νῆσον τὰ μὲν ἄνω τραχεῖαν εἶ, ἀγαθὴν δ' τὰ ἔνερθεν. διὰ τοῦτο τοίνυν τὸς τοῦτα ποιοῦντας μύρμηξιν εἰκάζοντες οἱ ἰδόντες, διὰ τὸ τ διαίτης, ὡς εἰπεῖν, μυρμηκόβιον, Μυρμιδόνας ἐπεκάλυν αὐτούς. ἐκεῖθεν δὲ ὕστερον τῷ Αἰακῷ συμμετοικισθέντες τινὲς εἰς Φθίαν σωσαπήγαγον ἑαυτοῖς καὶ τ κλῆσιν· καὶ τὸς μὲν πατρίους νησιώτας Αἰγι-

νήτας ἀφῆκαν καλεῖσθαι· τὰς δὲ Φθιώτας ἐξ αὐτῶν εἰς Μυρμιδόνας μετέθεντο· ὡς ὕστερον μὲν ταῦτα. ἔπειτα δ' ἀγαθὸν εἶναι τὸν Αἰακὸν ἱστοροῦσι, καὶ εἰς τὸ ἄρχειν, φασὶν ἀπὸ πολλῆς ὅτι μάλιστα λεωσανδρείας τὸ ὑπ' αὐτῶν γένος εἰς πολυανθρωπίαν ἐπαυξηθῆναι, κἀντεῦθεν διαδοθῆναι τὸν μῦθον, ὡς ὅτιπερ οἱ κατὰ χώρας μύρμηκες ἄνδρες τῷ Αἰακῷ ἐγένοντο κατ' ὀνείρων. εἴωθε δ' ἡ παροιμία καὶ ἐπ' ἄλλοις τὸ πολὺ τῆς εὐτυχίας ἀπὸ μυρμήκων λαλεῖν, ὡς ὅτε μυρμηκίαν φησὶν ἀγαθῶν. σωπεῖ δέ τι ἐντεῦθα ὁ Θεόκριτος εἰπών, μύρμηκες ἀριθμοί, ἐπὶ πολυπληθείας λαοῦ.

ΠΕΡΙ ΜΥΡΡΑΣ.

Μύρρα Θείαντος θυγάτηρ ἐγένετο· αὕτη ἐρασθεῖσα τοῦ πατρὸς, καὶ λάθρα μιγεῖσα αὐτῷ, ὡς ἔγκυος γενομένη, αἰσθομένου τοῦτο τοῦ πατρὸς, ἠύξατο τοῖς Θεοῖς εἰς ἑτέραν φύσιν μεταλλαγῆναι· ὅθεν καὶ εἰς δένδρον αὐτὴν μετέβαλλον, τὸ ἀπ' αὐτῆς λεγόμενον μύρραν, ἤτοι σμύρναν Αἰολικῶς· μὴ γὰρ οἱ μωροὶ, ἢ σὺ τὴν μύρραν μυείνην, ἤτοι μυρσίνην νοήσῃς· ὅτι ὁ Αἰσχοφάνης παίζων λέγει. αὐτῆς τοίνυν ὅτι μεταβληθείσης εἰς μύρραν ἐφεστῶτος τοῦ χρόνου τοῦ τόκετοῦ διαῤῥαγέντος τοῦ φλοιοῦ, ἀπεκύησε τὸν Ἄδωνιν· ὃν ἰδοῦσα ἡ Ἀφροδίτη ἐφίλησε, καὶ ἀνδρωθέντος ἐρασθὴν ἔσχηκεν.

ΙΣΤΟΡΙΚΟΙ.

ΠΕΡΙ ΜΑΡΣΥΟΥ ΤΟΥ ΙΣΤΟΡΙΚΟΥ.

Μάρσυας Περιάνδρου Πελλαῖος ἱστορικός· ὅτος πρότερον γραμματοδιδάσκαλος ἦν, καὶ ἀδελφὸς Ἀντιγόνου τοῦ μετὰ ταῦτα βασιλεύσαντος, σύντροφος δὲ Ἀλεξάνδρου τοῦ Μακεδόνων βασιλέως. ἔγραψε Μακεδονικὰ ἐν βιβλίοις δέκα· ἤρξατο δὲ ἀπὸ τοῦ πρώτου βασιλεύσαντος Μακεδόνων, καὶ μέχρι τοῦ Ἀλεξάνδρου τοῦ Φιλίππου· ἐπὶ τὴν Συρίαν ἐφόδου, μετὰ τὸν Ἀλεξανδρείας κτίσιν· Ἀττικὰ, ἐν βιβλίοις ιβ'· καὶ αὐτοῦ Ἀλεξάνδρου διαγωγήν. εἰσὶ δὲ καὶ ἄλλοι δύο ἱστορικοὶ· ὁ μὲν, Κειτοφήμου Φιλιππεὺς ὁ νεώτερος· ὁ δὲ, Μάρσου Ταβηνός· ὃς καὶ ἀρχαιολογίαν ἔγραψεν ἐν βιβλίοις ις'· μυθικὰ, ἐν βιβλίοις ζ'· καὶ ἕτερά τινα περὶ τὰ ἰδίας πατρίδος.

ΠΕΡΙ ΜΑΝΑΙΧΜΟΥ.

ΜΆναιχμος Σικυώνιος, υἱὸς Ἀλκιβίᾳ, ἢ Ἀλκιβιάδᾳ, ἱστορικός· γέγονεν ἐπὶ τῶν Διαδόχων· ἔγραψεν ἱστορίαν τὴν τοῦ Μακεδόνα Ἀλέξανδρον.

ΠΕΡΙ ΜΕΝΆΝΔΡΟΥ.

ΜΈνανδρος Προκτίκτωρ ἱστορικός· ἔγραψε τὰ μετὰ τὸν ἀποβίωσιν τοῦ Ἀγαθίᾳ· ἦτοι διάδοχος τῆς ἐκείνᾳ ἱστορίας.

ΠΕΡΙ ΜΑΡΚΈΛΛΟΥ ΤΟΥ ΙΑΤΡΟΥ.

ΜΆρκελλος Σιδήτης, ἰατρὸς ἐπὶ Μάρκῳ Ἀντωνίνῳ. οὗτος ἔγραψε διὰ ἐπῶν ἡρωϊκῶν βιβλία ἰατρικὰ δύο πρὸς τοῖς πεσσαράκοντα· ὧν οἷς καὶ πρὸ Λυκάνᾳ.

ΠΕΡΙ ΜΕΝΕΚΡΆΤΟΥΣ.

ΜΕνεκράτης Συρακόσιος ἰατρός. οὗτος μὲν μισθὸν ὑδένα ἐκομίζετο τῆς θεραπείας· ἐθεράπευε γὰρ τὴν ἱερὰν νόσον, δόλως δὲ αὐτὸν ὁμολογεῖν τοὺς θεραπευομένους ἀπήτει· ἐκ Διὸς ἐωτὸν ἐκάλει, θεοὺς δὲ τοὺς ἰαθέντας ὑπ' αὐτοῦ, τιθεὶς ἑκάστῳ προστηγορίαν, τῷ μὲν, Ἑρμοῦ· τῷ δὲ, Ἀπόλλωνος.

ΠΕΡΙ ΜΈΤΩΝΟΣ.

ΜΈτων ἰατρὸς ἄριστος, καὶ μαθηματικὸς, ἀστρονόμος· τοῦτόν ἐστιν ὁ λεγόμενος Μέτωνος ἐνιαυτός.

ΠΕΡΙ ΜΑΝΑΙΧΜΟΥ ΤΟΥ ΦΙΛΟΣΌΦΟΥ.

ΜΆναιχμος Ἀλωπεκοννήσιος, φιλόσοφος Πλατωνικός· ἔγραψε φιλόσοφα· καὶ εἰς τὰ Πλάτωνος πολιτείᾳ βιβλία ἰδία.

ΠΕΡΙ ΜΑΞΊΜΟΥ ΤΟΥ ΤΥΡΙΟΥ.

ΜΆξιμος Τύριος, φιλόσοφος· διέτριψεν ἐν Ῥώμῃ ἐπὶ Κομόδου· ἔγραψε πολλοὺς φιλοσοφικοὺς λόγους, ὧν πρῶτος, τίς ὁ θεὸς καὶ Πλάτωνα· περὶ Ὁμήρου, ἐκ τίς ἡ παρ' αὐτῷ ἀρχαία φιλοσοφία· εἰ καλῶς Σωκράτης ὑκ ἀπελογήσατο· καὶ ἄλλα τινὰ φιλόσοφα ζητήματα.

ΠΕΡΙ ΜΑΞΙΜΟΥ ΤΟΥ ΗΠΕΙΡΩΤΟΥ.

ΜΑ΄ξιμος Ἠπειρώτης, ἢ Βυζάντιος φιλόσοφος, διδάσκαλος Ἰουλιανοῦ Καίσαρος τοῦ Παραβάτου· ἔγραψε περὶ ἀλύτων ἀντιθέσεων· περὶ καταρχῶν· περὶ ἀριθμῶν· ὑπόμνημα εἰς Ἀριστοτέλη· καὶ ἄλλα τινὰ πρὸς τὸν αὐτὸν Ἰουλιανόν.

ΠΕΡΙ ΜΑΡΙΝΟΥ ΤΟΥ ΝΕΑΠΟΛΙΤΟΥ.

ΜΑρῖνος Νεαπολίτης φιλόσοφος καὶ ῥήτωρ, μαθητὴς Πρόκλου τοῦ φιλοσόφου καὶ διάδοχος· ἔγραψε βίον Πρόκλου τοῦ αὐτοῦ διδασκάλου· καὶ καταλογάδην καὶ ἐπικῶς, καὶ ἄλλα τινὰ φιλοσόφων ζητήματα.

ΠΕΡΙ ΜΟΥΣΩΝΙΟΥ ΚΑΠΙΤΩΝΟΣ.

ΜΟυσώνιος, Καπίτωνος Τυρρηνὸς, πόλεως Βρασινίου, διαλεκτικὸς φιλόσοφος καὶ Στωϊκός· γεγονὼς ἐπὶ Νέρωνος· γνώριμος Ἀπολλωνίου τοῦ Τυανέως.

ΠΕΡΙ ΜΥΡΟΥΣ ΤΗΣ ΦΙΛΟΣΟΦΟΥ.

ΜΥρὼ, Ῥοδία φιλόσοφος· ἔγραψε χρείας γυναικῶν Σασυλλίδων καὶ μύθους· νόμους μαιῶν καὶ διαταγὰς αὐτῶν· ἐπῳδάς τε καὶ ἰατρείας ἐνεπνεύσας ταῖς λεχοῖς· καὶ μητρικῶν στρόφων θεραπείας.

ΡΗΤΟΡΕΣ.

ΠΕΡΙ ΜΑΙΩΡΟΣ ΤΟΥ ΡΗΤΟΡΟΣ.

ΜΑΐωρ Ἀραβιος σοφιστής· ἔγραψε περὶ στάσεων βιβλία ΙΓ'· συνεχρόνισε Ἀψίνῃ καὶ Νικαγόρᾳ ἐπὶ Φιλίππου τοῦ Καίσαρος καὶ ἐπάνω.

ΠΕΡΙ ΜΑΛΧΟΥ ΤΟΥ ΒΥΖΑΝΤΙΟΥ.

ΜΑ΄λχος Βυζάντιος σοφιστής· ἔγραψεν ἱστορίαν ἀπὸ τῆς Σασιλείας Κωνσταντίνου ἕως Ἀναστασίου· ἐν ᾗ τὰ κατὰ Ζήνωνα καὶ Βασιλίσκον, καὶ τὸν ἐμφορηματὸν τῆς δημοσίας βιβλιοθήκης, καὶ τῶν ἀγαλμάτων τοῦ Αὐγουσταίου, καὶ ἄλλα τινὰ διεξέρχεται μάλα σεμνῶς, καὶ τραγῳδίας δίκην ἀποθρηνῶν αὐτά.

ΠΕ-

ΠΕΡΙ ΜΑΡΚΕΛΛΟΥ.

ΜΑρκελλος, Περγαμηνὸς ῥήτωρ, ἔγραψε βιβλίον, Ἀδριανὸς, ἢ περὶ βασιλείας.

ΠΕΡΙ ΜΑΡΨΙΟΥ.

ΜΑρψίας, ὄνομα κύριον· ῥήτωρ φλύαρος καὶ θορυβώδης. Ἀριστοφάνης· πρὸς τάδε τίς ἀντερεῖ Μαρψίας;

ΠΕΡΙ ΜΕΛΗΣΕΡΜΟΥ.

ΜΕλήσερμος Ἀθηναῖος σοφιστής· ἔγραψεν ἐπιστολῶν ἑταιρικῶν βιβλία ιδ· καὶ ἀχροικικῶν ἕν· μαγειρικῶν ἐπιστολῶν ἕν· συμποσιακῶν βιβλίον ἕν.

ΠΕΡΙ ΜΕΛΙΤΟΥ.

ΜΕλιτος Λάρυσ· Ἀθηναῖος ῥήτωρ· οὗτος ἐγράψατο Σωκράτην μετὰ Ἄνυτον. πεποίηται δὲ αὐτῷ καὶ τραγῳδίαι· καταλιθώθη ὑπὸ τῶν Ἀθηναίων. ἔγραψε περὶ τοῦ ὄντος. ἦν ἐπὶ Ζήνωνος καὶ Κλεάνθους καὶ Σοφοκλέους.

ΠΕΡΙ ΜΕΝΑΝΔΡΟΥ.

ΜΕνανδρος Λαοδικεὺς, τῆς πρὸς Λύκῳ τῷ ποταμῷ, σοφιστής· ἔγραψεν ὑπόμνημα εἰς τὴ Ἑρμογένους τέχνην, καὶ Μινουκιανοῦ προγυμνάσματα, καὶ ἄλλα.

ΠΕΡΙ ΜΗΤΡΟΦΑΝΟΥΣ.

ΜΗτροφάνης· Εὐκαρπίας τῆς Φρυγίας σοφιστής· ἔγραψε περὶ τῆς Φρυγίας αὐτῆς βιβλία δύο· περὶ ἰδεῶν λόγων· περὶ στάσεων· εἰς τὴ Ἑρμογένους τέχνην ὑπόμνημα· εἰς τὴ Ἀριστείδου ὑπόμνημα. καὶ ἕτερος Μητροφάνης Κορνηλιανοῦ ῥήτορος Λεβαδεύς· πόλις δὲ Βοιωτίας, ἡ Λεβάδεια· σοφιστής. περὶ τῶν χαρακτήρων Πλάτωνος ἔγραψε πάνυ καλῶς, Ξενοφῶντός τε καὶ Νικοστράτου· μελέτας· λόγους παιγνιώδεις, καὶ ἄλλα.

ΠΕΡΙ ΜΙΝΟΥΚΙΑΝΟΥ.

ΜΙνουκιανὸς, Νικαγόρου τοῦ σοφιστοῦ, Ἀθηναῖος σοφιστής· γενόμενος ἐπὶ Γαλλιηνοῦ· ἔγραψε τέχνην ῥητορικὴν, καὶ προγυμνάσματα, καὶ λόγους διαφόρους.

ΠΟΙΗ-

ΠΟΙΗΤΑΊ.

ΠΕΡΙ ΜΑΤΝΗΤΟΣ ΤΟΥ ΚΩΜΙΚΟΥ.

ΜΆγνης Ἰκαείᾳ πόλεως· ἀρχαίας κωμῳδίας ποιητής. ἐδίδαξε κωμῳδίας ἐννέα· νίκας ἓξ ἔλε β'. ἔγραψε καὶ Λυδούς, καὶ Ψῆνας, ἐν Κατράχυς. ποικίλας δ' ἐμιμεῖτο φωνὰς ὕτος· ὁμοίως καὶ γαλεομυομαχίαν.

ΠΕΡΙ ΜΕΛΑΝΙΠΠΙΔΟΥ.

ΜΕλανιππίδης, Κείτωνος, γεγονὼς κατὰ τὸ ξέ' Ὀλυμπιάδα· Μήλιος· ἔγραψε διθυράμβων βιβλία πλείονα, καὶ ποιήματα ἐπικά· ἐν ἐπιγράμματα, καὶ ἐλεγεῖα, ἐν ἄλλα πλείονα. καὶ ἕτερος Μελανιππίδης, θυγατειδοῦς τούτου· παῖς Κείτωνος Λυκίου ἐν αὐτοῦ· ὃς ἐν τῇ τοῦ διθυράμβων μελοποιΐᾳ ἐκαινοτόμησε πλείονα· ἔγραψε ἐν αὐτὸς ᾄσματα λυρικὰ καὶ διθυράμβους.

ΠΕΡΙ ΜΕΝΆΝΔΡΟΥ.

ΜΈνανδρος Ἀθηναῖος κωμικὸς ἀρχαῖος. καὶ ἕτερος Ἀθηναῖος, Διοπείθους καὶ Ἡγησιστράτης· περὶ οὗ πολὺς ὁμοίως πᾶσιν ὁ λόγος. ἔστι δὲ τῆς νέας κωμῳδίας· γραφὸς τὰς ὄψεις, ὀξὺς δὲ τὸ νοῦν· καὶ περὶ γυναῖκας ἐκμανέστατος. γέγραφε κωμῳδίας ρή, καὶ ἐπιστολὰς πρὸς Πτολεμαῖον τὸν βασιλέα, καὶ λόγους ἑπτὰς πλείονας καταλογάδην.

ΠΕΡΙ ΜΕΝΕΛΆΟΥ.

ΜΕνέλαος Αἰγαιεὺς ἐποποιός· ἔγραψε Θηβαΐδα ἐν βιβλίοις ιϛ'· καὶ ἄλλα.

ΠΕΡΙ ΜΕΝΊΠΠΟΥ.

ΜΈνιππος κωμικός· τῶν δραμάτων αὐτοῦ Κέρκωπες· Ἄφεις· καὶ ἄλλα.

ΠΕΡΙ ΜΕΣΕΙΜΉΔΟΥΣ.

ΜΕσειμήδης Κρὴς λυρικὸς ἐπὶ Ἀδεκανοῦ· ἔγραψεν εἰς Ἄντιον ἔπαινον· καὶ ἄλλα διάφορα μέλη.

ΠΕ-

ΠΕΡΙ ΜΕΤΑΓΕΝΟΥΣ.

ΜΕταγένης Ἀθηναῖος δήλυς παῖς κωμικός· τῶν δραμάτων αὐτοῦ ὅδε τυγχάνει· Ἄυρα, μαρμάκυθος, θυεσιοπέρσαι, φιλοθύτης, ὀμέρης, ἢ ἀσκηταί.

ΠΕΡΙ ΜΙΜΕΡΜΝΟΥ.

ΜΙμερμνος Λιγυρτιάδου, Κολοφώνιος, ἢ Σμυρναῖος, ἢ Ἀστυπαλαιεύς, ἐλεγειοποιός· γέγονε δὲ ἐπὶ τῆς ΛΖ' Ὀλυμπιάδος, ὡς προπρέυειν τῶν ἑπτὰ σοφῶν. Ἰωνές δὲ αὐτοῖς συγχρονεῖν λέγουσιν· ἐκαλεῖτο δὲ ὁ Λιγυαστάδης, διὰ τὸ ἐμμελὲς ὁ λιγύ. ἔγραψε βιβλία πολλά.

ΠΕΡΙ ΜΝΗΣΙΜΑΧΟΥ.

ΜΝησίμαχος ποιητὴς τῆς νέας κωμῳδίας. τῶν δραμάτων αὐτοῦ ὅδε· Ἱππότροφος, Βάσεις, Φίλιππος· ὡς Ἀθηναῖος ὢν Δεινοσοφισταῖς.

ΠΕΡΙ ΜΟΡΣΙΜΟΥ.

ΜΟρσιμος Φιλοκλέους τραγικοῦ υἱός, ποιητὴς ψυχρός· ἦν δὲ ὁ ἰατρὸς ὀφθαλμῶν· μικρὸς, ὁ πόψυχρος.

ΠΕΡΙ ΤΟΥ ΜΟΥΣΑΙΟΥ.

ΜΟυσαῖος Ἐλευσίνιος ἐξ Ἀθηνῶν· υἱὸς Ἀντιφήμου τοῦ Εὐφήμου, τοῦ Ἐκφάντου, τοῦ Κερκυῶνος· ὃν καπεπολέμησεν ὁ Θησεὺς ὑπὲρ τῆς Ἑλένης γαμικός· μαθητὴς Ὀρφέως ἐποποιός· μᾶλλον δ' ὑπερβύτερος. ἤκμαζε δὲ κατὰ τὸν β' Κέκροπα· ἔγραψεν ὑποθήκας Εὐμόλπῳ τῷ υἱῷ, καὶ ἄλλα.

Καὶ ἕτερος Θηβαῖος, Θαμύρα υἱὸς τοῦ Φιλάμμωνος, μελοποιός· γεγονὼς πρὸ τῶν Τρωϊκῶν πολλῷ· ἔγραψε μέλη ὁ ἄσματα.

Καὶ ἄλλος Ἐφέσιος ἐποποιὸς τῶν εἰς τοὺς Περγαμηνοὺς καὶ αὐτοὺς κύκλους· ἔγραψε Περσηΐδος βιβλία δέκα καὶ εἰς Εὐμενῆ ὁ Ἄτταλον.

ΠΕΡΙ ΜΥΙΑΔΟΣ.

ΜΥΐα Θεσπιακὴ λυρικὴ, μέλη πρὸς λύραν ἁρμόζοντα. ὁ Μυῖα Σπαρτιάτης ποιήτρια εἰς Ἀπόλλωνα ὁ Ἄρτεμιν ὕμνων· ὁ ἄλλη Σαμία, Πυθαγόρου τοῦ μεγάλου καὶ Θεανοῦς.

ΠΕ-

ΠΕΡΙ ΜΥΡΟΥΣ.

Μυρὼ Βυζαντία, ποιήτρια ἐπῶν καὶ ἐλεγείων καὶ μελῶν. Ὁμήρου τοῦ τραγικοῦ θυγάτηρ· γυνὴ Ἀνδρομάχου τοῦ ἐπικληθέντος φιλολόγου.

ΠΕΡΙ ΜΥΡΤΙΛΟΥ.

Μυρτῖλος Ἀθηναῖος κωμικός, υἱὸς μὲν Λύσιδος, ἀδελφὸς δὲ Ἑρμίππου τοῦ κωμικοῦ· δράματα αὐτοῦ τετταρεσκαίδεκα ἔρωτες.

ΓΡΑΜΜΑΤΙΚΟΙ.

ΠΕΡΙ ΜΙΘΑΪΚΟΥ ΤΟΥ ΓΡΑΜΜΑΤΙΚΟΥ.

Μίθαικος γραμματικός· ἔγραψεν ὑπομνηματικὰ, κωμῳδητικὰ, καὶ ἄλλα.

ΠΕΡΙ ΜΟΣΧΟΥ.

Μόσχος Συρακούσιος γραμματικὸς, Ἀριστάρχου γνώριμος. οὗτός ἐστιν ὁ δεύτερος ποιητὴς μετὰ Θεόκριτον τῶν βουκολικῶν ποιητήν.

Ν

ΠΕΡΙ ΝΑΝΝΑΚΟΥ.

Νάννακος, παλαιὸς, ἀνὴρ πρὸ Δευκαλίωνος· τοῦτόν φασι βασιλέα γενέσθαι πρὸ τοῦ Δευκαλίωνος· ὃς προειδὼς τὴν μέλλοντα κατακλυσμὸν, συναγαγὼν πάντας εἰς τὸ ἱερὸν, μετὰ δακρύων ἱκέτευσε· καὶ παροιμία ἀπὸ Νανάκου, ἐπὶ τῶν σφόδρα παλαιῶν καὶ ἀρχαίων.

ΠΕΡΙ ΤΟΥ ΝΑΡΚΙΣΣΟΥ.

Νάρκισσος, υἱὸς μὲν ἦν Κηφισοῦ ποταμοῦ Φωκικοῦ, καὶ Λειριόεσσης νύμφης, κάλλος δὲ ἔχων ἀμύθητον, ἐπικύψας πηγῇ τινι, καὶ τὴν ἑαυτοῦ σκιᾶς ἐραθεὶς, ἔρριψεν ἑαυτὸν ἐκεῖ, καὶ ἐνεπνίγη τῷ ἐνόπτρῳ ὕδατι· καὶ ἡ γῆ ἀνέδωκε φυτὸν ὁμώνυμον τῷ νεανίᾳ.

ΠΕ-

ΠΕΡΙ ΤΗΣ ΓΙΝΟΜΕΝΗΣ ΤΙΜΗΣ ΤΩΙ ΝΕΙΛΩ, ΠΑΡΑ ΤΩΝ ΑΙΓΥΠΤΙΩΝ.

ΝΕῖλος, ποταμός ἐστιν ἐν τῇ Αἰγύπτῳ· ὃς ὑπερεκχυνόμενος διὰ τὰς αἰτίας ἃς φησιν ὁ Ἡρόδοτος, τιμᾶται ὑπὸ τῶν Αἰγυπτίων· ἐν γὰρ τῇ ἀναβάσει τιμῶσιν αὐτὸν ὡς θεὸν, καὶ εὐθημοῦσιν ὡς εὐφορίας αἴτιον· νομίζοντες τὸ ὕδωρ τὸ αὐξανόμενον θεόν. ὧδὲ δὲ τούτης τῆς ἱστορίας Ἡρόδοτος οὐδὲν λέγει· ἀνέγνων δὲ ἐγὼ Ἀελιανέτῳ τῷ ῥητορικῷ, ὅτι ἑορτάζουσιν αὐτῷ οἱ Αἰγύπτιοι ἑορτὴν πανδημεί, πάντες καὶ πᾶσαι ἐρχόμεναι περὶ τὰ θέατρα τῶν πόλεων, κἀκεῖσε θοινῶνται ἕκαστος καὶ ἑκάστη ὃ ἔχει. χορὰς δὲ συστησάμενοι ᾄδουσι τῷ Νείλῳ ᾠδάς, ἃς τῷ Διὶ ᾄδουσι· ὡς τοῦ Νείλου τὸ τοῦ Διὸς ἔργον ποιοῦντος καὶ ἄρχοντος τῆς χώρας· ἀνδρογύνων δὲ δοκεῖ λέγειν τιμάς· τῷ πανδήμει τοὺς ἄρρενας μὴ τῶν γυναικῶν ἐκβακχεύειν, καὶ πολλάκις ὡς ἐν μέθῃ καὶ ἀσελγαίνοντας.

ΠΕΡΙ ΝΕΟΠΤΟΛΕΜΟΥ.

ΝΕοπτόλεμος ὁ υἱὸς Ἀχιλλέως ἐτελεύτησε, διότι νέος ὢν εἰς πόλεμον ἦλθε τῷ Ὀδυσσεῖ. τὸ δὲ ἄλλως κύριον αὐτοῦ, Πύῤῥος ἐστιν, ὡς ἐποδηλοῖ ὁ Σοφοκλῆς· ὥσπερ ὁμώνυμος καὶ ὁ ὕστερον ἠπειρώτης διαστελλόμενος ἐπὶ ξανθοτονήσει τοῦ πυῤῥοῦ, ὅπερ ἐστὶ πυρσοῦ. ἰστέον δὲ ὅτι Ὁμήρου καὶ τῶν πλειόνων, ἕνα παῖδα λεγόντων Δηϊδαμείας καὶ Ἀχιλλέως τὸν Νεοπτόλεμον, Δημήτριος ὁ Ἰλιεὺς, δύο ἱστορεῖ, Ὀνειρόν τε καὶ Νεοπτόλεμον· ὃν ἀνελὼν φησιν ἐν Φωκίδι Ὀρέστης ἀγνοίᾳ, ὕστερον δὲ γνοὺς, τάφον αὐτῷ ἐποίησε περὶ Δωλίδα· καὶ ἀναθεὶς τὸ ξίφος, ᾧ ἀνεῖλεν αὐτὸν, ἀπῆλθεν εἰς τὴν Λευκὴν νῆσον, ἣν ὁ Λυκόφρων Φαληρωσαν πῖλον καλεῖ· καὶ τὸν Ἀχιλλέα ἐξιλεώσατο.

ΠΕΡΙ ΤΟΥ ΝΗΛΕΩΣ.

ΝΗλεὺς ὁ τοῦ Νέστορος πατὴρ, υἱὸς ἦν Ποσειδῶνος καὶ Τυρῶς· θέσει δὲ Κρηθέως, καὶ τὸν μῦθον. ἔγημε Χλῶριν τὴν τοῦ Ἀμφίονος· τούτῳ παῖδες Νέστωρ, Χρόμιος καὶ Πολυκλύμενος. ἀνῃρέθη δὲ ὑφ' Ἡρακλέους δι' αἰτίαν τοιήνδε· Εὔρυτος ὁ Οἰχαλίας τῆς ἐν Βοιωτίᾳ βασιλεὺς, προέθηκε τὴν τῆς θυγατρὸς Ἰόλης γάμον τῷ κρατοῦντι αὐτὸν νικῆσαι δυναμένῳ, ἢ, ὥς τινες, τοὺς παῖδας· ὧδε γὰρ Ἀπόλλωνος ἐλήφει τὴν τοξικήν. Ἡ-

ρακλέης δὲ διαγωνισαμβίᾳ, ἀγανακτήσας ὁ Εὐρυτος, οὐκ ἀπεδίδου τὴν κόρην. ὀργισθεὶς δὲ Ἡρακλῆς, ἐπόρθησε τὴν Οἰχαλίαν· τὰ δὲ Ἰόλλῳ αἰχμάλωτον ἤγαγεν· οὐδὲ τῆς ὀργῆς ἐπαύσατο, ἀλλὰ καὶ Ἶφιτον τὸν Εὐρύτου εἰς Τίρυνθα ξενισθέντα ἐπὶ ζήτησιν ἵππων, ξενίσας ἀπέκτεινε. φεύγων δὲ τὸ τοῦ φόνου μίασμα, παρεγένετο πρὸς Νηλέα, καθάρσεως τυχόμενος. τῶν δὲ παίδων αὐτοῦ μὴ βουλομένων ὑποδέξασθαι, ὁ Νηλεὺς ἐξέβαλεν αὐτόν. Ἡρακλῆς δὲ ἐκεῖθεν χωρισθεὶς, ἐπεξενώθη Δηϊφόβῳ τῷ τῶν Ἀρκάδων βασιλεῖ· καὶ ὅτως ἐκαθάρθη τοῦ φόνου· καὶ ὕστερον ἐπιστρατεύσας Νηλεῖ, οὐ μόνον τὴν Πύλον ἐπόρθησεν, ἀλλὰ καὶ Ἥραν Νηλεῖ συμμαχοῦσαν ἔτρωσεν· αὐτὸν δὲ Νηλέα τοῖς παισὶν ἅμα κτείνει, δίχα τοῦ νεωτέρου Νέστορος· οὗτος γὰρ ἐν Γερήνοις ἀνετράφετο, διόπερ ἐσώθη· ὅθεν αὐτὸν Γερήνιον ὁ Ποιητὴς προσηγόρευσεν.

ΠΕΡΙ ΤΟΥ ΝΗΡΕΩΣ.

Νηρεὺς, μυθικῶς μὲν ὢν δαίμων θαλάσσιος· ἦν δὲ Δωρίδος τῆς Ὠκεανοῦ θυγατρὸς, αἱ Νηρηΐδες. ἀλληγορικῶς δὲ, ἡ θάλασσά ἐστι, τοῦτον ὠνομασμένη τὸν τρόπον ἀπὸ τοῦ νάειν δι' αὐτῆς. μυθολογοῦσι δὲ αὐτὸν Πόντου καὶ Γῆς υἱόν· καὶ γέροντα προσαγορεύουσι, διὰ τὸ ὥσπερ πολιὸν ἐπανθεῖν τοῖς κύμασι τὸν ἀφρόν· καὶ γὰρ ἡ Λευκοθέα τοιοῦτόν τι ἐμφαίνει· ἥτις λέγεται θυγάτηρ Νηρέως εἶναι, δηλονότι τὸ λευκὸν τοῦ ἀφροῦ.

ΠΕΡΙ ΤΩΝ ΝΗΡΗΪΔΩΝ.

Νηρηΐδες, πᾶσαι αἱ τοῦ Νηρέως θυγατέρες. διαδέδοται δὲ ἄλλως, ὅτι ἐπὶ τομήματι Βακχυλίδου τοῦ λυρικοῦ, διαφορὰ Νηρεΐδων φέρεται, καὶ Νηρέως θυγατέρων ὅτως· εἰσὶν οἱ φασι διαφέρειν τὰς Νηρεΐδας τῶν τοῦ Νηρέως θυγατέρων· καὶ τὰς μὲν ἐκ Δωρίδος γνησίας αὐτοῦ θυγατέρας νομίζεσθαι· τὰς δὲ ἐξ ἄλλων κοινότερον Νηρεΐδας καλεῖσθαι. πιθανὸν δὲν τὰς μὲν ἐκ μιᾶς τῆς Δωρίδος γνησιωτέρας τῶν ἄλλων ὕσας, Νηρέως θυγατέρας λέγεσθαι· Νηρεΐδας δὲ, τὰς σωσιπάκτους· καὶ ὅρα ἐκ τούτου τὸ Νηρεΐδας κοινὸν ὂν, ἢ καὶ Ἀττικόν· τὸ γὰρ Νηρηΐδας, ἰωνικώτερον, ἐκ τῆς Νηρῆος γραικῆς.

ΠΕΡΙ ΤΗΣ ΝΙΟΒΗΣ.

Νιόβην, οἱ μὲν Ταντάλου, οἱ δὲ Πέλοπος κατάγουσι· καὶ γυναῖκα μέν τινες Ζήθου φασὶν, οἱ δὲ, Ἀμφίονος· ἕτεροι δὲ,

δὲ, Ἀλκμαιονέως· καὶ ἡ συμφορὰ δὲ αὐτῆς, κατ᾽ μὲν τινας, ἐν Λυδίᾳ, κατὰ δέ τινας, ἐν Θήβαις γενέσθαι φασί. Σοφοκλῆς δὲ τὰς μὲν παῖδας αὐτῆς ἐν Θήβαις ἀπολέσθαι φησὶν, αὐτὴν δὲ εἰς Λυδίαν ἐλθεῖν. ὁ δὲ τῶν παίδων αὐτῆς ἀριθμὸς Ὁμήρῳ μὲν κατ᾽ ἐξάδα μετρεῖται θυγατέρων, καὶ ἐξάδα υἱῶν προπεθεσῶν ἐν τῷ μέτρῳ τῶν θηλειῶν· ἢ ἁπλοϊκῶς, ὡς Ὁμήρῳ ἔδοξεν, ἢ ἐκ συνδιατιθεμένης τὴ ποιήσεως, ἐπεὶ προπαθέστερον ἡ μήτηρ εἶχεν αὐταῖς. Εὐριπίδης δ᾽ θυγατέρας ἑπτὰ Νιόβης ἱστορεῖ· τῷ δὲ ἔτι νεωτέρων, οἱ μὲν πεντεκαιδεκα τὰς παῖδας εἶπον, οἱ δ᾽, εἴκοσι. δοκεῖ δ᾽ ὁ τῶν παίδων τῆς Νιόβης θάνατος ἐξ αἰτίας λοιμώδους γενέσθαι, ἢ ἐκ ἄλλως, ἀπὸ αἰφνιδίου πάθους τινός· ὅθεν Ἀπόλλωνι καὶ Ἀρτέμιδι ἀνάπτεται, ὃι τοιοῦτον θανάτου εἰσὶν αἴτιοι, τόξοις λεγόμενοι βάλλειν τὰς ὕπω θνήσκοντας· διὸ φασὶν, ὅτι ἡ Νιόβη ζῶσα, ἀπελιθώθη ἐπὶ τῷ τύμβῳ τῶν παίδων· ἀλλ᾽ ἡ ἀλήθεια ὕπως ἔχει· ἡ Νιόβη, ἀποθανόντων τῶν παίδων αὐτῆς, ποιήσασα ἑαυτῇ εἰκόνα λιθίνην, ἔστησεν ἐπὶ τῷ τύμβῳ τῶν παίδων· ὅθεν ἐκ ἀπολελιθῶσθαι αὐτὴν ἐμυθεύσαντο.

ΠΕΡΙ ΤΩΝ ΝΥΜΦΩΝ.

Νύμφαι εἰσὶ τὰ ὑπ᾽ γυναικείῳ σχήματι ὑπὸ τοῖς ὄρεσι φαινόμενα δαιμόνια· αἵ τινες Ἀδριάδες, καὶ Ἀμαδριάδες, ἐκ Ὀρεσιάδες καλοῦνται· ὥσπερ καὶ Νηρηίδες, αἱ ὑπὸ τῇ θαλάσσῃ· ἐκ Νηίδες, αἱ ὑπὸ ταῖς λίμναις· τῶν Νυμφῶν δὲ αἱ μὲν εἰσιν ὀρέσιαι, αἱ δὲ ἐπίγειοι, αἱ δ᾽ ποτάμιοι, αἱ δὲ λιμναῖαι, αἱ δὲ θαλάσσιαι· καὶ καθόλου τὸ τῶν Νυμφῶν γένος εἰς πολλὰ διαιρεῖται, ὥς φησι Μυησίμαχος. λέγονται δ᾽ Νύμφαι, διὰ τὸ κατ᾽ τὸ νέον, ὃ ὄξι κατ᾽ τὸ ἔαρ, μάλιστα σφαίνεσθαι· Διὸς δὲ θυγατέρες, ὃ ὄξιν ἀέρος καὶ αἰθέρος, διὰ τὴν ἄνωθεν ἑτομένην αὐταῖς ὑγρότητα καὶ θερμότητα. ἰστέον ὅτι καθάπερ ὁμώνυμος γυναικὶ κόρη, τυπτεῖ παρθένῳ ἡ μυθευομένη τῆς Δήμητρος Κόρη, ἡ καὶ Περσεφόνη, ὕτω ἐκ αἱ μυθικαὶ νύμφαι ὁμωνυμοῦσι ταῖς παρ᾽ ἀνθρώποις. ἔτι καθάπερ παρθένοι κόραι, ἐκ μὴν γάμου κόραι, καὶ κοῦραι λέγονται, διὰ τὸ νεάζειν, ὡς καὶ Ὅμηρος εἶδε, ἐκ αἱ τῶν μύθων Νύμφαι, ὧν πολὺ πλῆθος ὑπῆρξε τῇ ποιήσει, καὶ γάμῳ ὑποπεσοῦσαι, καὶ τεκοῦσαι, Νύμφαι καλοῦνται, κατά τινα κυριωνυμίαν.

ΦΙΛΟΣΟΦΟΙ.

ΠΕΡΙ ΝΕΟΚΛΕΟΥΣ.

ΝΕοκλῆς Ἀθηναῖος φιλόσοφος, ἀδελφὸς Ἐπικούρου· ἔγραψε περὶ τῆς ἰδίας αἱρέσεως· καὶ Νεοκλέους ὅτι τὸ, λάθε βιώσας.

ΠΕΡΙ ΝΙΚΟΛΑΟΥ.

ΝΙκόλαος Δαμασκηνὸς φιλόσοφος περιπατητικὸς, ἢ πλατωνικός· ἔγραψεν ἱστορίαν καθολικὴν ἐν βιβλίοις ὀγδοήκοντα, ἐπὶ τοῦ βίου Καίσαρος ἀγωγήν· φίλτατος Καίσαρι Αὐγούστῳ.

ΠΕΡΙ ΝΙΚΟΜΑΧΟΥ.

ΝΙκόμαχος Σταγειρίτης φιλόσοφος, υἱὸς μὲν Ἀριστοτέλους τοῦ φιλοσόφου, μαθητὴς δ' Θεοφράστου· ἔγραψεν ἠθικῶν βιβλία ἔξ· καὶ περὶ τῆς φυσικῆς ἀκροάσεως τοῦ πατρὸς αὐτοῦ.

ΠΕΡΙ ΝΟΥΜΗΝΙΟΥ.

ΝΟυμήνιος, Ἀπαμεὺς ἀπὸ Συρίας, φιλόσοφος Πυθαγόρειος. οὗτός ἐστιν ὁ τιμῶν τοῦ Πλάτωνος ἐξελέγξας διάνοιαν, ὡς ἐν τοῖς Μωσαϊκοῖς τὰ περὶ θεοῦ καὶ κόσμου γενέσεως ἀποσυλήσασαν· καὶ διὰ τοῦτό φησι· τί γάρ ἐστι Πλάτων ἢ Μωσῆς ἀττικίζων.

ΙΑΤΡΟΙ.

ΠΕΡΙ ΝΙΚΑΝΔΡΟΥ.

ΝΙκανδρος ὁ ἰατρὸς, ὁ καὶ ποιητὴς, Αἰτωλὸς τὸ γένος ἦν καὶ ἱερεὺς Κλαρίου Ἀπόλλωνος· ἐκ προγόνων τὴν ἱερωσύνην δεξάμενος· ἔσχε δ' πατέρα Δαμναῖον. χρόνῳ δ' ἐγένετο κατὰ τὸν Ἄτταλον, τελευταῖον ἄρξαντα Περγάμου, ὃς καταλύθη ὑπὸ Ῥωμαίων. διέτριψε δὲ ἐν Αἰτωλίᾳ τὰς πλείονας χρόνους· ὡς φανερὸν ἐκ τῶν περὶ Αἰτωλίας συγγραμμάτων καὶ τῆς ἄλλης ποιήσεως, ποταμούς τε τοὺς περὶ Αἰτωλίαν καὶ τόπων τοὺς ἐκεῖσέ τε καὶ ἄλλων διαφόρων διηγήσεων· ἔτι δ' καὶ φυτῶν ἰδιότητος, ἀέρος τε καὶ εὐκρασίας.

ΓΕ-

ΠΕΡΙ ΝΙΚΟΜΑ'ΧΟΥ.

ΝΙκόμαχος ἰατρὸς, Σταγειρίτης, Μαχάονος τοῦ Ἀσκληπιοῦ υἱός· ἀφ' οὗ κατήγετο Νικόμαχος ὁ πατὴρ Ἀριστοτέλους τοῦ φιλοσόφου, καὶ αὐτὸς ἰατρός· ἔγραψεν ἰατρικῶν βιβλία ἓξ, καὶ φυσικῶν ἕν.

ΙΣΤΟΡΙΚΟΙ.

ΠΕΡΙ ΝΥ'ΜΦΙΔΟΣ.

ΝΥ'μφις Ξενάγορα Ἡρακλεώτης ἐκ Πόντου ἱστορικός· ἔγραψε περὶ Ἀλεξάνδρου καὶ τῶν διαδόχων καὶ ἐπιγόνων βιβλία πεντεκαίδεκα· περὶ Ἡρακλείας βιβλία δεκατέσσαρα. ἔχει δὲ μέχρι τῆς καθαιρέσεως τῶν τυράννων τὰ μὲν τοὺς Ἐπιγόνους, καὶ μέχρι τοῦ τέλους Πτολεμαίου.

ΡΗ'ΤΟΡΕΣ.

ΠΕΡΙ ΝΕΑ'ΝΘΟΥΣ ΤΟΥ ΡΗ'ΤΟΡΟΣ.

ΝΕάνθης Κυζικηνὸς ῥήτωρ, μαθητὴς Φιλίσκου τοῦ Μιλησίου· ἔγραψε περὶ κακοζηλίας ῥητορικῆς, καὶ λόγους πολλοὺς παντηγυρικούς.

ΠΕΡΙ ΝΙΚΑΓΟ'ΡΟΥ.

ΝΙκαγόρας Μυτιληναῖος ῥήτορος Ἀθηναίου σοφιστής· γέγονε δὲ κατὰ Φίλιππον τὸν Καισαρα. ἔγραψε βίους ἐλλογίμων· περὶ Κλεοπάτρας τῆς ἐν Τρωάδι· παρεσβευτικὸν πρὸς Φίλιππον τὸν Ῥωμαίων βασιλέα.

ΠΕΡΙ ΝΙΚΟΛΑ'ΟΥ ΤΟΥ ΡΗ'ΤΟΡΟΣ.

ΝΙκόλαος ῥήτωρ, γνώριμος Πλουτάρχου καὶ Πρόκλου· Πλουτάρχου μὲν λέγω τοῦ ἐπικλεῦς Νεστορίου· ἔγραψε προγυμνάσματα καὶ μελέτας ῥητορικὰς, καὶ ἄλλα τινά. ἤκμαζεν ἐπὶ Λέοντος βασιλέως τοῦ πρεσβύτου· καὶ ἕως Ζήνωνος καὶ Ἀναστασίου.

ΠΕΡΙ ΝΙΚΟΛΑ'ΟΥ ΤΟΥ ΣΟΦΙΣΤΟΥ.

ΝΙκόλαος Μύρων, Λυκίας, ἀδελφὸς Διοσκορίδου γραμματικοῦ, καὶ Ἱππάρχου καὶ Ὑπάτου Πατρικίου, σοφιστεύσας καὶ αὐτὸς

ὁ Κωνσταντίνου πόλεως, μαθητὴς γεγονὼς Λαχάρους. ἔγραψε τέχνην ῥητορικήν.

ΠΕΡΙ ΝΙΚΟΣΤΡΑΤΟΥ.

ΝΙκόστρατος Μακεδόνων ῥήτωρ. ἐτάχθη δ' ὁ τοῖς κειθεῖσιν ἐπὶ δευτέροις δέκα ῥήτορσι· σύγχρονος Ἀριστείδου καὶ Δίωνος τοῦ Χρυσοστόμου· ἦν γὰρ ἐπὶ Μάρκου Ἀντωνίου τοῦ βασιλέως. ἔγραψε δεκαμυθίαν, εἰκόνας, πολυμυθίαν, θαλαττουργούς· καὶ ἄλλα πλείστα· καὶ ἐγκώμια εἴς τε τὸν Μάρκον καὶ ἄλλους.

ΠΕΡΙ ΤΟΥ ΝΟΥΜΗΝΙΟΥ.

ΝΟυμήνιος ῥήτωρ, ἔγραψε περὶ τῶν τῆς λέξεως σχημάτων ὑποθέσεις· τῶν Θουκυδίδου καὶ Δημοσθένους χρειῶν σωαγωγήν· Ἀδριανῷ ἐγκωμιαστικὸν εἰς Ἀντίνοον.

ΠΕΡΙ ΝΑΥΣΙΚΡΑΤΟΥΣ.

ΝΑυσικράτης κωμικός. τῶν δραμάτων αὐτοῦ ὅδε· ναύκληροι, Πέρσις.

ΠΕΡΙ ΝΕΟΦΩΝΤΟΣ.

ΝΕοφῶν, Σικυώνιος τραγικός· ὃν φασιν εἶναι τὸν Εὐριπίδου Μήδειαν· ὃς πρῶτος εἰσήγαγε παιδαγωγούς, καὶ οἰκετῶν ᾄσαντα. ἐδίδαξε τραγῳδίας ρκ'. συνῆν δὲ μετὰ ταῦτα Ἀλεξάνδρῳ τῷ Μακεδόνι· καὶ διότι φίλος ἦν Καλλισθένει τῷ φιλοσόφῳ σὺν ἐκείνῳ, καὶ αὐτὸν ἀνεῖλεν αἰκισμοῖς.

ΠΕΡΙ ΝΕΣΤΟΡΟΣ.

ΝΕστωρ Λαρανδεὺς ἐν Λυκίᾳ, ἐποποιὸς, πατὴρ Γεωργίου τοῦ ποιητοῦ, γεγονὼς ἐπὶ Σεβήρου τοῦ βασιλέως· Ἰλιάδα γράψας λεπτογράμματον, ἥτοι ἀστοιχείωτον. ὁμοίως δὲ αὐτῷ καὶ ὁ Τρυφιόδωρος ἔγραψεν Ὀδύσσειαν· ἔστι γὰρ ἐν τῷ Α μὲν εἰσκεφαλ Α· καὶ κ' ῥαψῳδίαν ὕστερον, τὸ ἑκάστης ἐκλιμπάνειν στοιχεῖον. ἔγραψε δὲ μεταμορφώσεις, ὥσπερ καὶ Παρθένιος ὁ Νικαεύς, καὶ ἄλλα.

ΠΕΡΙ ΝΙΚΟΜΑΧΟΥ.

ΝΙκόμαχος Ἀλεξανδρεὺς τῆς Τρωϊκῆς, τραγικός· γράψας τραγῳδίας ιά, ὧν καὶ αἵδε· Ἀλέξανδρος, ἢ Ἐλευθύλη, Γυε-

ιο-

εἰόνης, Ἀλετίδης, Ἐιλήθυια, Νεοπτόλεμος, Μυσοὶ, Οἰδίπους, Πειρὶς, ἢ Πολυξένη· Τριλογία, Μεπαβαίνουσαι, Ἰωνδάρεως ἢ Ἀλκμαίων, Τεῦκρος. καὶ ἕτερος Νικόμαχος Ἀθηναῖος τραγικὸς, ὃς τῷ Σοφοκλέους Εὐριπίδου δὲ Θέογνιν ἐνίκησε. τῶν δραμάτων αὐτοῦ ἐστιν Οἰδίπους.

ΠΕΡΙ ΝΙΚΟΣΤΡΑΤΟΥ.

Νικόστρατος κωμικός. μέμνηται αὐτοῦ Ἀθηναῖος ἐν τείτῳ. λέγει δράματα αὐτοῦ Πάνδαρος ὁ καὶ Ἄντυλλος· εἰ δὲ Φιλεταίρα δοκεῖ εἶ)· δὲ ἱεροφάντης· δὲ Κλεινή· ἔτι δ' Ἄβρα· καὶ Ἡσίοδος· καὶ διάβολος, δὲ ἀνερῶσα, καὶ Ἑκάτη· μάγειρος, Ὦτις, Πλοῦτος, Σύριος ἀπελαυνόμενος, ψευδοστιγματίας.

ΠΕΡΙ ΝΙΚΟΦΡΟΝΟΣ.

Νικόφρων Θήρωνος, Ἀθηναῖος κωμικὸς, σύγχρονος Ἀριστοφάνους τοῦ κωμικοῦ. τῶν δραμάτων αὐτοῦ, ἐξ Ἅιδου ἀνιὼν, Ἀφροδίτης γοναὶ, Γανδώρα, ἐγχειρογάστορες, Σειρῆνες.

ΠΕΡΙ ΝΙΚΟΧΑΡΗΤΟΣ.

Νικοχάρης Φιλωνίδου τοῦ κωμικοῦ, Ἀθηναῖος κωμικὸς, σύγχρονος Ἀριστοφάνους. τῶν δραμάτων αὐτοῦ Ἀμυμώνη, Πέλοψ, Γαλάτεια, Ἡρακλῆς γαμῶν, Ἡρακλῆς χορηγὸς, Κρῆτες, Λάκωνες, Λήμνιαι, Κένταυροι, χειρογάστορες.

ΠΕΡΙ ΝΟΝΝΟΥ.

Νόννος Πανοπολίτης ἐξ Αἰγύπτου, λογιώτατος· ὁ καὶ τὸν παρθένον Ἰωάννου μεταφράσας δι' ἐπῶν.

ΓΡΑΜΜΑΤΙΚΟΙ.

ΠΕΡΙ ΝΙΚΑΝΟΡΟΣ.

Νικάνωρ ὁ Ἑρμέου, Ἀλεξανδρεὺς γραμματικός· γεγονὼς ἐπὶ Ἀδριανοῦ τοῦ Καίσαρος, ὅτε δὲ Ἕρμιππος ὁ Βηρύτιος· ἔγραψε περὶ στιγμῆς τὸ παρ' Ὁμήρῳ, καὶ τὸ ἐξ αὐτῶν διαφορᾶς ἐν τῇ διανοίᾳ· περὶ στιγμῆς τὸ καθόλου βιβλία ἕξ· ἐπιτομὴν τούτων, βιβλίον ἕν· περὶ στιγμῆς τὸ πρὸς Καλλιμάχου· κωμῳδούμενα· περὶ ναυσάθμου· περὶ τοῦ ὦναξ· περὶ στιγμῆς, δὲ ἄλλα. ἐφ' ᾧ γραμματεία σκωπτόμενος πρός τινων, στιγματίας ἐκαλεῖτο· ὅ γὰρ δήπου ὡς δοῦλος ἔτως ἐσκώπτετο.

ΓΕ-

Ο

ΠΕΡΙ ΤΟΥ ΟΔΥΣΣΕΩΣ.

Ὁ Ὀδυσσεὺς, υἱὸς Λαέρτα καὶ Ἀντικλείας τῆς Αὐτολύκου. Σιλληνὸς δὲ ὁ Χῖος καὶ τὴν ἱστορίαν, ἐν δευτέρῳ βιβλίῳ τῶν Μυθικῶν δατύνει τὸ τοῦ Ὀδυσσέως ὄνομα· λέγων ὡς Ἀντικλείας ὀδευούσης ἐλθεῖν τὸ Νήριτον, ὕσεν ὁ Ζεύς· Νήριτον δὲ, ὄρος Ἰθάκης ἐπιφανές· τὴν δὲ ἀπὸ ἀγωνίας ἐκεῖ πεσοῦσαν, τεκεῖν· καὶ τὸ γενηθὲν, κληθῆναι Ὀδυσσέα ἀπὸ τοῦ ὀδῷ ὕσαι. Αὐτόλυκος δὲ παρ' Ὁμήρῳ, τῇ δάλῃ μὴ προσεχηκὼς ἀπὸ ἐκείνων οἷς ἐκέκαστο, ἐθέλει ὀνομάσαι τὸ παῖδα ἀπὸ τοῦ μίσους δηλαδὴ, ὃ εἶχεν ἐκ πολλῶν διὰ τὴν κλεπτοσύνην· δῆλον γὰρ, ὡς ὠδύσαντο αὐτῷ ἐκεῖνοι, ὃ δὴ τίθησιν ὄνομα τῷ ἐγγόνῳ. Φασὶ δέ τινες τὸν Ὀδυσσέα αὐξηθέντα ἀπὸ Ἐφύρων τοῦ Ἰθμοῦ λαβεῖν ἀνδροφόνα φάρμακα, λέγοντες φαρμακοφόρον ποτὲ γενέσθαι αὐτὴν, διὰ τὸ ἐκεῖ κατοικῆσαι τὴν Μήδειαν· ὅθεν καὶ ἡ τοῦ Αὐγείου θυγάτηρ, φασὶ, τοῦ βασιλέως τῶν Ἐπειῶν, ἡ ἐν Ἰλιάδι κειμένη Ἀγαμήδη, φαρμακὶς ἦν. ἄλλοι δὲ ἀπὸ τῆς Θεσπρωτικῆς Ἐφύρης φάρμακα λαβεῖν τὸν Ὀδυσσέα φασὶ, γενομένης καὶ αὐτῆς ποτε πολυφαρμάκου διὰ τὴν Μήδειαν, οἰκήσασαν καὶ ἐκεῖ χρὸς καιρόν.

ΠΕΡΙ ΤΟΥ ΟΙΔΙΠΟΔΟΣ.

Ὁ Οἰδίπους, ὁ δὲ Οἰδιπόδης ποιητικῶς λεγόμενος, ἐκλήθη ὕτω, διὰ τὸ οἰδημα ὃ ἔπαθε λυπηθεὶς τὰς ἀστραγάλας τῶν ποδῶν, ὅτε βρέφος ὢν ἐξετέθη, ὡς ἱστοροῦσιν οἱ Τραγικοί. ὅτι δὲ ἄλλως καὶ ἄλλως τὰ κατὰ τὸν Οἰδίποδα καὶ τὸν Λάϊον λέγεται, δῆλον μὲν καὶ ἐξ ἄλλων· ἐγὼ δὲ οὐκ ἄν τοῦ ἱστορήσαντος, ὅτι Σφὶγξ, γυνή τις ἦν εἰδεχθὴς, περί τι Βοιωτίῳ, ληστεικὴ καὶ φονία, ὡς καὶ Παλαιφάτῳ δοκεῖ. Οἰδίπους δὲ ἀνεῖλεν αὐτὴν, προσποιησάμενος φιλίαν καὶ συμμαχίαν· ὅθεν ἐτιμήθη ἄγαν ὑπὸ Θηβαίων· ἐφ' οἷς φθονήσας Λάϊος, ἐπέζευσι καὶ θνήσκει ἐν τῇ μάχῃ· καὶ τότε ἡ μήτηρ λαμβάνει αὐτόν. ὡς δὲ ἔγνω ἀποβάντα τὰ πάλαι τῷ Λαΐῳ δεδομένον χρησμὸν, ἐξετύφλωσεν ἑαυτόν. γήμας τοιγαροῦν τὴν μητέρα Ἰοκάστην, ἔσχεν ἐξ αὐτῆς Ἐτεοκλέα, καὶ Πολυνείκην, καὶ Ἰσμήνην, καὶ Ἀντιγόνην· ὅθεν Ἐτεοκλῆς καὶ Πολυνείκης, καὶ ἀδελφοὶ καὶ υἱοὶ ἦσαν Οἰδίποδος. ἀλλ' ὁ μὲν Ἐτεοκλῆς παραλαβὼν τὴν τῶν Θηβῶν βασιλείαν, ἀποστερεῖ τὸν μέ-

μέρος τ ἀδελφὸν αὐτῦ Πολυνείκει. φυγὰς ὃ ἐκεῖνος εἰς Ἄργος παραγενόμενος, ἔγημε τ θυγατέρα τῦ βασιλέως Ἀδράστου· καὶ ἐλθεῖν δὲ εἰς τ πατρίδα φιλοτιμούμενος, ἐπεὶ πέμψας τ πενθερὸν, σωιήθροισεν ἀξιόλογον στρατὸν κ τῦ ἀδελφῦ, καὶ εἰς Θήβας ἐλήλυθεν. ἡ ὃ μήτηρ αὐτῦ Ἰοκάστη ἐποίησεν αὐτὸν ὑποστρόφαλον ἐλθεῖν εἰς τὴν πόλιν, ἐπὶ διαλεχθῆναι πρότερον τῷ ἀδελφῷ περὶ τ ἀρχῆς. δεινοπροσωπήσαντος ὃ ὑπὸ τῆς τυραννίδος τῦ Ἐτεοκλέους, ἡ μὴ Ἰοκάστη σωιαγαγεῖν τὰ τέκνα οὐκ ἠδύνατο πρὸς φιλίαν. Πολυνείκης δὲ ὡς πρὸς πόλεμον λοιπὸν παρεσκευάσθη, ἀνεχώρησε τ πόλεως. ἔχρησε ὃ ὁ Τειρεσίας νίκην θέσθαι τοῖς Θηβαίοις, ἐὰν ὁ παῖς Κρέοντος, Μενοικεύς, σφάγιον Ἄρει γένηται. ὁ μὲν ὖν Κρέων, ἠρνήσατο ἐπιδῶναι τῇ πόλει τ παῖδα· ὁ ὃ νεανίσκος ἐβάλετο· ἐπὶ τῦ πατρὸς αὐτῦ φυγὴν μὴ χρημάτων διδόντος, ἑαυτὸν ἀπέσφαξε· καὶ δὴ ἐπὶ ἔσφαξε. Θηβαῖοι δὲ, τὰς ἡγεμόνας τῶν Ἀργείων ἔσφαξαν. Ἐτεοκλῆς δὲ καὶ Πολυνείκης μονομαχήσαντες, ἀνεῖλον ἀλλήλους· ἡ μὲν ὖν μήτηρ αὐτῶν εὑρῶσα νεκροὺς τοὺς υἱοὺς, ἀνεῖλεν ἑαυτήν. ὁ δὲ ταύτης ἀδελφὸς Κρέων, παρέλαβε τὴν βασιλείαν· οἵ τε Ἀργεῖοι νικηθέντες τ μάχης, ἀνεχώρησαν. Κρέων ὃ δυσχερῶς φέρων, ὃς μὲν ὑπὸ τῇ Καδμείᾳ τὴν πολεμίων πεσόντας, οὐκ ἔδωκεν εἰς ταφήν· Πολυνείκει ὃ ἀκήδευτον ἔρριψεν· Οἰδίπου ὃ φυγάδα τ πατρίδος ἀπέπεμψεν· ἐφ ὧν μὲν φυλάξας τ ἀνθρώπινον νόμον, ἐφ ὧν ὃ τ ὀργὴν λογοποιήσας, οὐδὲ περὶ τ δυστυχίαν ἐλεήσας. οἱ δέ φασιν ὅτι Οἰδίπους ἀποβαλὼν Ἰοκάστην, ἐπέγημεν Ἀστυμέδουσαν, ἥτις διέβαλε τοὺς παρογόνους ὡς πειράσαντας αὐτῆς. ἀγανακτήσας ὃ ἐκεῖνος, ἐπεράσατο αὐτῶν δι' αἵματος παραλαβεῖν τ χώραν, καὶ παρέδωκε τ βασιλείαν τῷ Ἐτεοκλεῖ· ὃς ἐξέβαλε Πολυνείκην τὸν ἀδελφὸν αὐτῦ, ὡς πρεσβύτερος· παραγενόμενος δὲ ἥκτος εἰς Ἄργος, εὗρε Τυδέα φυγάδα· βοηθῶν γὰρ κἀκεῖνος τῷ πατρὶ, καὶ τὸν ἐναντιούμενον ἀποκτείνας ἀνεψιὸν, ἔφυγεν. Ἄδραστον δὲ θεασάμενος αὐτὸς ἠμφιεσμένους θηρῶν δοραῖς, Τυδέα μὲν, συός, Πολυνείκει ὃ, λέοντος, συνέβαλε τὸν χρησμόν· ἦν γὰρ αὐτῷ δεδοικὼς, κάπρῳ καὶ λέοντι ζεύξαι τὰς θυγατέρας, καὶ δίδωσι Τυδεῖ μὲν, Διϊπύλῳ· Ἀργείᾳ ὃ, Πολυνείκει. πέμψας δὲ εἰς Μυκήνας, συμμαχίαν ἤπι ἐπὶ Θηβαίους. θυέστης μὲν ὖν ἑτοίμως ἐδίδου· σημεῖα ὃ αὐτὸν ἐκώλυσε φαῦλα. ἐπελθόντες ὖν εἰς τὰς Θήβας Ἀργεῖοι, πέμπουσι πρεσβευτὴν Τυδέα, ὃς καταλαβὼν γυμνικὸν ἀγῶνα, καὶ συμμαχήσας Ἀθηνᾶς, νικᾷ τὰ πάντα,

ὑποστρέφων ὃ, πεντήκοντα νεκύας ἐνεδρεύοντας συλλαβεῖν αὐτὸν ἀναιρεῖ.

ΠΕΡΙ ΟΙΝΟΜΑΟΥ.

Οἰνόμαος Ἄρεως ὢν υἱός, ἐξ Ἁρπίνης τ Ἀστερόπης, ἢ Εὐρυθόης τ Δαναΐδ, θυγατέρα ἔσχεν Ἱπποδάμειαν. λαβὼν δὲ χρησμὸν ὅτι ἀναιρεθήσεται ὑπὸ τοῦ ἰδίου γαμβροῦ, οὐκ ἐβούλετο ἐκδοῦναι αὐτὴν, εἰ μὴ τῷ νικήσαντι αὐτὸν δι' ἵππων. προὔκειτο δὲ αὐτοῖς, ἀφετήρια μὲν, Κλάδεως ποταμὸς, τέρμα δὲ, ὁ Ἰσθμός· καὶ ἀνεῖλε τρεῖς καὶ δέκα μνηστῆρας, ὡς Πίνδαρος ἱστορεῖ, οἵπερ εἰσὶν ὅτι· Μέρμης, Ἱππόθοος, Πέλοψ ὁ Πόνλιος, Ἀκαρνὰν, Εὐρύμαχος, Εὐρύλοχος, Αὐτομέδων, Λάσιος, Χάλκων, Τελχόρωνος, Ἀλκάθους ὁ Πορθάονος, Ἀριστόμαχος, Κρόκαλος. τούτῳ τῷ ἀριθμῷ τῶν ἀπολωλυμένων μνηστήρων καὶ Ἡσίοδος ἐν Ἐπιμηνίδης συμμαρτυρεῖ. τινὲς δέ φασι πεντεκαίδεκα, προσιθέντες Ἱππόστρατον, καὶ Λυκάονα. ἐλθόντος δὲ τοῦ Πέλοπος ἐπὶ τὸν ἆθλον μετ' ἵππων δεδομένων αὐτῷ ὑπὸ Ποσειδῶνος, ἐρασθεῖσα ἡ Ἱπποδάμεια Πέλοπος, πείθει Μυρτίλον τὸν υἱὸν μὲν Ἑρμοῦ, ἁρματοπηγὸν δὲ ἐν ἡνίοχον Οἰνομάου, ἐμβαλόντα κήρινον ἔμβολον ἐπὶ τοῦ ἁρμαξονίου, ἢ ὑδὸ' ὅλως ἐμβαλόντα τὸ ἔμβολον, ὡς Φερεκύδης ἱστορεῖ· ὃ χρυσοῦν, Οἰνομάου τε ἐκκυλισθέντος τοῦ τροχοῦ, ἀπέθανε, ἐξ Ἱπποδάμειαν Πέλοπι ἔλαβεν. αἱ δὲ τοῦ Οἰνομάου ἵπποι, Ψίλλα ἐξ Ἄρπινα. ὁ δὲ Μυρτίλος, Ἑρμοῦ υἱὸς ἐκ μιᾶς τῶν Δαναΐδ θ· ἕτερον Φαεθόντης· οἱ δὲ, Κλυμένης, ἢ Μυρτοῦς μιᾶς τῶν Ἀμαζονίδων.

ΠΕΡΙ ΟΙΝΩΝΗΣ.

Οἰνώνη, θυγάτηρ Σκεβρήνος. ταύτην πρὸ Ἑλένης ἔσχεν Ἀλέξανδρος· ἐξ ἧς αὐτῷ Κόρυθος· ὃν Κόρυθον ὀνειδιζομένη πρὸς τοῦ Πριάμου, διὰ τὸ ψόγον ἐξ τὸ μομφὴν τοῦ ἀνδρὸς αὐτῆς, καὶ διὰ τὰς ἐπεισάκτους γάμους τῆς Ἑλένης, ἀγειωθεῖσα ἔπεμψεν, ἡγησάμενον τοῖς Ἕλλησι τοῦ εἰς Τροίαν πλοῦ. φασὶ δὲ ὅτι ἡ Οἰνώνη φαρμακεργὸς οὖσα, βλομένη θεραπεῦσαι Ἀλέξανδρον, ἐκωλύθη πρὸς τοῦ πατρὸς αὐλῆς. τελευτήσαντος δὲ ἐκείνου, ἑαυτὴν σωφρονίσει· ἢ, κατ' Κόϊντον, ἑαυτὴν ἐμβαλοῦσα εἰς τὴν Ἀλεξάνδρου πυράν, ἢ ἁπαγχθεῖσα· ἢ, κατὰ τὸ Λυκόφρονα, καταπεσοῦσα τοῦ πύργου· οὐκ ἰάσιμον δὲ τὸ ἕλκος· ἢ ὅτι πεθνηκὼς ἦν ὁ Ἀλέξανδρος, ἐξ ἰαθῆναι οὐκ ἠδύνατο· ἢ ὅτι κεχειρισμένα ἦν τὰ βέλη

λη Φιλοκτήτη, οἷς Ἀλέξανδρος ἐτοξεύθη τῷ ἱῷ τ Ὕδρας· ἡ γὰρ Οἰνώνη, ἰαλεικὴν ἐμυσικλῶ ἦσκει.

ΠΕΡΙ ΤΟΥ ΟΙΣΤΟΥ ΤΟΥ ΕΝ ΟΥΡΑΝΩ.

Ὁ οἰστὸς οὗτος, βέλος ὑπερμέγεθες Ἀπόλλωνος· ᾧ ἐχρήσατο κ Κυκλώπων, τῶν ἐργασαμένων Διὶ τ κεραυνόν, δι' οὗ ἀπέκτεινεν Ἀσκληπιόν. ἔκρυψε δ' αὐτὸν ὁ Ὑπερβορέοις· οὗ δ' ὁ ναὸς ὁ Περέϊνθος.

ΠΕΡΙ ΟΜΦΑΛΗΣ.

Τὴν Ὀμφάλη λέγεται ὅτι Ἡρακλῆς λατρεύει. ὁ δὲ λόγος μυθώδης· ἐξὸν γὰρ κἀκείνης ἐκ τῶν ὑπαρχόντων αὐτῇ δεσπόζειν· ἐγένετο δὲ τοιόνδέ τι· Ὀμφάλη ἦν Ἰορδάνου θυγάτηρ Λυδῶν βασιλέως· ἅπτη ἀκούσασα τὰ ἰσχὺν Ἡρακλέους, προσεποιήθη ἐρᾶν αὐτοῦ. Ἡρακλῆς δ' πλησιάσας, ἔρωτι ἑάλω αὐτῆς. γεννᾷ τοιγαροῦν ἐξ αὐτῆς υἱὸν Λαομήδοντα. ἠδόμενος δ' αὐτῇ, ἐποίει ὅ, τι προσάττοι ἡ Ὀμφάλη· διὸ καὶ ἐλάβον λατρεύειν αὐτὸν αὐτῇ.

ΠΕΡΙ ΤΗΣ ΟΝΕΙΡΟΜΑΝΤΕΙΑΣ.

Οἱ ἐκ Τελμισσοῦ, (πόλις δ' αὕτη Παμφυλίας παλαιοτάτη ἐπὶ τῶν χρόνων Κροίσου) προφῆται λέγονται τὰς ὀνείρους εὑρεῖν διακεῖνεν· ἔλεγον γὰρ εἴ τί γε γένοιτο ἔνδοξον, ὅτι τόδε σημαίνει· καὶ πάντως ὅσα ἂν εἶπον, συμέβαινεν ἐξέρχεσθαι. λέγουσι δὲ ὅτι οἱ ὀνειροι, προὸς τὴν ἡμῶν μᾶλλον ἀληθεῖς· ὡς ἡδη πεπτομένων τῶν σιτίων, καὶ τοῦ λογιστικοῦ νήφοντος, καὶ μὴ ἐπιπροσθουμένου ταῖς ἐκ τῶν βρωμάτων ἀτμίσιν. ἀναπλάττονται δὲ καὶ πρωτοὶ οἱ ὀνειροι, ὅτι Ὅμηρος εἶπεν, ὄνειρος ὤχετο ἀποπταμένος· διὸ καὶ Εὐριπίδης τὴν γῆν μελανοπτέρυγων μητέρα ὀνείρων καλεῖ.

ΠΕΡΙ ΤΗΣ ΟΙΩΝΙΚΗΣ.

Τῆς οἰωνικῆς, τὸ μὲν ὄρνιν ὀρνεοσκοπητικόν, ὃ ἐξεῦρον Φρύγες· τὸ δὲ, οἰκοσκοπητικόν· τὸ δὲ, ἐνόδιον· τὸ δ', χρεοσκόπιον· τὸ δὲ, παλματικόν. ὀρνεοσκοπητικὸν δέ ἐστιν, ὅταν πετομένου τοῦδε, ἢ τοῦδε ὄρνιθος, ἢ ἔμπροσθεν, ἢ ὀπίσω, ἢ δεξιὰ, ἢ ἀριστερὰ, ἐπιγνῶμεν ὅτι τόδε σημαίνει. λέγεται δὲ τοῦτο εὑρηκέναι πρῶτος Τηλέγονος. οἰκοσκοπητικὸν δέ ἐστιν, ὅταν τὰ ἐν τῷ οἴκῳ συμβαίνοντα ἐξηγήσεται, καὶ εἴπῃ, τόδε σημαίνει, ἐπειδή φησιν ἐν τῇ σελήνῃ ἐφάνη γαλῆ, ἢ ὄφις, ἢ μῦς, ἢ ἐκε-

νώθη ἔλαιον, ἢ μέλι, ἢ οἶνος, ἢ ὕδωρ, ἢ πέφρα, ἢ ἄλλο τι, οἷς τόδε σημαίνει. ταῦτα δὲ σιωπηγράψατο Ξενοκράτης. ἐνόδιον δέ ἐστιν, ὅταν ἐξηγήσεται τὰ ἐν τῇ ὁδῷ ὑπαντῶντα· ὅτι ἐὰν ὑπαντήσῃ τις τόδε βαστάζων, τόδε σοι συμβήσεται· ἐὰν δὲ ὁ δεῖνα, τόδε· ὅπερ σιωπηγράψατο Πόλλις. χειροσκόπιον δέ ἐστιν, ὅταν διὰ τῆς ἐκτάσεως τῶν χειρῶν, ἢ διὰ τῶν ῥυτίδων εἴπωμεν, ὅτι τόδε αὐτὸν μένει· ἢ ὅτι μνηστεύεται, ἢ ὅτι παιδοποιεῖ, ἤ τι τοιοῦτον· ὃ σιωπηγράψατο Ἕλενος. παλματικὸν δέ ἐστι, τὸ διὰ τῶν πάλσεως τοῦ σώματος γνωριζόμενον· οἷον ἐὰν πάλλῃ ὁ δεξιὸς ὀφθαλμὸς, τόδε σημαίνει· ἢ ὁ μηρός· ἢ ὁ ὦμος· ἤ τι τῶν τοῦ σώματος, ὃ σιωπηγράψατο Ποσειδώνιος.

Ὁ ὌΝΟΣ ΔΙΑ ΤΙ ΈΝ ΤΩΙ ΟΥΡΑΝΩΙ ΤΙΜΑΤΑΙ.

Ὁ ὄνος τιμᾶται ἐν τῷ οὐρανῷ δι' αἰτίαν τοιάνδε· ὅτε ἐπὶ γίγαντας ἐστρατεύοντο οἱ θεοὶ, λέγεται Διόνυσον καὶ Ἥφαιστον καὶ Σατύρους ἐπὶ ὄνων πορεύεσθαι· ὕπου δὴ ὁρωμένων αὐτοῖς τῶν Γιγάντων, ὠλησίον ὄντες, ὠγκήθησαν οἱ ὄνοι. οἱ δὲ Γίγαντες τῆς φωνῆς ἔφυγον· διὸ ἐτιμήθησαν ἐν τῷ καρκίνῳ εἰς ἐπὶ δυσμάς.

ΠΕΡΙ ΤΟΥ ΌΡΕΣΤΟΥ.

Ὀρέστης, υἱὸς Ἀγαμέμνονος καὶ Κλυταιμνήστρας. ἀγαγόντος δὲ τοῦ πατρὸς αὐτοῦ ναῦς εἰς Ἴλιον, καὶ ἐκπορθήσας αὐτὴν, ἀποστρέψας τε οἴκαδε, ἀναιρεῖται αὐτὸς ὁ Ἀγαμέμνων ὑπὸ Αἰγίσθου τοῦ Θυέστου δόλῳ ἐπ' εὐνοίᾳ· ὅτος γὰρ περὶ τὸν καιρὸν τῆς ἀποδημίας, ἐμοίχευε τὴν Ὀρέστου μητέρα. κατὰ δὲ τὰς τραγικὰς, αὐτὴ ἡ Κλυταιμνήστρα ἀνεῖλεν αὐτὸν, χιτῶνι μὴ ἔχοντι ἔκδυσιν τραχήλου. Ὀρέστης δὲ ταῦτα μὴ φέρων, ἐκδικησάμενος τὸν φόνον τοῦ πατρὸς, ἀνεῖλεν Αἴγισθον καὶ Κλυταιμνήστραν. μητροκτονήσας δὲ τολμήσας, ἀπῆλθε πρὸς Θόαντα τὸν δίκην ἔδωκεν ἐμμανὴς γενόμενος. Τυνδαρέου δὲ τοῦ πατρὸς τῆς ἀνηρημένης κατηγορήσαντος αὐτοῦ, ἔμελλον κοινὴν Ἀργεῖοι ψῆφον ἐκφέρεσθαι περὶ τούτου, τί δεῖ παθεῖν τὸν ἀσεβήσαντα. κατὰ τύχην δὲ Μενέλαος ἐκ τῆς πλάνης ὑποστρέψας, νυκτὸς μὴν Ἑλένῃ ἐσαπέστειλεν εἰς τὸ Ἄργος· μεθ' ἡμέραν δὲ αὐτὸς ἦλθε· καὶ παραλαβόμενος ὑπὸ Ὀρέστου βοηθῆσαι αὐτῷ, ἀντιλέγοντα Τυνδάρεων μᾶλλον ἠλαβήθη. λεχθέντων δὲ λόγων ἐν τοῖς ὄχλοις, ἐπηνέχθη τὸ πλῆθος ἀποκτεῖναι Ὀρέστην. σιωπῶν δὲ τούτοις ὁ Πυλάδης ὁ φίλος

αὐ-

ἀυτῷ, σιωεβύλευσε πρῶτον Μενελάῳ τιμωρίαν λαβεῖν, Ἑλένῃ ἀποκτείναντας. αὐτοὶ μὲν ὖν ἐπὶ τύτοις ἐλθόντες, διεψεύσθησαν τῆς ἐλπίδος, θεῶν τὴν Ἑλένην, ὡς ὁ μῦθος, ἁρπασάντων. τὴν ὃ Ἑρμιόνην δείξας ὁ Ἀπόλλων, ἔδωκεν εἰς χεῖρας αὐτοῖς· οἱ δὲ, ταύτην φονεύειν ἔμελλον. ἐπιφανεὶς δὲ Μενέλαος, καὶ βλέπων ἑωυτὸν ἅμα γυναικὸς καὶ τέκνων ἐστερημένον ὑπ' αὐτῶν, ἐπεβάλετο τὰ βασίλεια πορθεῖν· οἱ δὲ, φθάσαντες, ὑφάψειν ἠπείλησαν. ἐπιφανεὶς δὲ ὁ Ἀπόλλων, Ἑλένην μὴ ἔφησεν εἰς θεὰς διακομίζειν. Ὀρέστην δὲ Ἑρμιόνην ἐπέταξε λαβεῖν· Πυλάδῃ δὲ Ἠλέκτραν συνοικῆσαι· καθαρθέντα δὲ τὸν φόνον, Ἄργους ἄρχειν.

ΟΡΕΣΤΟΥ ΓΕΝΕΑΛΟΓΙΑ.

ΖΕΥΣ γεννᾷ Τάνταλον ἐκ Πλούτης.

ΤΑΝΤΑΛΟΣ

ΠΕΛΟΠΑ, ὃν ἐκ Ἱπποδαμείας, καὶ Πίνδαρον, λαγέται ἓξ, ἧγον ἡγεμόνες, ΑΤΡΕΥΣ, ΘΥΕΣΤΗΣ, ΠΙΤΘΕΥΣ, ΑΛΚΑΘΟΥΣ, ΠΛΕΙΣΘΕΝΗΣ, ΧΡΥΣΙΠΠΟΣ.

ὃ ΠΕΛΟΠΟΣ

ΑΤΡΕΥΣ	ΘΥΕΣΤΗΣ,	ΠΛΕΙΣΘΕΝΗΣ.
ὃ	ὃ	Ἡσίοδος υἱὸν
ΑΓΑΜΕΜΝΩΝ, ΜΕΝΕΛΑΟΣ,	ΑΙΓΙΣΘΟΣ.	Πλεισθένης τὸν Ἀγαμέμνονα ἴδιον.
ὃ ΟΡΕΣΤΗΣ, ὃ ΕΡΜΙΟΝΗ		
(ὃ ΤΙΣΑΜΕΝΟΣ) ἐξ ΕΛΕΝΗΣ.		
ΗΛΕΚΤΡΑ,		
ΙΦΙΓΕΝΕΙΑ,		
ΧΡΥΣΟΘΕΜΙΣ,		
ΛΑΟΔΙΚΗ.		

Φασὶ δὲ τὸν Ὀρέστην φιλίαν τοσαύτην ἐσχηκέναι πρὸς τὸν Πυλάδην, καὶ Πυλάδην πρὸς τὸν Ὀρέστην, ὥστε καὶ ἀποθανόντος Πυλάδου, συγκαπλῆναι Ὀρέστην μέχρι τοῦ Ἅδου.

ΠΕΡΙ ΟΡΝΙΘΟΣ ΤΟΥ ΕΝ ΟΥΡΑΝΩ.

Ο Νεμεσις. οὗτος ὁ Ζεὺς ὤν, εἰς κύκνον μεταβληθεὶς, ὅτε Νεμεσέως ἦρα, πᾶσαν μορφὴν ἀμειβόμενος, ἐπὶ τῷ τὴν παρθενίαν φυλάξαι. καταπτὰς τοίνυν εἰς Ῥαμνοῦντα τῆς Ἀττικῆς, ἔγνω Νέμεσιν. ἡ δὲ ὠὸν τίκτει· ἐξ οὗ τὸν Ἑλένην ἐκκολαφθῆναι Κράτης φησὶν ὁ ποιητής. ἱπτάμενον ὃν οὗτος, ἀνέδραμον εἰς οὐρανὸν, διὸ καὶ οὗτος ἀφέθησαν· οἱ δὲ πλείονες ἐπὶ τῇ Λήδᾳ ταῦτα ἐμυθεύσαντο.

ΠΕΡΙ ΤΟΥ ΟΡΦΕΩΣ.

Ὁ Ὀρφεὺς γένοιτο μυστικὸς, Θρᾷξ τὸ γένος· ὃς λέγεται ὅτι ὕτω φροσηνῶς ἤδειν, ὥστε ἑπακολυθεῖν τῇ ὠδῇ αὐτοῦ, μᾶλλον ὑ τῇ μαγείᾳ αὐτοῦ, τὰς δρῦς, ⸗ τὰ ζώων τὰ ἄλογα, ⸗ τὰς λίθους, ⸗ τὰς ποταμούς. δοκεῖ ὑ ταῦτα Βάκχαι μανεῖσαι, αἵ τινες φρόβατα διέσπασαν ἐν τῇ Πιερίᾳ. πολλὰ δὲ ⸗ ἄλλα βιαίως εἰργάζοντο, πρτόμεναί τε εἰς τὸ ὄρος, ὅθι ⸗ διέτελουν τὰς ἡμέρας. ὡς δὲ ἔμειναν οἱ πολῖται, δεδιότες φὲ τὴν γυναικῶν ⸗ θυγατέρων, μεταπεμψάμενοι τ' Ὀρφέα, ἐδέοντο μηχανᾶσθαι, ὁν τρόπον καταγάγοι αὐτὰς ἐκ τοῦ ὄρους. ὁ ὑ σιωπαξάμενος τῷ Διονύσῳ ὄργια, κατάγει αὐτὰς βακχευούσας κιθαρίζων. αἱ δὲ νάρθηκας τότε φρῶτον ἔσχισαι, καπέβαινον ἐκ τοῦ ὄρους, ⸗ κλῶνας δένδρων παντοδατῶν. τοῖς δ' ἀνθρώποις θαυμαστὰ τότε θεασαμένοις, ἐιεφαίνετο φρῶτον τὰ ζύλα καταγόμενα· ⸗ ἔφασαν, ὅτι Ὀρφεὺς κιθαρίζων ἄγει τὴν ὑλὶν ἐκ τοῦ ὄρους, ⸗ ἐκ τούτου ὁ μῦθος φροσανεπλάσθη· φασὶ δὲ Ὀιάγρου ⸗ Καλλιόπης υἱὸν τὸν Ὀρφέα, ⸗ φρὸ τ Τρωϊκῶν, γεγονέναι ⸗ μαθητὴν Λίνου· βιῶναι δὲ γενεὰς ἐννέα· οἱ δὲ, ιά. ἔγραψε ποιήματα, ἅτινα ὡς θεολογίας ἔχουσιν Ἕλληνες. ἐν δὲ τούτοις τοῖς ποιήμασι διὰ μυθικῶν συμβόλων λέγει τὰς τῶν θεῶν τάξεις τε καὶ σειράς· καὶ τίνων ἕνα ἔργα· καὶ ποῖα τίνων πελέσματα· καὶ τίνες ἕνων δημιυργοί· τελασμός· λέγονται εἶ) Ἰωνῶ τοῦ τραγικοῦ. ἐν δὲ τούτοις τὰ ἱεροστολικὰ καλούμενα· κλίσεις κοσμικάνας· νεοπυτικά. ἱερὰς λόγους ἐν ῥαψωδίαις κδ'· λέγονται δὲ εἶ) Θεογνήτου τοῦ Θεσσαλοῦ· οἱ δὲ, Κέρκωτος τοῦ Πυθαγορείου. χρησμοὺς οἱ ἀναφέρονται εἰς Ὀνομάκειτον. πελετὰς, ἃς καὶ αὐτὸς εἰς Ὀνομάκειτον ἀναφέρουσί τινες. φοὶ λίθων γλυφῆς· ἥτις ὀγδοηκοντάλιθος ἐπιγράφεται. σωτήρια· ταῦτα Τιμοκλέους τοῦ Συρακουσίου, ⸗ Περγίνου τοῦ Μιλησίου λέγεται. κρατῆρας· τοῦτον Ζωπύρου φασί. θρονισμοὺς μητρώους καὶ Βακχικά· ταῦτα Νικίου τοῦ Ἐλεάτου φασίν. εἰς Ἅδου κατάβασιν· τοῦτο Ἡροδίκου τοῦ Περινθίου. πέπλον καὶ δίκτυον· καὶ τοῦτο Ζωπύρου τοῦ Ἡρακλεώτου· οἱ δὲ, Βροτίνου. ὀνομαστικὰ ἔπη, α· ἀστρονομίαν· ἀμμοκοπίαν· θυητολικόν· ὠοθυτικὰ, ἢ ὠοσκοπικὰ ἐπικῶς· καταζωστικόν· ὕμνους· κορυβαντικόν· καὶ φυτικὰ, ἃ Βροντίνου φασίν.

ΠΕ-

ΠΕΡΙ ΤΟΥ ΌΣΙΡΙΔΟΣ.

Ὄσιρις, βασιλεὺς ὑπάρχων Αἰγύπτου, παρ' Αἰγυπτίοις ἐνομίσθη θεός· καὶ οἱ μὲν λέγουσιν αὐτὸν τὸν αὐτὸν εἶναι τῷ Διονύσῳ· οἱ δέ, ἕτερον. τοῦτον δὴ τὸν Ὄσιριν ὑπὸ τοῦ Τυφῶνος, (δαίμων δέ ἐστιν οὗτος) καὶ τῶν συνόντων, ἐπιβουλεύεσθαι φασί, καὶ κατατμηθῆναι μεληδόν· καὶ μέγα πένθος γενέσθαι τοῖς Αἰγυπτίοις· ὥστε ἐπὶ πάντα χρόνον μνήμην ποιεῖσθαι τοῦ παραγμοῦ τοῦ Ὀσίριδος· ὥσπερ δέ φασι, τὸν Διόνυσον ὑπὸ τῶν Τιτάνων διασπασθῆναι, οὕτω καὶ τὸν Ὄσιριν ὑπὸ τοῦ Τυφῶνος. ὁ Ὄσιρις δὲ καὶ ἡ Δήμητρα γυνὴ Διονύσου, μνᾶται Ὡραίᾳ τοῦ υἱοῦ αὐτοῦ τὸν Τυφῶνα καὶ πάντας τοὺς ἐκείνων φονεῖς ἀναιρεῖ. τὰ δὲ τοῦ Διονύσου μέλη καὶ μόρια συλλέξασα, ἑκάστῳ ναὸν καὶ ἱερὸν ᾠκοδόμησεν ἐν Φηγάλαις. Φηγάλη δέ, πόλις Αἰγύπτου, τὸ μέγιστον ἦν τῶν ἱερῶν· ὃς καὶ μέγας ὅρκος τοῖς Αἰγυπτίοις ἐτύγχανε· μία τῶν ἐν Φηγάλῃ ἡ Ὄσιρις. πάντα γοῦν εὑρόντα τὰ μόρια, ὡς ἔφην, καὶ δημαμένη πάντας ναούς, τὰ δὲ παιδογόνα μόρια μὴ εὑρόντα, τοὺς δερματίνους φαλλοὺς ἐπενόησε κρεμαννύειν ἕκαστον ἑαυτῷ, καὶ σὺν ἴστοις ὀρχεῖσθαι.

ΠΕΡΙ ΤΟΥ ΌΦΙΟΥΧΟΥ.

Ὁ Ὀφιοῦχος, ὁ Ἀσκληπιὸς λέγεται εἶναι, ὁ τὴν ἰατρικὴν ἐφορῶν. σύμβολον δὲ ὁ ὄφις τοῦ ἀγῆρω· λέγεται γὰρ ἀποδύεσθαι ὁ ὄφις τὸ γῆρας, καὶ ἀνανεοῦσθαι. ἐπεὶ ἓν ὁ Ἀσκληπιὸς διὰ τῆς ἰατρικῆς ἀνανεοῖ τὰ ἀνθρώπινα σώματα, ποιοῦσιν αὐτὸν ἀμφοτέροιν τὸν ὄφιν κατέχειν καὶ τῷ ὄφει ἐφεστηκέναι. θέλοντες δὴ οἱ Θεοὶ ἀπὸ ἀγάλματος αὐτὸν ἀνιερῶσαι, δι' ἄστρων αὐτὸν ἐν τῷ οὐρανῷ ἀνιέρωσαν· καὶ γὰρ ὑπ' αὐτῶν φθονηθεὶς ἰατρικώτατος ὢν ἐπῆρχον, ὡς καὶ τοὺς ἤδη τεθνηκότας ἐγείρειν, κεραυνοῦται. οἱ δέ φασιν διὰ τοῦ οἴστρου τοῦ Ἀπόλλωνος ἀναιρεθῆναι, ᾧ ἐχρήσατο καὶ Κυκλώπων τοῖς ἐργασαμένοις Διὶ τὸν κεραυνόν.

ΠΟΙΗΤΑΙ.

ΠΕΡΙ ΟΡΦΕΩΣ ΤΟΥ ΚΙΚΟΝΑΙΟΥ, ΚΑΙ ΤΩΝ ΑΛΛΩΝ.

Ὀρφεύς, Κικονάιος, ἢ Ἀρκάς, οἱ Βισαλτίας τῆς Θρακικῆς, ἐποποιός. γέγονε δὲ καὶ οὗτος πρὸ Ὁμήρου· δύο γενεαῖς πρεσβύτερος ὢν τῶν Τρωϊκῶν. ἔγραψε μυθοποιίαν· ἐπιγράμματα,

ὕμ-

ὕμνως· ὁ ἕτερος ὁ Δρύστης, ἐποποιός. Διονύσιος δὲ τὸν ἕβδομον γεγονέναι λέγει· ὅμως διαφέρονται εἰς αὐτὸν τινα ποιήματα. καὶ ἄλλος Κροτωνιάτης ἐποποιός, ὃν Πεισιστράτῳ σωθῆναι τῷ Ἰφάνους Ἀσκληπιάδης φησὶν ἐν τῷ ἕκτῳ βιβλίῳ τῶν γραμματικῶν. ἔγραψε δεκαεπείαν, Ἀργοναυτικὰ, καὶ ἄλλα τινά. καὶ ἄλλος Καμαρινάιος ἐποποιός, ὃ φασιν εἰς τὸν εἰς Ἅιδου καταβασιν τὸν Θρᾳκὸς Ὀρφέως.

ΟΤΙ ΑΙΓΥΠΤΙΟΣ Ο ΟΜΗΡΟΣ.

Ὁ Ὅμηρος υἱὸς Αἰγυπτίων, Δμασαγόρα καὶ Αἰθρας, Ἀλεξάνδρῳ τῷ Πριάμου ἱστόρηται. Ἰοφὸς δὲ αὐτοῦ, προδῆτίς τις, θυγάτηρ Ὥρου ἱερέως Ἴσιδος· ἧς ἐν τῷ μαστῶν, μέλι ῥεῦσαί ποτε εἰς τὸ στόμα τοῦ παιδίου· ἐν τῷ βρέφος ἐν νυκτὶ φωνὰς ἐννέα προέσθαι· χελιδόνος, ταὼνος, ἀετοῦ, κορώνης, πέρδικος, πορφυρίωνος, ψαρὸς, ἀηδόνος καὶ κοττύφου. εὑρεθῆναί τε τὸ παιδίον μὴ τεσσαρῶν ἐννέα πηλίζον ἐπὶ τῆ κλίνης· εὐωχημένων δὲ πρὸς τοῖς τοῦ παιδὸς τὴ Σίβυλλαν, ἐμμανῆ γεγονυῖαν, ἔπη σχεδιάσαι, ὧν ἀρχή·

Δμασαγόρα πολύτικε, ——

ἐν οἷς ἐν μεγακλεῆ ἐν στεφανίτην αὐτὸν προσειπεῖν· ἐν ναὸν κτίσαι κελεῦσαι ἐννέα πελεκῶν *· ἐθέλειν δὲ τὰς Μούσας· τὸν δὲ μὴ τοῦτο ποιῆσαι, ἐν τῷ παιδὶ ἀνδρωθέντι ἐξελεῖν τὸ φάγμα· ἐν τὸν ποιητὴν ὕστερον σεμνῦναι τὰ ζῶα οἷς βρέφος ὢν σιωπῆσαι· ἐν ποιῆσαι αὐτὰ, τῷ Διὶ τῷ ἀμβροσίαν κομίζοντα.

ΠΕΡΙ ΤΗΣ ΕΝ ΑΡΚΑΔΙΑ ΤΕΛΕΤΗΣ ΤΟΥ ΟΜΗΡΟΥ.

Ὅμηρος φησὶ Διὶ τῷ Ἀρκαδίαν γεγονὼς, (χώρα δὲ αὕτη τῆς Πελοποννήσου) περιέτυχεν ἁλιεῦσι φθειριζομένοις, καὶ ἠρώτα αὐτούς· ὦ ἄνδρες Ἀρκάδιοι, ἁλιεῖς ἢ πηγεῖον, ἆρα ἐθηρεύσαμέν τι; οἱ δὲ ἁλιεῖς ἀπεκρίναντο τοῦτο τὸ ἔπος,

Οὓς ἕλομεν λιπόμεσθ', οὓς δ' οὐχ ἕλομεν, φερόμεσθα.

ὁ δὲ νοῦς τοῦδε τοῦ ἔπους τοιοῦτος· οἱ μὲν φθεῖρας ἐθηρεύσαμεν, ἀπεκτείναμεν ἐνταῦθα· οὓς δὲ οὐκ ἰσχύσαμεν θηρεῦσαι, φέρομεν ἐν τοῖς ἱματίοις. οὐκ ἐνόησε δὲ, φασὶν, Ὅμηρος τοῦτο τὸ ἔπος· καὶ μικρὸν ἐκεῖ συγγενόμενος, ἀπέθανεν ἀπὸ λύπης. λέγουσι δὲ εἰ καὶ χρησμὸν τὸν χρησμῳδηθέντα Ὁμήρῳ, ὅτι ὅταν αὐτῷ προτεθείη ζήτημα, ἐν μὴ εὕροι, τότε ἀποθανεῖται. ΠΕ-

* Ad marg. περιδῶν.

Π

ΠΕΡΙ ΤΟΥ ΠΑΛΑΜΗΔΟΥΣ.

Παλαμήδης ὁ Ναυπλίου ἢ Πλημίτης, Εὐβοέως τὸ γένος (Εὔβοια δὲ, νῆσος ἀπαντικρὺ τῆς Ἀττικῆς,) σοφώτατος ὢν, εὗρε τὸ ἀριθμεῖν, καὶ αὐτὸ τὸ ταβλίζειν κεχρῆσθαι καὶ ἄλλαις πολλαῖς μεθόδοις. οὗτος εἷς ὢν τῶν συστρατευσαμένων ἐπὶ τὸ Ἴλιον, ἀπέθανε δὲ ὑπὸ Τρώων κατ' ἐπιβουλὴν τοῦ Ὀδυσσέως· Ὀδυσσεὺς γὰρ εἶχεν ἐχθρὸν, διὰ τοιαύτην αἰτίαν· τοῦ Ἀγαμέμνονος προτρεπομένου τὸν Ὀδυσσέα ἐπὶ τὴν ἐπὶ Τροίαν ἔξοδον, ἐκ μὴ θέλων ἀπελθεῖν ὁ Ὀδυσσεὺς, ἐκ μανίαν προσποιησάμενος, ἐκ βαλὼν ὄνον, καὶ δήθεν ἀροτριῶν ὑπὸ μανίας προσποιήσει· ὁ Παλαμήδης ἤλεγξεν ὅτι δὴ ὑ μαίνεται· ἤλεγξε δὲ αὐτὸν ἔτως· Τηλέμαχον τὸν υἱὸν αὐτοῦ προθεὶς πρὸ τοῦ ἄροτρου, ἔτα φθάσας ὁ Ὀδυσσεὺς περὶ τὸ παιδίον, ἐπῆρε τὸ ἄροτρον ἵνα μὴ πλήξῃ τὸ παιδίον· καὶ ἐγνώσθη ὅτι νηφάλιός ἐστι. τούτῳ δὲ τὴν μῆνιν μηνίων ὁ Ὀδυσσεὺς ὑπὸ τῇ Τρωάδι, ποιεῖται πλαστὴν ἐπιστολὴν, ὡς ἀπὸ Πριάμου ὡς προδότου τὴ Παλαμήδους προδοσίας τῶν Ἑλλήνων, ἐκ ὑποτίθησιν ὑπὸ τῇ τοῦ Παλαμήδους σκηνῇ. ὕστερον δὲ κατηγορίας ὑπ' αὐτοῦ γενομένης τοῦ Παλαμήδους ὡς προδότου, εὑρέθη ἡ ἐπιστολὴ κατακείνουσα αὐτόν· καὶ τέθνηκεν ὑπὸ Ἀγαμέμνονος καὶ πάντων τῶν Ἑλλήνων, λιθοβοληθείς. γέγονε δὲ ὑπὲρ Λεποτύμνου, ὄρους Μηθύμνης, ἱερὸν τοῦ ἀνδρός. τότε μαθὼν τὴν ἴστου ἀναίρεσιν ὁ τούτου πατὴρ Ναύπλιος, ἔπλευσε πρὸς τοὺς Ἕλληνας, καὶ τὰ τοῦ παιδὸς ἀπῄτει ποινήν. ἀφράκτου δὲ ὑποστρέψας, πάντων χαριζομένων τῷ βασιλεῖ Ἀγαμέμνονι, μεθ' οὗ Παλαμήδου ἀνεῖλεν Ὀδυσσεὺς, φθαυλέων λοιπὸν τὰς Ἑλληνικὰς χώρας, παρεσκεύασε τὰς τῶν Ἑλλήνων γυναῖκας μοιχευθῆναι· Κλυταιμνήστρᾳ, Αἰγίσθῳ· Αἰγιάλειᾳ, τῷ υἱῷ Σθενέλου· Μήδαν δὲ τοῦ Ἰδομενέως ὑπὸ Λεύκου, ἣν καὶ ἀνεῖλε Λεῦκος, καὶ Κλησυδήραν τὴν θυγατέρα αὐτῆς, ὑπὸ τῷ ναῷ καταφευγούσας. καὶ δέκα πόλεις τῆς Κρήτης ἀποστάσας, ἐτυράννησε, ἐκ μετὰ τὸν Τρωϊκὸν πόλεμον, καὶ τὸν Ἰδομενέα τῆς Κρήτης καταίροντα, ἐζήλασε. ταῦτα πάντα ταῖς τοῦ Ναυπλίου γέγονε συσκευαῖς. ὕστερον ὑπ' ἀκούσας τοῦ τῶν Ἑλλήνων ἐπάνοδον ἐπὶ τὰ πατρῷα, ἦψε φρυκτὸν ἐπὶ τὰ κοῖλα τῆς Εὐβοίας, Καφηρέα λεγόμενα, νῦν δ' Ξυλοφάγον καλούμενον, ὅπου πλέυσαντες οἱ Ἕλληνες, αὐτοῦ δοκοῦν λιμένα εἶναι, διεφθάρησαν.

ΠΕΡΙ ΤΟΥ ΠΑΛΛΑΔΙΟΥ.

ΠΑλλάδιον, ζώδιον ἦν μικρὸν ξύλινον ὃ Τροίᾳ διοπετὲς, ὃ ἐξ ἀέρος ἄνωθεν ὑρανόθεν πεσόν. φασὶ δὲ αὐτὸ ἀνδρὸς δορᾶν ἀμφιέσθαι, σέμμα τε ἔχειν καὶ ἠλακάτην. ἐν δὲ τῇ κεφαλῇ πῖλον, καὶ δόρυ ἐν τῇ δεξιᾷ· καὶ πεπλεσμένον εἶ) ἔλεγον φυλάττον τὴ βασιλείαν τῆς Τροίας. διὸ καὶ Ὀδυσσεὺς λάθρᾳ εἰσελθὼν αὐτὸ κέκλοφε.

ΠΕΡΙ ΤΗΣ ΠΑΛΛΑΔΟΣ.

ΠΑλλὰς ἡ Ἀθηνᾶ, ὡσῷ τὸ πάλλειν τὰ ὅπλα· πολεμικὴ γὰ, ὃ ἐν τῷ χυνᾷ ἀπὸ τ τῦ Διὸς κεφαλῆς, ἐξέθορε τὰ ὅπλα κινῦσα· ὡπλισμένη γὰ ἡ φρόνησις λέγεται, διὰ τὸ καταπληκτικὸν, ὃ ἔπανδρον, καὶ τὸ σαθρόν· ἢ ὡσῷ τὸ παλλομένῳ τῷ τῦ Διονύσυ καρδίαν ἀνενεγκεῖν τῷ Διΐ. Διόνυσον γὰ τὸν ζαγρέα καλέμβυον, υἱὸν Διὸς καὶ Περσεφόνης ὑπάρχοντα, μελλητὸν οἱ Τιτᾶνες ἐσπάραξαν, ὃ τ καρδίᾳ ἔτι παλλομένῳ ἀνήνεγκεν. ἢ ὅτι ἐν ταῖς συμβολαῖς τ μάχης τῶν γιγάντων καὶ τ θεῶν, Πάλλαντα ἕνα τ γιγάντων ἀνεῖλεν· ἢ Πάλλαντα τ ἴδιον πατέρα πτερωτὸν ὑπάρχοντα, ὃ διάζοντα ταύτῃ ὡς θέλοντα συγγενέσθ. ἢ τ παρθενίαν τιμῶσα, τῦτον ἀνεῖλε· ὃ τὸ δέρμα αὐτῦ ὡς αἰγίδα περιεβάλλετο· καὶ τὰ πτερὰ τῇ τοῖς ποσὶ ταύτης προσήρμοσεν· ὅθεν αὐτὴν ἐθεοποίησαν οἱ Ἕλληνες, καθάπερ καὶ τῇ πολεμικωτάτῃ Ἀθηνᾶν, Ἰωνίδα μὲν ὑπάρχυσαν θυγατέρα, Ἰοδάμᾳ δὲ ἀδελφήν· ἣν Ἰοδάμας ἀντιπολεμῶσαν ἀνεῖλεν, ὡς φησι Σιμωνίδης ὁ γλυκαλόγος Πηλιάδης·

——— ἐθάμβεον εἰσορόωντες
Ἔργον Ἀθηναίης Ἰδωνίδῃ, ἠδὲ ὃ αὐτὸς
Ἥρωας χείρεσσιν ἐπικρατέοντας ἐρετῶν.

Φερεκύδης ὃ παλλάδια λέγει τὰ χειροποίητα μορφώματα, καὶ πᾶν τὸ ἐξ ὑρανῦ εἰς γῆν βαλλόμενον. ὃ τὸ Παλλάδιον ὃ τῆς Ἀθηνᾶς, τοιῦτον ἦν τεῖπηχυ, ξύλινον, ἐξ ὑρανῦ καταπεσόν, ὡς φασιν, ὑ Πεσινῦντι τῆς Φρυγίας. ὅθεν ὁ Διόδωρος καὶ Δίων τ τῦτον ἀπὸ τ πολλὰς ἐκεῖ πεσεῖν ὑ τῇ συμβολῇ τ πολέμυ, ὑπότε διὰ λὴν ἁρπαγὴν Γανυμήδυς ἐμάχοντο Τάνταλῳ ὁ ἐραστὴς Γανυμήδυς, καὶ Ἴλιος ὁ ἀδελφὸς αὐτῦ. Ἰωάννης δὲ ὁ Ἀντιοχεὺς ἐξ ὑρανῦ λέγει πεσεῖν τὸ Παλλάδιον, Ἄσιον δέ τινα φιλόσοφον μαθηματικὸν ποιῆσαι ὡροσκόπον κάλλιστον, ἀπόρθητον

εἶ)

εἰ) τ πόλιν ἐκείνῳ, ἔνθα ἂν τοῦτο μένῃ πεφυλαγμένον ϗ ἄσυλον, χαρίσαντα ὃ τὸ τοῦτον Παλλάδιον τῷ Τρωΐ. Ἀπολλόδωρος δὲ λέγει, μ τὸ κτίσαι Ἴλον τ Ἰλιον, τῇ βοῒ ἀκολουθήσαντα, εὐξαμ ἰδεῖν σημεῖον, ϗ τότε ἰδεῖν τὸ Παλλάδιον, ὃ τείπηχυ ἦν τῷ μεγέθει, τοῖς ὃ ποσὶ συμβεβηκὸς τῇ δεξιᾷ δόρυ ἔχον, ἰῇ λαιᾷ ἠλακάτῳ ϗ ἄτρακτον. φησὶ γδ, Ἀθηνᾶν παρὰ τῷ Τείτωνι τρέφεσθ, ᾧ θυγάτηρ ἦν Παλλάς, ἀμφοτέρους διδασκάλους τὰ κ πόλεμον εἰς φιλίαν ἐλθεῖν. μελλόντης δὲ πλάσσειν τῆς Παλλάδος, φοβηθεὶς ὁ Ζεὺς, ἀνέλαιτε τλῳ αἰγίδα, τρωθεῖσα ὑπὸ τ Ἀθηνᾶς πίπτει· Ἀθηνᾶ ὃ περίλυτος γειομένη, ξόανον ἐκείνης ὅμοιον κατασκευάσασα, περιέθετο τοῖς στέρνοις, ὃ λέγεται αἰγίδα· ϗ ἐτίμα ἱδρυσαμένη παρὰ τῷ Διΐ. ὕστερον ὃ ἡ Ἠλέκτρα τοῦτο προσεγγίσασα ἔρριψεν εἰς τ Ἴλιον τ μιτονύμφ· τοῦτο δηλοῖ, ὅτι ἡ τιμῶσα παρθενίαν, τὰς γαμφευθείσας μισεῖ.

ΠΕΡΙ ΤΟΥ ΠΑΝΟΣ.

Πηνελόπην τ τοῦ Ὀδυσσέως γυναῖκα, τότε πλανωμένου τὴν πλάνην ἣν ἐπλανήθη μ τὸν Τρωϊκὸν πόλεμον, πολλοί τινες ἦλθον μνηστευσόμενοι. ἡ δὲ ἡμέραν ἐξ ἡμέρας ἀνεβάλλετο, μηδενὶ θέλουσα γαμηθῆναι διὰ τὸ προσμένειν αὐτὴν τὸν Ὀδυσσέα τ ἄνδρα αὐτῆς. πάντες δὴν δραξάμενοι, συγγεγόνασιν αὐτῇ· ϗ ἐγκυμονήσασα, ἔτεκε τὸν Πᾶνα, διὸ ϗ Πᾶν καλεῖται, ὅτι ἐκ πάντων ἐστάρη. λέγουσι δὲ οἱ Αἰγύπτιοι, αὐτῆς τῆς μίξεως εἰ) ἔφορον τὸν Πᾶνα, ἔνθεν ϗδ τραγοσκελῆ αὐτὸν ποιοῦσι διὰ τὸ κατωφερῆ εἰ) τὸν τράγον, ὃν καλοῦσιν οἱ Αἰγύπτιοι Μένδητα. ἕτεροι δὲ λέγουσι ὅτι πάνυ εὐμορφοτάτη ϗ σώφρων ἦν ἡ Πηνελόπη· ϗ διὰ τοῦτο ἠράσθη αὐτῆς ὁ Ἑρμῆς, ϗ μεπεμπλήθη εἰς τράγον· ϗ ἐκοσήσασα αὐτη μανίαν, ἠράσθη τοῦ τράγου· ϗ ὀχευθεῖσα ὑπ' αὐτοῦ, σωέλαβεν ἐξ αὐτοῦ, ϗ ἔτεκε τ Πᾶνα, ϗ ἐθεοποίησεν αὐτόν. Ἐπιμενίδης ὃ ὁ τοῖς αὐλοῦ ποιήμασι, Διὸς ϗ Καλλιστοῦς Πᾶνα ϗδ Ἀρκάδα, διδύμους φησί. Ἀρίσιππος δὲ ἐν τῷ Ἀρκαδικῷ, Διὸς ϗ Νύμφης Οἰνηίδος. οἱ δὲ λέγουσι διὰ τοῦτο Πᾶν, ὅτι τῆς ὥρας ὅδε σημεῖον, τυπέσι τοῦ παντός· ὅθεν κυρίως προσαγορεύεται Πᾶν. σωοικειοῦται γδ ἡ μορφὴ τοῦ θεοῦ τῷ περιέχοντι· ϗδ τὸ μὲν τ κεράτων, ἀπομίμημα ἡλίου ϗ σελήνης, ϗ μηνίσκους φασὶν εἰ)· τὸ δὲ πάρδαλιν εἰληφθαι, τῆς γῆς, φαντασίας ἕνεκα· τὰ ὃ κάτω λάσια, τῶν τ γῆς μερῶν, ϗ τῶν ὀν

αὐτῇ πεφυκότων· τὴν σύριγγα, τῷ ἐν τῷ κόσμῳ πνευμάτων μίμησιν ἔχειν· τὸ δὲ αἰγωπὸν, τῷ καταγίδων τὰς αἰφνιδίους παραχὰς, καὶ τῷ ἀπὸ νεφῶν γινομένων ἐκ τοῦ ἀέρα μεταβολῶν, ἐκ τοῦ κάτω, τυπέσι τὸς μηδὲν δασεῖς σημαίνοντας, τὸς ὑλώδεις τόπους· καὶ τὰ κάτω βραχέα, σημαίνοντα τῷ ὀρῶν τὰ τραχέα. ἔχειν δὲ τῇ μιᾷ χειρὶ τὸ ὀρέπαιον, σημαίνον τὴν ἐργασίαν· τῇ δὲ ἄλλῃ τὸ σύριγγα σημαίνειν τὸς ἀνέμους. καὶ ἄλλως· ὁ Πὰν, ὁ αὐτός ἐστι τοῦ παντός· καὶ τὰ μὲν κάτω λάσια ἐστὶ τραγώδη, διὰ τὸ τῆς γῆς τραχύτητα ἔχειν· τὰ δ' ἄνω ἀνθρωπόμορφα, διὰ τὸ τὸν αἰθέρα τὸ ἡγεμονικὸν εἶναι τοῦ κόσμου, ὃ δὴ λογικόν ἐστι. λάγνον δὲ καὶ ὀχευτικὸν αὐλὸν παρεισάγειν, διὰ τὸ πλῆθος τῶν σπερματικῶν λόγων εἶναι ἐλήφθαι, ἐκ τοῦ κατὰ σύμμιξιν ἐξ αὐτῶν γινομένων. ἐν ταῖς ἐρήμοις δὲ διατρίβειν, μάλιστα τιμὴν μονότητα αὐτοῦ διὰ τοῦτο παρεισάμενοι· εἷς γὰρ καὶ μονογενὴς ὁ κόσμος ἐστί. τὰς δὲ Νύμφας διώκειν, ἐπειδὴ χαίρειν ταῖς ἐκ τῶν ὑγρῶν ἀναθυμιάσεσιν, ὧν χωρὶς οὐδ' οἷόν τε ὅλον ἐμφαίνειν. νεβρίδα δὲ, ἢ παρδαλιν, αὐτῷ ἐνῆφθαι, διὰ τὴν ποικιλίαν τῶν ἄλλων καὶ τῶν ἄλλων χρωμάτων, ἃ θεωρεῖται ἐν αὐτῷ. συρτὸν δὲ εἶναι, τάχα μὲν διὰ τὸ ὑπὸ παντοίων ἀνέμων διαπνεῖσθαι· τάχα δ' ἐπεὶ τὸ ἐκμέλειαν ἀγριοφανῆ ἐκ αὐστηρὰν, ἀλλ' ὑφορὸς εἴδειξιν ἔχειν. τὸ δ' ἐν τοῖς ὄρεσιν αὐτὸν, καὶ τοῖς σπηλαίοις διατᾶσθαι, καὶ τὸ τὸ πίπτως σέμμα ἐπικολόβωσεν, ὄρεσόν τι καὶ μεγαλοπρεπὲς ἔχοντος τοῦ φυτοῦ· ἔτι δὲ τὸ πανικὸν λέγεσθαι παραχὰς τὰς ἀφνιδίους ἐκ ἀλόγους. ἔστι γάρ πως ἐκ αἱ ἀγέλαι, καὶ τὰ αἰπόλια πτοεῖται, ψόφου τινὸς ἐξ ὕλης, ἢ τῶν ὑπάντρων καὶ φαραγγωδῶν τόπων ἀκούσαντα. οἰκείως δὲ καὶ τῶν ἀγελαίων θρεμμάτων ἐπίσκοπον ἐποιήσαντο, τάχα μὲν διὰ τοῦτο καὶ κεράστην ἐκ διχηλὸν πλάττοντες, τάχα δὲ τὸ διττὸν τῶν ἐξεχόντων αὐτῷ ὤτων ἀπιττόμενοι. ἴσως δ' ἂν ἔτος καὶ ὁ Πείαπος εἴη, καθ' ὃν ὡρόσεσιν εἰς φῶς πάντα. τῶν ἀρχαίων δ' εἰσὶ δαιμόνων, καὶ ἀδρὸν αὐτὸν δι' ἃ ἐφρόνουν περὶ τῆς τοῦ κόσμου φύσεως παριστάντων. ἐμφαίνει γοῦν τὸ μέγεθος τῶν αἰδοίων, τιμὴν πλεοναζόσαν ἐν τῷ αἰδοίῳ σπερματικὴν δύναμιν. ἡ δ' ἐν τοῖς κόλποις αὐτοῦ πάγκαρπος, ἢ δαψίλειαν τῶν ἐν ταῖς οἰκείαις ὥραις αὐτὸς τοῦ κόλπου φυομένων, καὶ ἀναδεικνυμένων καρπῶν. παρεισάγεται δὲ καὶ αὐτὸς φύλαξ τῶν τε κήπων, καὶ τῶν ἀμπέλων, ἐπειδὴ κατὰ τὴν γονὴν αὐτὰ ἐστι καὶ τὸ σώζειν ἃ γεννᾷ, ἐκ τοῦ Διὸς ἐντεῦθεν σωτῆρος εἰ λεγομένου. καὶ τὸ μὲν πολύφωνον ἐκ καθαρὸν αἱ ἄμπελοι πάει-

παρεστῶτι· μάλιστα δὲ τὸ ποικίλον, καὶ τὸ ἐπιτερπές, καὶ ῥᾳδίαν τὴν γένεσιν ποιούμενον οἱ κῆποι· τοιαύτῃ ὡς ἐπίπαν αὐτῷ καὶ τὴν ἐσθῆτα ἔοικεν. δρέπανον δὲ ἐν τῇ δεξιᾷ χειρὶ φορεῖν, πότερον ἐπεὶ τούτῳ χρῶνται φὸς τὴν κάθαρσιν τῶν ἀμπέλων· ἢ ἐπεὶ καὶ τὸν τηρητά τί ἐστι, καὶ καθώπλισται πρὸς ἀσφάλειαν αὐτοῦ· ἢ ὡς τοιούτης δυνάμεως μὴ τὸ ἐνεγκεῖν τὰ ὄντα, ἐκπεμπούσης αὐτά, καὶ διαφθειρούσης. ἀγαθὸς δὲ δαίμων, ἤτοι πάλιν ὁ κόσμος ἐστὶ βεῖθων καὶ αὐτὸς τοῖς καρποῖς, ἢ ὁ φροεσὼς αὐτοῦ λόγος, καθ' ὅσον δεῖται καὶ διαμερίζειν τὸ ἐπιβάλλον, ἀγαθὸς διαιρέτης ὑπάρχων. τεχνίτης δὲ καὶ σωτὴρ τῶν οἰκείων ἐστὶ, τῷ σώζειν καλῶς τὸ ἴδιον οἶκον, καὶ ὑπόδειγμα παρέχειν ἑαυτὸν καὶ τοῖς ἄλλοις. τὸ δὲ τῆς Ἀμαλθείας κέρας, οἰκεῖον αὐτῷ φρόνημά ἐστιν· ὃν ᾧ ἅμα πάντα διώκειν τὰ κατὰ τὰς οἰκείας καιρὰς φυόμενα, ἀλλ' ὑφ' ἓν τι αὐτὸν γινόμενον. φασὶ πολλὰ δ' ἀθρόως καὶ ποικιλίαν ἐμπεριέδως ἀμαλθύνειν, ἢ πάλιν κεραίζειν πάντα, διὰ τὴν χρωμένων ἐξ αὐτοῦ φὸς τὸ πονεῖν φροτροπὴν, ὡς τῶν ἀγαθῶν τοῖς μὴ μαλακιζομένοις φροστιναμένων.

ΠΕΡΙ ΤΟΥ ΠΑΝΔΑΡΕΩ.

ΠΑνδάρεω, ᾧ πατὴρ Μέροψ ὁ Μιλήσιος, κῶραι Μερόπη, Κλεοθήρα καὶ Ἀηδών. τούτων ἡ φρεσβυτάτη Ἀηδὼν, Ζήθῳ τῷ Ἀμφίονος ἀδελφῷ γαμηθεῖσα, ἔσχεν υἱὸν ἕνα τὸν Ἴτυλον. φθονοῦσα δὲ τῇ τοῦ δάεος Ἀμφίονος πολυπεκνίᾳ, (συχνοὶ γὰρ αὐτῷ ἐγίνοντο παῖδες ἐκ Νιόβης τῆς Ταντάλου, ἢ Ἱππομεδούσης,) ἐπεὶ εἶδε τὸν υἱὸν Ἴτυλον σωματοῦντα ἐκείνοις, καὶ ποτε καὶ σωματακλινόμενον, φροσαγγέλλει καιρὸν τῷ παιδὶ ἰδίᾳ κοιτασθῆναι· ἢ, κατά τινας, τὴν ἐνδοτέρω κοίτην ἐλέσθαι, ὡς ἂν, ἀφελὴ νυκτὸς αὐτὴ ἐπελθοῦσα, τὸ φρῶτον ἀποσφάξῃ τῶν Ἀμφίονος παίδων· ὁ δ', ἦν Ἀμαλεύς. τοῦ δ' Ἰτύλου ἐκλαθομένου, ἢ ἄλλως μὴ φυλαξαμένου, ἐπεισφρήσασα νυκτὸς ἡ Ἀηδὼν, ἀποσφάττει τὸ παῖδα Ἴτυλον, εἰς τὸ Ἀμαλέα δοκοῦσα βάπτειν τὸ ξίφος. ὡς δ' τὸ τοῦ φθόνου κακὸν ἔτυ καπέσκηψεν εἰς τὸν Ἴτυλον, κάλοχος ἡ μήτηρ γενομένη τῷ πένθει, αἰτεῖ θεοὺς ἐξ ἀνθρώπων χρυσαλλαγεῖσα εἰς ἀηδόνα τὴν φαινομένην, τὸ τοῦ Ἰτύλου πένθος ὅμως ἐ μετήλλαξεν· ἀλλ' ἐπὶ στόματος ἔχει αὐτὸ ἀοῦσα. ἄλλοι δὲ τὴν ἄνθρωπον Ἀηδόνα, ἐκ ἀγνοοῦσαν φασι τὸν Ἴτυλον ἀνελθεῖν, ἀλλὰ ἐκοῦσαν· κτείνασα γὰρ, φασὶ, τὸν τοῦ Ἀμφίονος Ἀμαλέα, εἶτα δὴ φύβῳ τὸ ἐκείνου γυναικὸς καὶ τὸν ἴδιον Ἴτυλον

ἐπὶ-

ἐπέσφαξε· Φθάνυσα τὴν ἐλπιζομένην ἐκ τῆς δυσμενοῦς κόλασιν· καὶ τάδε περὶ ἀηδόνος ὑπὸ τῶν περὶ τὸν Ποιητὴν ἱστορεῖται. τὸ δ' κοινῶς γραφόμενα περὶ αὐτῆς ὑπὸ τῶν μετ' Ὅμηρον, ἐν τοῖς περὶ Πανδίονος λεχθήσεται. ἄλλως· Πανδαρέου, δύο κύρας τοκέας ληφθείσας, ἐκόμισεν Ἀφροδίτη. ὡραίας δὲ γάμου γενομένας ἁνηρέψαντο Ἅρπυιαι, καὶ παρεδόθησαν Ἐριννύσιν ἀμφιπολεύειν. ἴσως γὰρ περικαλλεῖς μὲν ὄντα, διὰ ὀρφανίαν δ' δυσπραγοῦσαι, καὶ εἰς ὑποδύσκολον, καὶ, οἷον εἰπεῖν, ἐριννυώδες ἦθος μεταβληθεῖσαι τῇ λύπῃ, ὤχοντο ἀνώνυμοι, καὶ διὰ τοῦτο ἀνέμοις ἐπαχθῆναι, καὶ Ἐριννύσι παραδοθῆναι μυθεύονται. ἡ δὲ Πηνελόπη παρ' Ὁμήρῳ ἐν Γ, εὔχεται ταῖς τοῦ Πανδαρέου θυγατράσιν ὁμοιωθῆναι, κατά γε τὸ ἁρπαγῆναι θυέλλαις φερούσαις εἰς ἡρόεντα κέλευθα. περὶ δὲ τοῦ ῥηθέντος Πανδαρέου φέρεται λόγος, ὅτι κύνα κλέψας χρυσοῦν ἐν Κρήτῃ, Ἡφαίστου ἔργον ἔμψυχον, ἐκ τοῦ Διὸς τεμένους, παρεκαθέτο Ταντάλῳ. Διὸς δὲ ἀπαιτοῦντος τὸ κλέμμα διὰ Ἑρμοῦ, ὤμοσεν ὁ Τάνταλος μὴ ἔχειν· καὶ Ζεὺς μὴ τὸν κύνα, Ἑρμοῦ ὑφελομένου, ἀπολαβών, καθίστρεψε τῷ Ταντάλῳ τὸ σίπυλον. ὁ δὲ Πανδάρης, ἢ Πανδάρεως, φυγὼν εἰς Ἀθήνας, ἐκεῖθεν εἰς Σικελίαν διέβη· ἔνθα διεφθάρη, φασί, μετὰ τῆς γυναικὸς Ὁρμοθόης.

ΠΕΡΙ ΠΑΝΔΆΡΟΥ.

Πανδάρου λέγει ὁ Ποιητὴς ἐξ αὐτοῦ τοῦ Ἀπόλλωνος λαβεῖν τὸ τόξον, ἤγουν τὴν τοξείαν, ὃ ὅτι τῶν τοξικῶν ἐπιστήμην. καὶ ἔστι, φασίν, ὁ τρόπος μετωνυμία. ἔθος δ' ποιηταῖς, ἱστορεῖν, τὰς περί τινα τέχνην δεξιάς, θεόθεν ἔχειν τὰ ὄργανα. ὅτου καὶ ἄλλου τις, αὐλῶν ἔχει τρίπτυχον,

—— τὴν οἱ πόρε Φοῖβος Ἀπόλλων.

καὶ κίθαριν δέ τις, καὶ ἕτερος λύραν· καὶ ἄλλος ἀσπίδα· ἤ τι ἄλλοῖον ὅπλον, ἐκ θεῶν λαβεῖν μεμύθευται· τὰς γὰρ εἰς ἄκρον, φασὶν, εὐεξίας, Θεοῖς ἀνατιθέασιν οἱ ποιηταί.

ΠΕΡΙ ΠΑΝΔΊΟΝΟΣ.

ΠΑΝΔΊΩΝ γεννᾷ

ΤΕΤΘΡΑΝ, ΠΡΟΚΝΗΝ, ΦΙΛΟΜΉΛΑΝ.

ἃ ἧς

ΘΕΣΠΙΆΔΗΣ, ΊΤΤΣ.

ἃ κτίσμα Θέσπεια, πόλις Βοιωτίας.

Παν-

Πανδίονος Ἀττικῆ τυράννε, γίνεται Πρόκνη καὶ Φιλομήλα. Ἦσαν ἡ Πρόκνη, γαμεῖται Τηρεῖ τῷ Θρᾳκί· ὃς γίνεται τῷ μετοικισμῷ, ἐξ Ἀττικῆς γυναικὸς, Θρᾳκική. μέλλοντα δέ ποτε ἐν Θρᾴκης Ἀθήναζε τὸν Τηρέα ἥκειν, ἐκέπυσεν ἡ γυνὴ τὴν ἀδελφὴν Φιλομήλαν ἐν τῷ ἐπανήκειν σωνεύναζ· ὁ δὲ, ποιεῖ μὲν τοῦτο, περὶ δὲ τὴν ὁδὸν ἐν Αὐλίδι τῆς Βοιωτίας, βιάζεται τὴν κόρην· καὶ φθείρας, γλωσσοτομεῖ, ὡς ἂν μὴ ἔχοι τῇ ἀδελφῇ ἐκλαλῆσαι τὸ πάθος. ἀλλ' ἡ Φιλομήλα εἰς Θρᾴκην ἐλθοῦσα, ἐν ἱστῷ ἐξυφαίνει τὴν βίαν· ὃς ἐπεὶ μὴ εἶχε τῇ γλώττῃ, ἐμφαίνει τῇ χειρί· καὶ ἡ Πρόκνη τὴν τῆς ἀδελφῆς γλῶτταν ἀντισαθμοῦται τοῦ παιδός· καὶ ἀνελοῦσα τὸν υἱὸν Ἴτυν, ἐμβάλλει τῷ αἰδοῖ φαγεῖν. ὁ δὲ παθὼν τὸ ἔρωτιν, ἀλλ' ὕστερον γνωρίζει τὸ παῖδα, λειψάνοις μικροῖς πεμηρίμβυος· ὃς διώκει τὰς ἀδελφὰς, τῷ παιδὶ συγκαταθύσων αὐτάς. αἱ δὲ, φεύγυσι· ὃς ἰὼς κρείττονας αἰτησάμβυαι, πτερύσσονται· εἰς χελιδόνα μβύ, ἡ Πρόκνη, Φιλομήλα δὲ, εἰς ἀηδόνα. τινὲς ὃ' τὴν Φιλομήλαν γαμετὴν Τηρέως εἶ) οἴονται εἰς ἀηδόνα μεταμορφωθεῖσαν· Πρόκνην δὲ τὴν βιασαμένην, ὃς εἰς χελιδόνα ἀπωρνεομένην. διὸ τραχύφωνος μβύ ἐστιν ἡ χελιδὼν καὶ ἀηδὴς τὸ μέλος, ὅια κολωθεῖσα τὴν γλώτλης, ὃς συχνὰ τὸν Τηρέα ἐνοχλαυλίζουσα καὶ σόμα φοφέρει, Τηρεύς με, λέγουσα, ἐβίασεν· ἀηδὼν ὃ' τὸν Ἴτυν μέλους φοβάλλεται· Ἴτυ, Ἴτυ, ἐλεεινῶς φθέγγουσα. Τηρεὺς δὲ εἰς ἔποπα μορφωθεὶς, πῦ πῦ ἄρα ἐστὶν ἀναφωνεῖ συχνὰ, αἱ μοι τὰ παῖδα πρὸς ἀωχίαν παρέθηκαν. Ὁμηρος τοίνυν τὸν Ἴτυν, Ἴτυλον λέγει· ὃς ὅτε μέμνηται Πανδίονος, εἰ μὴ ἄρα διώνυμος ἐκεῖνος ἦν Πανδάρεώς τε καὶ Πανδίων καλούμβυος, ὅτε Πρόκνης, ὅτε Τηρέως.

ΠΕΡΙ ΠΑΝΔΩΡΑΣ.

ΠΑνδώρα, τῷ Ἡφαίστῳ ποτὲ τῆς γῆς ἀναπλασθείσης ἀνεδόθη, καὶ ἐπεκοσμήθη γυνὴ, ἣν ἡ πάντα δωρυμένη τῷ βίῳ σωναγωγὴ τῶν τεχνῶν· ἢ ἡ ἐκ πάντων τῶν θεῶν ὃς τὴν ψυχικῶν δυνάμεων καθ' Ἡσίοδον συγκεκραμένη, ὃς δῶρα λαβοῦσα· ἐκ μβὺ γὰ πυρὸς Ἡφαίστου, τὰ ὑλικὰ καὶ ὀργανικά· ἐκ δὲ τῆς Φρονήσεως Ἀθηνᾶς, τὸ κατασκευαστικὸν καὶ ἀρχίνου· ἐκ δὲ τῆς Ἀφροδίτης, ἦν τὴν συγκράσεως, τὸ ὡραῖον. τὸ δ' ἀναιδὲς ὃς δραστήριον, καὶ ὡς τὰς ἐμποσίας αἰμύλον, ἐκ τοῦ Ἑρμοῦ, ἤτοι τοῦ φοφορικοῦ λόγου. ἐπεὶ δ' ἐκ πυρὸς καὶ φρονήσεως ἡ γυνὴ, ἦν τὸ κόσμιον ἐφάνη τὴν τεχνῶν, ὃς ὁ πολυσήμων ἰσὸς, καὶ ἡ σύσασις πα-

σῶν

σῶν τ̃ τεχνῶν ἐδιδάχθη κατὰ πικρὰν εἱμαρμένην, ἐ ἰοῖς μετα-
γενεστέροις ἐδόθησαν· ἐ ὅπως ὁ βίος συμφορᾶς ἐπετλήμμυρεν. ἡ
ὀργὴ δὲ τ̃ Διὸς, ἦγεν τ̃ εἱμαρμένης, κ̀ ὁ χόλος, κ̀ αἱ λα-
λιαὶ, κ̀ τὰ λοιπὰ, ἅπερ ωροσωποποιϊκῶς οἱ ποιηταὶ μυθεύον-
ται, ἐφθέγξατο ἂν, εἰ ἦν αἴθησις κ̀ φωνὴ τῇ εἱμαρμένῃ, ὅτι
ωροβιλόπεροι ἐξ ἁπλάτων γεγονότες οἱ ἄνθρωποι, τὸ πῦρ κα-
τέχον, κ̀ τὰς τέχνας ἐπεχείρουν διὰ τύτο εὑρίσκειν· ἐ εἶπεν ἂν
ἐπιγελάσατα τὸ σαρδόνιον, ὅτι ὑμεῖς ὄψεσθε· δώσω γὰ ὑμῖν,
ὃ ποθεῖτε ἐν τ̃ πυρὸς εὑρεθῆναι τὰς τέχνας· ὑφ' ὧν ἀβρότης
μὲν ἐ ὡραιότης, κ̀ πᾶν τερπνὸν τῷ βίῳ χρήσεται· ἀλλ' ὁ χω-
λὸς ὀδύνων καὶ διηνεκῶν μυελῶν πόνων, ἐ περισάσεων.

ΠΕΡΙ ΤΗΣ ΕΝ ΤΩ ΟΥΡΑΝΩ ΠΑΡΘΕΝΟΤ.

Τὴν παρθένον, Ἡσίοδος ἐν Θεογονίᾳ Διὸς καὶ Θέμιδος
λέγει· καλεῖται δὲ Δίκη, ἣ ωρότερον ἀνθρώποις ἐπὶ γῆς
σωφρὼν· ὕστερον μέντοι μισήσασαν δι' ἀδικίαν ἐχάτλω εἰς ὐρανὸν
ἀνελθεῖν. οἱ δὲ, Ἀστραίᾳ θυγατέρα, τ̃ ωρώτυ τὴν ἀστέρων εὐ-
ρόντα ὀνομασίαν· οἱ ὃ Δήμητραν ἔφη, διὰ τὸ σάχυν ἐν χειρὶ κα-
τέχειν, ἐνδεικνυμένη τ̃ γεωργίαν· οἱ ὃ, Ἶσιν· οἱ ὃ, Ἀταρ-
γατιν, τύχη. διὸ κ̀ ἀνέφελον αὐτὴν σχηματίζυσιν.

ΠΑΡΙΔΟΣ ΓΕΝΕΑΛΟΓΙΑ.

ΖΕΥΣ γεννᾷ ἐκ τ̃ Ἠλέκτρας, τ̃ Ἄτλαντος θυγατρὸς,
ΔΑΡΔΑΝΟΝ, (ἐξ ὃ Δαρδανία ἡ Τρόια)
ὃ
ΕΡΙΧΘΟΝΙΟΣ,
ὃ
ΤΡΩΣ, (ἀφ' ὃ ἡ Τρόια)
ὃ
ΑΣΣΑΡΑΚΟΣ, ΙΛΟΣ, ΓΑΝΤΜΗΔΗΣ.
(ἐξ ὃ καὶ Ἴλιον)
ὃ
ΛΑΟΜΕΔΩΝ,
ὃ
ΙΚΕΤΑΩΝ, ΚΑΤΤΙΟΣ, ΠΡΙΑΜΟΣ, ΤΙΘΩΝΟΣ, ΛΑΜΠΩΝ.
ὃ
ΠΑΡΙΣ, ΕΚΤΩΡ, ΕΛΕΝΟΣ, ΠΟΛΤΔΩΡΟΣ, ΕΤΦΟΡΒΟΣ, ΚΑΣ-
ὃ ΣΑΝΔΡΑ, ΠΟΛΤΞΕΝΗ, κ̀ ἄλλοι.
ΑΣΤΤΑΝΑΞ.

Κατὰ γαστρὸς ἔχυσα τὸν Πάριν ἡ μήτηρ Ἑκάβη, ὄναρ ἐθεά-
σατο,

σατο, ὅτι ἔπεκε δαλὸν, ἀφ' ᾧ καπεφλέχθη πᾶσα ἡ πόλις, καὶ ἡ ἑστῶσα ἐν τῇ Ἴδῃ ὕλη. τοῦτο δὲ τὸ ἐνύπνιον ἀκούσαντες οἱ μάντεις, καὶ οἱ ἀμφὶ τὰς ὀνείρους δεινοὶ, εἶπον τὸ πεχθὲν παιδίον εὐθέως μικρὸν ὂν, ῥιφῆναι θηρσὶ βορὰν. πεχθέντα τοιγαροῦν τὸν Ἀλέξανδρον ἐξέθηκαν ἐν τῇ Ἴδῃ, Ἀρχελάῳ οἰκέτῃ ἀναδιδόντες· ὃν ἄρκτος ἑκκείμενον, πέντε ἡμέρας, φασὶν, ἐθήλαζεν. εἶτα πάλιν ὁ Ἀρχέλαος ἑωρακὼς ὄντα εὐειδέστατον, ἀνελόμενος, ἐτὶ τῶ χωρίων, ὡς ἴδιον ἔτρεφεν, Πάριν κατωνομάσας, ὅτι τὸν μόρον παρῆλθεν. ὕστερον δὲ καὶ Ἀλέξανδρος ἤκουσεν, ὅτι τῇ πατρίδι ἠλέξησεν, ὅ ἐστιν, ἐβοήθησε, πολέμου ἐπελθόντος. ἰσορρόπει δ' αὐτῷ ἥδιστον τὸ εἶδος γεγονέναι, ἐπίχαρίν τε τὴν φωνὴν, καὶ τὸ ἦθος, ἅπερ τῇ Γελοωνικῇ ἐπιμίξαντα· καὶ Τρωσὶ μὲν ἀπηχθήθη πᾶσι, κακὸν δ' οὐκ εἰ τὰ πολέμια, ἀλλὰ μάχεσθαι πάντας τρόπους, καὶ ἵππου ἐπιστήμων, ὁπόση τόξων, καὶ λείπεσθαι τοῦ Πανδάρου. Ὅμηρος μέντοι, ὡς δηλον, ἐλάφῳ αὐτὸν εἰκάζει· τοιοῦτον γὰρ τὸ ζῶον. ὅτι δὲ φιλῳδὸς ἦν ὁ αὐτὸς Ἀλέξανδρος, δηλοῖ καὶ ἡ κιθάρα, ἣν αὐτῷ Ἕκτωρ ὠνείδιζεν. ἔσιλβε δ' καὶ τοὺς ὄνυχας τῶν χειρῶν, καὶ ὠόχρους ἦν, καὶ λευκὸς, καὶ τὸ ὄμμα ἐγέγραπτο. ἡ δὲ ἑπέρα ὀφρὺς, ὑπερῆρε τοῦ ὄμματος. ἀλλὰ καὶ κόσμου ἕνεκεν, περιήθρει μὲν ἑαυτὸν, περιεσκόπει δὲ τὰ ὤπλα· δορὰς δὲ παρδάλεων ἐνῆπτο ἰοῖς ὤμοις. αἰχμὸν δ' προσιζάνειν ταῖς κόμαις, ἀδὲ ὁπότε μάχοιτο, ἠνείχετο. φασὶ δ' αὐτὸν εἰς τὴν Ἑλλάδα ἔφηβον πλεῦσαι, ὅτε δὴ ξένον τοῦ Μενελάου γενέσθαι αὐτὸν, καὶ τὴν Ἑλένην ἐλεῖν τῷ εἴδει. Στησίχορος δέ φησιν, ὅτι διερχομένου Ἀλεξάνδρου δι' Αἰγύπτου, ὁ Πρωτεὺς Ἑλένην ἀφελόμενος, εἴδωλον Ἑλένης αὐτῷ ἔδωκε· καὶ ὕπως ἔπλευσεν εἰς Τροίαν. τοῦτον Φιλοκτήτης τοξεύσας, βάλλει πρῶτον κατὰ χεῖρα λαιάν· εὐθὺς δ' δεύτερον ὀϊστὸν ἀφεὶς, ἐκκόπτει τοῦτου τὸν δεξιὸν ὀφθαλμόν· καὶ τείτῳ βέλει κατὰ σφυρὸν πείρας, αὐτὸν ἀναιρεῖ ὕπω τελακονλύτην. φασὶ δὲ ὅτι ἡ Οἰνώνη Σκεβρηνος θυγάτηρ, φαρμακεργὸς οὖσα, καὶ βλομένη θεραπεῦσαι Ἀλέξανδρον, ἐκωλύθη ὑπὸ τοῦ πατρὸς αὐτῆς. τελευτήσαντος δὲ ἐκείνου, ἑαυτὴν σφαναιρεῖ· ἢ, κατὰ Κόϊντον, ἑαυτὴν ἐμβαλοῦσα εἰς τὴν Ἀλεξάνδρου πυρὰν, ἢ ἀπαχθεῖσα· ἢ κατὰ τὸν Λυκόφρονα, καταπεσοῦσα τοῦ πύργου· οὐκ ἰάσιμον δ' τὸ ἕλκος· ἢ ὅτι πεθνηκὼς ἦν ὁ Ἀλέξανδρος, καὶ ἰαθῆναι οὐκ ἠδύνατο· ἢ ὅτι κεχρισμένα ἦν τὰ βέλη Φιλοκτήτου, οἷς Ἀλέξανδρος ἐτοξεύθη τῷ ἰῷ τῆς Ὕδρας. ταύτην δὲ καὶ τὸν Οἰνώνην πρὸ Ἑλένης ἔσχεν Ἀλέξανδρος, ἐξ ἧς αὐτῷ Κόρυθος· ὃν Κόρυθον, ὀνειδιζομένη παρὰ

τῦ Πριάμυ, διὰ τ ψόγον καὶ τ μομφὴν τῦ ἀνδρὸς αὐτῆς, καὶ διὰ τὰς ἐπεισάκτυς γάμυς τ Ἑλένης ἀγειωθεῖσα, ἔπεμψεν ἡγησάμβυον τοῖς Ἕλλησι τῦ ἐπὶ Τροίαν πλῦ. οἱ δέ φασιν ὅτι τὰ ὡρῶτα ἐπισρατεύσαντες τῇ Τροίᾳ οἱ Ἕλληνες, ἥμαρτον τ ὁδῦ, & τ μηδὲν αὐτοῖς εἰς τιμωρίαν ὡροσήκυσαν γῆν ἐληΐζοντο· ἡ ᾗ ἦν ἡ ὑπὸ Τηλέφῳ Μυσία. ὁ δὲ Τήλεφος ἀνῃρκατασὰς, ἐποίησέ τι κακὸν & ἔπαθε. πέπονθε μβὺ τραῦμα δεινὸν ὑπ' Ἀχιλλέως, ἀμπέλυ ἕλικι συμποδισθέντος αὐτῷ τῦ ἵππυ, κ Διονύσυ ὡρόνοιαν, & πεσόντος εἰς γῆν· ἐποίησε ᾗ τὸ ἀωράκτυς ὑποχωρῆσαι τὺς Ἕλληνας. ὡς δὲ τὸ τραῦμα εἶχεν ἀθεράπευτον, ἐμαντεύσατο· & ὁ χρησμὸς ἀνεῖπε τὸ θρυλλύμβυον, ὡς ἄρα ὁ τρώσας ἰάσεται. ὡλέει γὰρ τὴν ταχίσην ἐπ' Ἀχιλλέα, & συμβαίνει τὸν μβὺ ἰάσασθ τ ὠτειλὴν, τ δὲ δῦναι μισθὸν τῆς ὑγιείας τ εἰς Τροίαν ὁδηγίαν. ὡς ᾗ ἅπαξ ποτὲ τλὼ ἀρχὴν ἐπλανήθησαν, ὕτω, φασὶ, τὸ δεύτερον δέδιεν Ἀχιλλεὺς μὴ πάλιν ὡλαγχθῶσι· & ὕτω μέν τινες ἀκολυθοῦντες & τῷ Γεωγράφῳ εἰπόντι, ὅτι ὁ τῦ Ἀγαμέμνονος σόλος Μυσίαν, ὡς Τρωάδα, πορθῶν, ἐπαλινδρόμησεν ἀιχρῶς. ἄλλοι δὲ, ὐκ ἀρεσκόμενοί φασιν, ὅτι ὕπ τὸ πάλιν ὅλως ἐπὶ τῦ ἐκδευτέρυ κεῖταί πυ ὡρὰ τῷ Ποιητῇ, & ὐδὲ φαίνεται ὁ Ποιητὴς Τηλέφῳ, ἢ ἑτέρῳ τινὶ ἀνατιθεὶς τὴν ὁδηγίαν τ εἰς τὴν Ἴλιον, ἀλλὰ ἢ τῷ μάντει Κάλχαντι. λέγει γδ, ὅτι ὁ Κάλχας διὰ τὴν αὐτῦ μαντοσύνην, ἡγήσατο ταῖς τῶν Ἀχαιῶν νηυσὶν εἰς τὴν Ἴλιον.

ΠΕΡΙ ΤΗΣ ΠΑΣΙΦΑΗΣ.

ΠΑσιφάη, ἡ Ὠδυσέως ὁμ τῆς Κίρκης, γαμετὴ ᾗ Μίνωος, μυθέυεται ὅτι ἠράσθη τάυρυ νεμομένυ· Δαίδαλον ᾗ ποιῆσαι βῦν ξυλίνην, καὶ ἐγκλεῖσαι τλὼ Πασιφάην εἰς αὐτήν· ὕτω τε τ ταῦρον ἐπιβάντα, μιγῆναι τῇ γυναικί· τὴν ᾗ κυῆσαι παῖδα τ καλύμενον Μινώταυρον, ἔχοντα μὲν σῶμα ἀνδρὸς, κεφαλὴν δὲ βυός. ἡ ᾗ ἱσορία ὕτως ἔχει· Μίνωά φασιν ἀληθέντα τὰ αἰδοῖα, θεραπευθῆναι ὑπὸ Κειδὸς τῦ Παυδίονος. κατ' ἐκεῖνον δὲ τὸν τ θεραπείας καιρὸν, ἠκολύθει τῷ Μίνωϊ νεανίας εὐειδὴς, ὀνόματι Ταῦρος· & Πασιφάη ἔρωτι ἁλῦσα, μίγνυται αὐτῷ, & γεννᾷ παῖδα. Μίνως δ' ἐπιλογισάμβυος τὸν χρόνον τ ἀληθδόνος τ αἰδοίων, καὶ γνὺς ὡς ὐκ ἔσιν ἐξ αὐτῦ ὁ παῖς, διὰ τὸ μὴ συγκοιμᾶσθαι αὐτὸν τῇ Πασιφάῃ, ἔγνω ὡς ἐκ τῦ Ταύρυ ὂν τὸ κυηθέν· ἀποκτεῖναι μβὺ ὐκ ἤθελε τ παῖδα, διὰ τὸ δοκεῖν ἀδελφὸν εἶ τῷ ἐαυ-

ἑωυτῦ παίδων. ἀποπέμπει δὲ αὐτὸν εἰς ὄρος, ὡς ἐν θεράποντος μοίρᾳ ἔχων τοῖς ποιμέσιν. ὁ δὲ, οὐκ ἐπαύσετο τοῖς βουκόλοις. πυθόμενος δὲ ὁ Μίνως τὰ κατ' αὐτὸν, ἐκέλευσεν αὐτὸν ἀπὸ τῶν πολιτῶν κρατηθῆναι· καὶ εἰ μὲν ἔποιτο, λελυμένον ἐλθεῖν· εἰ δὲ μὴ, δέσμιον. αἰθόμενος δὲ ὁ νεανίας, ἀφίσταται εἰς τὰ ὄρη· καὶ ἁρπάζων βουκήματα, ἔτρεφε διέζη. πέμψαντος δὲ Μίνωος ἐπ' ἕτερον ὄχλον πλείονα, διὰ τὸ συλλαβεῖν αὐτὸν, ὁ νεανίας ὄρυγμα ποιήσας βαθὺ, καθεῖρξεν ἑαυτὸν εἰς ἐκεῖνο· ἔνθα ἔντος τοῦ Ταύρου, εἴποτε ἀπό τοῦ Μίνωος κρατηθῆ τις ἀδικῶν, ἀπὸ τὸν Ταῦρον ἐπέμπετο, ὡς ὁ Ταῦρος αὐτὸν τιμωρήσαιτο. καὶ λαβὼν ἂν ποτε Μίνως τὸ Θησέα πολέμιον, ἐπὶ τὸ Ταῦρον ἀπέστειλεν, ὡς ἀποθανούμενον. γνοῦσα δὲ τοῦτο ἡ Ἀριάδνη, προσπέμπει ξίφος εἰς τὴν εἱρκτὴν, δι' οὗ ὁ Θησεὺς ἀνεῖρε τὸ Μινώταυρον.

ΠΕΡΙ ΤΟΥ ΠΑΤΡΟΚΛΟΥ.

ΠΑτροκλῆς, ὁ δὲ Πατροκλῆς, ὁ τοῦ Μενοιτίου, φίλτατος ἦν τοῦ Ἀχιλλέως· διὸ καὶ τοῖς πιστοῖς φίλοις καταριθμεῖται, οἵτινες παροιμιακῶς λοιπὸν πάντα λεθρύλληνται· οἵτινές εἰσιν οὗτοι, Πυλάδης καὶ Ὀρέστης, Πειρίθοος δὲ Θησεὺς, Πυθίας καὶ Δάμων, Ἀχιλλεὺς καὶ Πάτροκλος· ὧν ἡ παλαιὰ ἱστορία δὲ συγγενῆ τῷ Ἀχιλλεῖ ἀποδίδωσι, λέγουσα, ὅτι Ἡσίοδός φησι Μενοίτιον τὸν Πατρόκλου πατέρα Πηλέως εἶναι ἀδελφὸν, ὡς εἶναι αὐτανεψιοὺς ἅτερος ἀμφοτέρους ἀλλήλοις. ἄλλοι δέ φασιν, ὅτι Διὸς, Μυρμίδων· ὃ Ἄκτωρ· ὃς Αἴγιναν γήμας, μετὰ τὸ πεκεῖν τὸν ἐκ Διὸς Αἰακὸν, ποιεῖται Μενοίτιον· ὃ Πάτροκλος· τούτῳ τοίνυν τῷ λόγῳ, Αἰγίνης παῖδες ἀμφιπάτορες, Αἰακὸς καὶ Μενοίτιος. καὶ ὅτω πάλιν γνησία συγγένεια τῷ Πατρόκλῳ δὲ τῷ Ἀχιλλεῖ.

ΔΙΑΤΙ ΠΑΤΡΩΟΣ Ο ΖΕΥΣ ΚΑΙ Ο ΑΠΟΛΛΩΝ ΚΑΛΕΙΤΑΙ.

ΠΑτρῷος Ζεὺς, δὲ πατρῷος Ἀπόλλων, ὑπ' Ἀθήναις τιμῶνται. ὁ Ζεὺς μὲν, μετὰ τὴν ὑπ' Ἀρκαδίαν, ἤ, ὡς ἕτεροι, μετὰ τὴν ὑπ' Κρήτῃ ἀνατροφὴν, ὅτε πρῶτον παῖς Ἀθήναις ἐπέστη, δὲ ἐφάνη τοῖς πατράσιν αὐλῶν· οἵτινες λάτρις τῇ προσηγορίᾳ τετιμήκασιν αὐτόν. Ἀπόλλων δὲ, ὅτι Ἐρεχθέως θυγατέρα ἔγημε τὴν Κρέουσαν· ἐξ ἧς γίνεται ὁ Ἴων. ὡς πρόγονον δὴ αὐτὸν ἐτίμα· δὲ οἱ ἄρχοντες ὅτε ἐχειροτονοῦντο. ὑπ' γὰρ τοῦ μὴ εἰδέναι, ξένος αὐτὸς ἐνόμιζον.

Ἄλλως· ὅτω τιμᾶται παρ' Ἀθηναίοις Ζεὺς πατρῷος, καὶ Ἀπόλ-

λων, διὰ τὸ ὡρώτυς ὑποδέξασθαι τὸ θεὸ εἰς τ̃ χώρ̃, κ̀ θυσίας σωπελέσαι κατὰ φρήτρας, κ̀ δήμυς, κ̀ συγγενείας, μόνυς ἀλλήλων.

ΠΕΡΙ ΤΟΥ̃ ΠΈΛΟΠΟΣ.

ΠΈλοψ, υἱὸς γέγονε Ταντάλυ, Φρυγίας βασιλέως. ὁ Τάνταλος ὃ̓ ἦτος, πόλεμον ἐχηκὼς μ̃ Ἴλυ τ̃ κτίσαντος τὸ Ἴλιον, ἐπὶ Τροίας, ⸓ φοβύμ̃ τὴν ἧτταν, ἐπέτρεψε τῷ Πέλοπι ⸓ ἰδίῳ παιδὶ λαβόντι χρήματα, ἀπᾶραι ἐπὶ τὶ Ἤπειρον· εἰπὼν ταῦτα, ὅτι ἐὰν μ̀ νικήσω, ὑποστρέφεις πάλιν εἰς τὶ Φρυγίαν· ἐὰν ὃ̓ ἡττηθῶ, μένε εἰς τὶ Εὐρώπ̃. λαβὼν ἦν ὁ Πέλοψ χρήματα, ἦλθεν εἰς τὶ Ἑλλάδα ὃ̓ χώρα Ἀπία καλυμένη· ἧτις Ἀπία χώρα, βασιλέα εἶχε τὸν Οἰνόμαον ἔχοντα θυγατέρα Ἱπποδάμειαν Ἰσνομα. ἔνθα ἀγωνισάμ̃ος ὑπαῦθα ὁ Πέλοψ ἱππικὸν ἀγῶνα μ̃ Οἰνομάυ, ⸓ νικήσας, ἔλαβε γυναῖκα τὶ τ̃ Οἰνομάυ θυγατέρα Ἱπποδάμειαν, κ̀ κατέχε τὶ χώρ̃· κ̀ ἀντὶ Ἀπίας, ἐκάλεσεν αὐτὶ Πελοπόννησον, ὅ ἐ̓στιν, ἡ τ̃ Πέλοπος νῆσ⸓. πάντες ἦν οἱ ἀπὸ τ̃ Πέλοπος καλῦνται Πελοπίδαι, ὅιον Ἀτρεὺς, Θυέστης, Ἀγαμέμνων, Μενέλαος, ⸓ τελευταῖ⸓ Ὀρέστης. τινὲς δὲ ⸓ μυθικῶς τ̃τό φασιν, ὅτι Πέλοψ ἦλθεν ἔχων ἵππυς ὑποπτέρυς, εἰς Πίσ̃, μνηστευσύμ̃ Ἱπποδάμειαν. ἄλλοι δὲ πάλιν τ̃το ἀναιρ̃ντές φασιν ὅτι Πέλοψ ἦλθεν ἔχων πλοῖον. ἐγέγραπτο δὲ ἐπὶ τ̃ πλοίυ, ἵπποι ὑπόπτεροι. ἁρπάσας δὲ τὶ κόρ̃, ᾤχετο φεύγων· ὅθεν ὁ μ̃θ⸓ ὡροσανεπλάθη. μυθεύεται δὲ ⸓ ὅτι ποτὲ τῷ Ταντάλῳ ἐπεξενώθησαν οἱ θεοί. ⸓ ξενίσαι βυλόμενος αὐτὺς, ἔθυσε τὸν υἱὸν αὐτ̃ τὸν Πέλοπα· ⸓ ἑψήσας, παρέθετο αὐτοῖς. οἱ ἦν θεοὶ θωμάσαντες ἅμα, ⸓ ἐλεήσαντες Τάνταλον, σωαγαγόντες τὰ κρέα, σωέθηκαν τὸν Πέλοπα, ⸓ ἀνεβίω, κ̀ εὑρέθη ζῶν. ἓς δὲ τ̃ θεῶν ὁπ τ̃ ὤμυ φαγὼν ὁπ τ̃ κρεῶν τ̃ Πέλοπος, ὁπ τῇ συνθέσει τ̃ σώματος, ἐλεφάντινόν τι ἐτέθηκε κ̃ τ̃ ὤμυ. κ̀ ὕτως ἦν ὁ Πέλοψ ἀναβιώσας ἔχων τὸν ὦμον ἐλεφάντινον· ⸓ πάντες οἱ Πελοπίδαι ἐκ τ̃ ὤμυ ἐγινώσκοντο· ἔσχον γὰ οἱ ἀπόγονοι τὸ μέρος τ̃ ὤμυ ἐλεφάντινον. λέγεται δὲ ⸓ ὅτι οἱ Ἕλληνες χρησμὸν ἔλαβον μὴ πρότερον τ̃ Ἴλιον πορθῆναι, ἐ μὴ τὰ Πέλοπος ὀστᾶ μετενεχθῶσιν ἀπὸ Ἤλιδος εἰς τ̃ Ἑλλάδα· ⸓ Νεοπτόλεμον τὸν Ἀχιλλέως υἱὸν, κ̀ τὰ τόξα τ̃ Ἡρακλέως, ἅπερ ἔσχεν ὁ Φιλοκτήτης εἰς τὶ Ἑλλάδα. ἐ μὴ γὰ ὕτω γένητο, ὐκ ἂν πορθηθείη τὸ Ἴλιον.

ΠΕ-

ΠΕΡΙ ΠΕΡΙΚΛΤΜΈΝΟΥ.

ΠΕριϰλύμενος, υἱὸς Νηλέως· ὅτι δὲ ὕτως ἔχει, μαρτυρεῖ ὁ Ποιητὴς λέγων·

Νέσορά τε, Χρομίον τε, Περιϰλύμενόν τ' ἀγέρωχον.

τοῦτον ἔγγονον ὄντα Ποσειδῶνος, ἄλλοις τε ἐϰόσμησε, ϰὴ ἔδωϰεν αὐτῷ ἐϰ πάντα μεταβάλλεσθαι, ὡς φησιν Εὐφορίων·

Ὃς δὴ πᾶσιν ἐΐϰτο θαλάσσῃ τ' ἠύτε Πρωτεύς.

ἐν δὴ τῷ περὶ Πυλίους πολέμῳ, ἀναιρεῖται ὑφ' Ἡραϰλέους, ἐϰ μυΐαν μεταβληθείς· τῷ ῥοπάλῳ γὰρ αὐτὸν πλήξας, ϰὴ συμβουλῇ Ἀθηνᾶς, ἐμπαγέντα ὤμοις μέλιτταν τῷ ϰέντρῳ, ὕτως ἀπέϰτεινεν. Ἡσίοδος δέ φησι μεταβληθέντα εἴς τινα τῶν συνήθων μορφῶν, ἐπιϰαθεσθῆναι τῷ ζυγῷ τῶν Ἡραϰλέους ἵππων, βυλόμενος ἐϰ μάχλῃ ϰατασῆναι τῷ ἥρωϊ· τὸν δὲ Ἡραϰλέα ϰαιρίως αὐτὸν ϰατατοξεῦσαι, τῆς Ἀθηνᾶς ὑποδειξάσης. φησὶ δὲ ὕτως Ἡσίοδος·

—— Περιϰλυμενόν τ' ἀγέρωχον,
Ὄλβια ὤπορε δῶρα Ποσειδάων ἐνοσίχθων,
Γαντοῖ'· ἄλλοτε μέν τε ὀν ὀρνίθεσσι φάνεσϰεν
Ἀιετός· ἄλλοτε δ' αὖτε πολέσϰετο θωῦμα ἰδέσθαι,
Μύρμηξ· ἄλλοτε δ' αὖτε μελισσάων ἀγλαὰ φῦλα·
Ἄλλοτε δεινὸς ὄφις ϰαὶ ἀμείλιχος. ἐϰ δὲ αὐτὸς
Παντοῖ', ὄϰ ὀνομασά· τὰ μὶν ϰὴ ἔπειτα δόλωσεν
Ἐν ϐυλῇσιν Ἀθηναίης.

ΠΕΡΙΚΛΤΜΈΝΟΥ ΓΕΝΕΑΛΟΓΊΑ.

ΚΡΌΝΟΣ γεννᾷ ὀϰ τῆς Ῥέας

ΠΟΣΕΙΔΏΝΑ,

ἔ ἐξ Ἀμφιτρίτης

ΝΗΛΕΎΣ,		ΤΡΙΤΩΝ.
ἔ ἐϰ τῆς Χλωρίδος,	ἐϰ τῆς Φάρης,	
ΝΈΣΤΟΡ,	ΣΚΤ́ΡΟΣ,	
ΠΕΡΙΚΛΤ́ΜΕΝΟΣ,	ἌΣΤΕΡΙΟΣ,	
ΧΡΌΜΙΟΣ.	ΛΥΚΆΩΝ,	
	Ἔ́ΤΡΥΒΙΟΣ,	
	ΔΌΜΑΧΟΣ,	
	Ἔ́ΠΙΜΗΣ,	
	ΦΡΆΣΙΣ,	
	ἌΝΤΙΜΈΝΗΣ,	
	Ἔ́ΤΑΓΌΡΑΣ.	

Ὅμηρος·

Δώδεϰα μὴν Νηλῆος ἀμύμονες υἱέες ἦμεν.

ΠΕ-

ΠΕΡΙ ΤΟΥ ΠΕΡΣΕΩΣ.

ΠΕρσεὺς Δανάης ἦν υἱός, ἐκ τοῦ Διός· ἐραθεὶς γὰρ ὁ Ζεὺς τῆς παιδὸς, ὡς ὁ μῦθος, εἰς χρυσὸν, ὡς λυρῶσι, μεταστρέψας, ἀχθεὶς διὰ τοῦ ὀρόφου, ἐμίγη αὐτῇ. τῷ δὲ γίνεται Περσεύς. καὶ ἐκτρέφει αὐτὸν ἡ Δανάη, καὶ ἡ τροφὸς, κρύπτουσαι Ἀκρίσιον τὸν αὐτῆς πατέρα. οὗτος γὰρ σιδηροῦν ποιήσας θάλαμον, ἐνέκλεισεν αὐτήν, ὅπως τὸν τρόπον τοῦτον μείνῃ παρθένος. χρωμένῳ γὰρ αὐτῷ περὶ ἄρσενος παιδὸς, ἔχρησεν ὁ θεὸς ἐν Πυθοῖ, ὅτι αὐτῷ μὴ ἔσται παῖς ἄρσην· ἐκ δὲ τῆς θυγατρὸς, φὼς ἕξει αὐτὸν δεῖ ἀναιρεθῆναι. ὁ δὲ παρελθὼν εἰς Ἄργος, τὸν χαλκοῦν ποιεῖ θάλαμον ἐν τῇ αὐλῇ τῆς οἰκίας, κατὰ γῆς, ἔνθα τὴν Δανάην εἰσάγει μετὰ τῆς τροφοῦ· ἐν ᾧ αὐτὰς ἐφύλασσεν, ὅπως ἐξ αὐτῆς μὴ γένηται. ἀλλ' ὁ Ζεὺς πάντα δύναται. ὅτε δὲ ὁ Περσεὺς τετραετὴς ἐγένετο, ἤκουσεν αὐτοῦ τῆς φωνῆς παίζοντος ὁ Ἀκρίσιος· καὶ διὰ τῶν θεραπόντων τὴν Δανάην σὺν τῇ τροφῷ μετακαλεσάμενος, τὰς μὲν, ἀναιρεῖ, Δανάην δὲ κατάγει σὺν τῷ παιδὶ ἐπὶ τὸν τοῦ Ἑρκείου Διὸς βωμόν. μόνος δὲ αὐτὴν ἐρωτᾷ, πόθεν εἴη αὐτῇ γεγονὼς ὁ παῖς· ἡ δὲ ἔφη, ἐκ Διός. ὁ δὲ, οὐ πείθεται, ἀλλ' εἰς λάρνακα ξυλίνην ἐμβιβάζει αὐτὴν μετὰ τοῦ παιδός· εἶτα κλείσας, καταποντοῖ. καὶ φερόμενοι, ἀφικνοῦνται εἰς Σέριφον τὴν νῆσον, ἧς ἐβασίλευε Πολυδέκτης υἱὸς Ποσειδῶνος, ἀδελφὸν ἔχων Δίκτυν. οὗτος δὲ δικτύῳ ἁλιεύων, κατὰ τύχην αὐτὰς ἐξέλκει· καὶ ἀνοίξας τὴν λάρνακα, καὶ μαθών τίνες εἰσὶν, ἄγει εἰς τὸν αὐτοῦ οἶκον· καὶ τρέφει ὡς ἴδιον παῖδα τὸν Περσέα, καὶ ἐπαιδαγώγει. ἐκ τοῦ Δανάης ἐπεμελεῖτο. ὁ δὲ Πολυδέκτης ὁ ὁμομήτριος Δίκτυος, ἰδὼν τὴν Δανάην, ἠράσθη αὐτῆς. ἠπόρει δὲ συγγενέσθαι αὐτῇ, τοῦ Περσέως ἤδη ὡρὸς ἤβην ἐλαύνοντος. ποιήσας δὲ ἄεθλον, καλεῖ ἄλλους τε πολλοὺς ἐπὶ τοῦτο, ἐκ αὐτὸν τὸν Περσέα. παραγενόμενος δὲ ὁ Περσεὺς, πυνθάνεται τοῦ Πολυδέκτου ἐπὶ τίνι εἴη ὁ ἔρανος εὐωχεῖσθαι· τοῦ δὲ Πολυδέκτου εἰπόντος ἐπὶ ἵππῳ· ὁ Περσεὺς ἐπὶ τῇ τοῦ Γοργόνος ἔφη κεφαλῇ. τῇ δὲ ἑξῆς ἡμέρᾳ, ἕκαστος τῶν ἑταίρων τὸν ἵππον ἐκόμιζε· καὶ δὴ Περσεύς. Πολυδέκτης δὲ οὐκ ἐδέχετο, εἰπὼν ὅτι οὐχ ἵππον ὑποδέχεσθαι δώσειν αὐτὸν, ἀλλὰ τὴν Γοργόνος κεφαλήν· ἐκ ἐὰν μὴ κομίσῃ, ἔφη λήψεσθαι Δανάην τὴν αὐτοῦ μητέρα. Περσεὺς δὲ ἀναθεὶς, ἐκ ἀμηχανῶν ὅ, τι δράσει, ἀπέρχεται εἰς τὸ ἔσχατον τῆς νήσου. Ἑρμῆς δὲ συντυχὼν αὐτῷ πυνθάνεται παρ' αὐτοῦ τὴν αἰτίαν τῆς λύπης. ὁ δὲ

εἰπὼν

εἰπὼν θαρρεῖν, πρῶτον μὲν ἠγέρτο αὐτῷ παρὰ τὰς τῆς Φόρκυος θυγατέρας, Πεφριδὼ καὶ Ἐνυὼ, καὶ Ἐνυὼ, Ἀθηνᾶς φρασάσης, ἁφαιρεῖται αὐτῶν τὸ ἕνα ὀφθαλμὸν καὶ ὀδόντα, ὃν ἐν διαδοχῆς ἀλλήλαις ὤρεγον. αἱ δὲ βοῶσαι ἱκετεύουσι, ζητοῦσαι τὸν ὀφθαλμὸν καὶ τὸν ὀδόντα· ἕνα γὰρ, ὡς φημι, ὀφθαλμὸν καὶ ἕνα ὀδόντα ἔχουσαι αἱ τρεῖς, ἐν διαδοχῆς ἐχρῶντο. Περσεὺς δὲ ὑπιχνεῖται ἀποδώσειν, ἐὰν ἐκεῖναι ὑποδείξωσιν αὐτῷ τὰς Νύμφας, αἵτινες ἔχουσι τὰ ὑπόπτερα πέδιλα, καὶ τὸ Ἅιδου κυνέην καὶ τὴν κίβισιν. ὡς δὲ ὑπέδειξαν, ἐκείναις μὲν ἀπέδωκε τὸν ὀφθαλμὸν καὶ τὸν ὀδόντα. οἱ δὲ φασιν ὅτι ἁφαρπάσας αὐτὰ, ῥίπτει εἰς τὴν Τριτωνίδα λίμνην. σὺν Ἑρμῇ δὲ εἰς τὰς Νύμφας πορευθεὶς, λαμβάνει παρ' αὐτῶν τὰ πέδιλα, καὶ τὴν κυνῆν, καὶ τὴν κίβησιν· καὶ ὑποδεσμεῖται μὲν τὰ πέδιλα· περιβάλλεται δὲ καὶ τὴν κυνέην καὶ τὴν κίβησιν· καὶ τῇ κεφαλῇ περιτίθησι τὴν κυνέην· δι' ὧν ἀέριος ἐφέρετο. δοκεῖ δὲ καὶ ἅρπην παρ' Ἡφαίστου λαβεῖν ἐξ ἀδάμαντος, ὡς Αἰσχύλος ἐν Φόρκυσί φησιν ὁ τῶν τραγῳδῶν ποιητής. ἄλλοι δὲ αὐτὸν τὸν Ἑρμῆν τὴν τε κυνέην καὶ τὰ πέδιλα αὐτῷ παρεσκευάσθαι φασίν. ὅπως δὲ ὁ Περσεὺς καθωπλισμένος, ὑπόπτερος ἀφικνεῖται εἰς τὸν Ὠκεανὸν καὶ τὰς Γοργόνας, συμπαρεπομένης αὐτῷ τῆς Ἀθηνᾶς. καταλαμβάνει δὲ τὰς Γοργόνας κοιμωμένας. ὑποτίθεται δὲ αὐτῷ Ἀθηνᾶ ὅπως χρὴ τὴν κεφαλὴν τῆς Γοργόνος ἐκτεμεῖν· ἀπεσταλμένον δὴ κάτοπτρον ἔχοντα, ὅπερ ἔλαβε παρὰ τῆς Ἀθηνᾶς. δείκνυσι δὲ αὐτῷ ἐν τῷ κατόπτρῳ τὴν Μέδουσαν, ἥτις μόνη τῶν Γοργόνων ἦν θνητή. πλησιάσας δὴν αὐταῖς ἀπεσταλμένος, ἵνα μὴ ἀπολιθωθῇ ἰδὼν αὐτὰς, καὶ ἐν τῷ κατόπτρῳ ὁρῶν τὴν Μέδουσαν κατ' ἀνάκλασιν, τῇ ἅρπῃ καρατομεῖ αὐτήν· καὶ θεὶς τὴν κεφαλὴν εἰς τὴν κίβησιν, φεύγει. αἱ δὲ Σθενὼ καὶ Εὐρυάλη, βοῶσι· καὶ διώκουσαι διὰ τὸ μὴ ὁρᾶν, οὐχ οἷαί τε ἐγένοντο καταλαβεῖν. Περσεὺς δὲ ἀφικόμενος εἰς Σέριφον, ἔρχεται παρὰ Πολυδέκτην· καὶ κελεύει αὐτὸν σωαθροῖσαι τὸν λαὸν, ἵνα δείξῃ αὐτοῖς τὴν τῆς Γοργόνος κεφαλὴν, εἰδὼς ὅτι ἀπολιθωθήσεσθαι ἔμελλον. ὡς δὲ Πολυδέκτης σωαθροίσας τὸν λαὸν, ἐκέλευε δεικνύναι, ὁ Περσεὺς ἀποστραφεὶς τῷ κεφαλῷ τῆς κιβίσεως δείκνυσιν· οἱ δ' εὐθὺς λίθοι ἐγένοντο. Ἀθηνᾶ δὲ λαβοῦσα παρὰ Περσέως τὴν Γοργόνος κεφαλὴν, ἐντίθησιν εἰς τὴν ἑαυτῆς αἰγίδα. τὰ δὲ πέδιλα, καὶ τὴν κυνῆν, καὶ τὴν κίβησιν, ἀποδίδωσιν ὁ Περσεὺς ταῖς Νύμφαις. ταῦτα ἱστορεῖ Φερεκύδης ἐν τῇ Β'. ἄλλοι δέ φασι τὸν Περσέα καρατομήσαντα τὴν

Γορ-

Γοργόνα, πεταςθῆναι ἐπανερχόμενον διὰ τ̃ Λιβύης· ἐκ ὧ τ̃ κατενεχθέντων σαγόνων τ̃ αἵματος, θηρία ἀνέφυσαν πολλὰ κ̀ δεινά· κ̀ διὰ τ̃το τ̀ω Λιβύλλη πολύθηρον λέγεσι, ὥς φησι κ̀ Ἀλέξανδρος. τροπικώτερον δὲ ὠδὶ τ̃ Περσέως ὑπὸ τ̃ πρατεύονται. ὁ γὰ αὐτὸν εἶ τ̃ ἡλιόν φασι, κ̀ τ̀ω ὀξυκίνητον τ̃ ὑρανῦ κίνησιν· Ἀθηνᾶν ὧ, τ̃ ἀέρα ὁ τ̀ω ἀναθυμίασιν τ̀ω κινοῦντ τ̃ ὑρανόν· ἐξ ἀναθυμιάσεων γὰ κινεῖται. Περσεὺς ὧ λέγεται, παρὰ τὸ ὠκέως σεύεσθ, ὁ ὁρμᾶν τ̃το. ἡ ἀερόδης ἀναθυμίασις αὐτὴ πέμπει ἐπὶ τὰς Γοργόνας, ἤτοι τ̀ω θάλασσαν κ̀ τὸ σύστημα τ̃ ὑγρῶν Γοργόνη λεγομένην, διὰ τ̀ω τάυτης καταπληξιν· γοργὸν γὰ, τὸ καταπληκτικόν. πέμπει ὧ τ̃τον ἀνελεῖν τ̀ω Μέδουσαν, τ̀ω λεπτομερεστέραν ὑσίαν, ὡς ἐξισμένην αὐτῇ· κ̀ γὰ ἡ πᾶσα θάλασσα, ἀερώδης ὅτ· τὸ γὰ λεπτότερον αὐτῆς, εἰς ἀέρα μεταβάλλει. ὁ γᾶν Περσεὺς, ὁ ἥλιος ὕπω καλούμενος, κινούμενον τ̃ ὑρανίῳ φορᾷ, τ̀ω μὲν Σθενὼ κ̀ τ̀ω Εὐρυάλῃ, ἤτοι τὸ δυνατὸν ὁ καταμήκη πέλαγ τ̃ θαλάσσης ἐκτεταμένον, ὐκ ἀναιρεῖται. ἢ ὑ μετατρέπει, ὐδὲ ἀνιμᾶται ὡς ἀθάνατος, ὡς μὴ μετατραπῆναι δυνάμενον. τ̀ω δὲ Μέδουσαν μόνην, ὡς θνητὴν ἀναιρεῖ, πλήττων τ̃ ξίφει, βασιλικώτατον ὁ λεπτὸν τ̃ ὀξείᾳ κινήσει μεταποιεῖ, ὁ ἀνιμᾶται. τ̃ δὲ καρατομήσει ἐκ τ̃ τραχήλ ὁρμᾷ Χρυσάωρ ὁ Πήγασος. ἀνιμωμένων γὰ τ̃ ἡλίᾳ ὁ τ̃ ἀέρος, τὸ κεφαλαιῶδες, ὡς ἔφην, ὁ λεπτότερον, ὁ ἀτμῶδες, συμβαίνει τὸ βαρύτερον ὁ ἀναφερόμενον κάτω πηγάζειν κ̀ χέεσθ, ἃ ὁ Πήγασον ὠνομάκασιν διὰ τὸ κατωφερές· κατωφερῆ γὰ τὰ ἄλογα. τὸ δὲ λεπτομερέστερον κ̀ ἔτι εἰς τὸ πυρῶδες μεταβάλλει, ὅπερ κ̀ Χρυσήορα κεκλήκασι. τ̃τῳ γᾶν τῷ ἐξ ὕδατος ἀναφερομένῳ Πηγάσῳ, τῇ κινήσει τ̃ ὑρανῦ τῇ ἡλιακῇ ἀνιμήσει ἐποχουμένῃ σωναφέρεται ἡ ἡμέρα. σφαιροειδὴς γὰρ ὅτιν ὁ ὑρανὸς, κ̀ κινεῖται ἀπὸ ἀνατολῶν ἐπὶ δυσμὰς, συμπεριφέρων αὐτῷ ὁ τ̃ ἥλιον. ὅπερ ἡλίᾳ δυώντος εἰς τὸ ὑπὸ γ̀ω ἡμισφαίριον, ἔνθεν τὰς πηγάσους ἅλμας ἀναστᾷ, ὁ ἡμέραν ἐργάζεται.

ΠΕΡΙ ΤΗΣ ΠΕΡΣΕΦΟΝΗΣ.

Περσεφόνη θυγάτηρ ἦν Δήμητρ ὁ Διὸς, ἥντινα ἐκάλυν ὁ κόρ̀ω. ταύτης ἠράσθη ὁ Πλούτων· κ̀ ἐρασθεὶς, ἥρπασε, ὁ κατῆλθεν ὐ τ̀ω Ἅδη. ἡ ἕν Δημήτηρ ὠδίνει ζητοῦσα τ̀ω κόρην· ὁ πολλὰ πλανηθεῖσα, ἦλθεν ὐ τῇ Ἀττικῇ. ἐλθοῦσα δὲ, τὸν μὲν τόπον ὐ ᾧ ἦλθεν, ἐκάλεσεν Ἐλευσῖνα, ὠδὶ τὸ ἐληλυθέναι.

ται. ἔμαθε δὲ ὑπὲρ τῦ Κελεῦ καὶ τῦ Τριπτολέμυ, ὅτι ἡ κόρη ἁρπάγη ὑπὸ τῦ Πλύτωνος, καὶ ἔστιν ἐν τῷ Ἅιδη. μαθῦσα δὲ ἡ θεὸς ταῦτα, ἔληξε τ πλάνης. ἀμειβομένη δὲ τὺς ἄνδρας ὑπὲρ τ χάριτος ταύτης, δέδωκεν αὐτοῖς τὰ σπέρματα, ὅιον σῖτον, κριθὰν, ὃ ὄσπριον· λέγεται γὰρ τῶν σπερματικῶν καρπῶν εἶναι ἔφορος ἡ Δημήτηρ. δῦσα δ' τὰ σπέρματα, δέδωκε δράκοντας ἅρματα πτερωτὰ πρὸς τὸ διελθεῖν δ δῶκα πᾶσι τ σῖτον καὶ τ κριθήν. ὅπως γὰρ ᾖδεισαν οἱ ἄνθρωποι ἐσθίειν ἄρτον, ἢ χρῆσθαι σίτῳ· ἀλλὰ νομαδικὸν βίον ἔζων. ὃ μόνον δ' τὸν σῖτον, ἀλλὰ δ πάντας τὺς σπερματικὺς καρπὺς δέδωκε· δ τὰ μυστήρια ἐτέλεσεν αὐτοῖς· καὶ ἔδειξε πῶς δεῖ τελεῖν καὶ τελεῖσθαι. ἐκάλεσαν δ' Περσεφόνην τὴν τ Δήμητρος θυγατέρα, διὰ τὸ ἐπίπονον εἶ δ πόνων οἰκείαν ἐργασίαν, ἢ τῷ ὑπὸ πάντων ὁμωνύμως φέρεσθαι· καὶ ἁρπάσαι αὐτὴν ὁ Ἅιδης ἐμυθεύθη, διὰ τ γινόμενον ἐπὶ χρόνον τινὰ τῶν σπερμάτων κατὰ γῆς ἀφανισμόν.

ΠΕΡΙ ΤΟΥ ΠΗΓΑΣΟΥ.

Τὴν Παταικῆς χιμαίρας ἀναφυέσης, καὶ λυμαινομένης τὴν χώραν τῶν Λυκίων, καὶ τῦ Προίτυ βασιλεύοντος τ Λυκίας, προστετάχθη ὁ Βελλεροφόντης ἀποκτεῖναι τὴν χιμαίραν. ἦν δὲ τὸ θηρίον, τοιῦτον· πρόσθε μὲν, λέων· ὄπισθεν δὲ, δράκων· μέσον δ', χίμαιρα· ἐξ ἧς χιμαίρας τὸ πῦρ ἀνεδίδοτο· καὶ ἦν δυσάλωτον τὸ θηρίον. ὁ δ' Βελλεροφόντης τὸν ἵππον τὸν Πήγασον εὑρὼν, ὃς ἐλέγετο ἔχειν πτερὰ, καὶ ὕδως ἀπὸ τῶν ὀύχων ἀποσάζειν, ἦλθε σύμμαχον ἔχων τὴν πῆσιν τῦ ἵππυ, διὰ τὸ εἶ πτερωτὸν, ὡς εἶπον· δ σφαῖραν μολίβδυ περιθεὶς ὑπὸ τῷ ἄκρῳ τῦ δόρατος αὐτὸς ὁ Βελλεροφόντης, ἐνέβαλεν εἰς τὸ στόμα τ χιμαίρας. λέγεται δ' ὁ Πήγασος γεννηθῆναι τοιῶσδε· σαλευθεὶς Περσεὺς εἰς τὰς Γοργόνας προσάξαι τ Ἀθηνᾶς, τ μὲν Σθενὼ δ Εὐρυάλειαν ἀθανάτυς ὔσας, παρέδραμε, καρατομεῖ δ' τ Μέδυσαν· ὑπὸ τῦ τραχήλυ δὲ ταύτης ὁ Πήγασος ἵππος ἀνέθορεν ὑπόπτερος ὤν. λέγεται δ' ἵππυ κρήνη ἀναδοθῆναι ὑπὸ τ ὁπλῆς τῦ Πηγάσυ· ὑπὸ γὰρ τῷ Ἄργει διψήσαντος τῦ Βελλεροφόντυ, ὁ Πήγασος τῷ ποδὶ τ γλῶ πατάξας, ἐξέβαλεν ὕδως, καὶ ἐκλήθη ἵππυ κρήνη· οἱ δ' Πηγατίαν αὐτὴν ὠνόμασαν. αἰτίαν δ' τ κατασερήσεως αὐτῦ ὧδε λέγυσιν οἱ διάφορον δόξαν· οἱ μὲν γὰρ τ Πήγασον εἶναί φασι τ εἰς τὰ ἄστρα ἀναπτάντα ὕστερον τ τῦ Βελλεροφόντυ πτώσεως ἕνεκεν, διὰ τὸ μὴ ἔχειν πτέρυγας. Ἄρατος δέ φησιν εἶναι

λὸν ἐπὶ τῦ Ἑλικῶνος τῇ πληγῇ τ ὁπλῆς, πηγὴν ἐκβλύσαι ποιήσαντα· ἀφ' ἧ ⸗ καλεῖσθαι κρήνη ἵππυ. Εὐριπίδης δέ φησι Μελανόπλῳ εἶ) τὴν Χείρωνος θυγατέρα, ὑπὸ Αἰόλυ φθαρεῖσαν ἐξ ἀπάτης· διὸ φυγεῖν ὠδύνασαν· διωκομένην δὲ ὑπὸ τῦ πατρὸς, ὡρὸς ἵππον εὐξαμβύλῳ μεταμορφωθῆναι· ὑπὸ δὲ Ἀρτέμιδος κατηστερωθῆναι δι' εὐσέβειαν αὐτῆς τε καὶ τῦ Χείρωνος. διὰ τῦτο ⸗ γράφεται μέσον ὁρωμβύη κενταύρῳ· ἀφανῆ τε αὐτῆς τ' ἀπ' ὀμφαλῦ ὁπίωθια, ὡρὸς τὸ μὴ αἰχύνεσθαι, θήλεια ὄσα.

ΠΕΡΙ ΤΟΥ ΠΗΛΕΩΣ.

ΠΗλεὺς ὁ τῦ Αἰακῦ σωφρονέσατος ἐγένετο· καί ποτε Ἱππολύτης τῆς γυναικὸς Ἀκάστυ ἐραθείσης αὐτῦ, ⸗ μὴ δυνηθείσης πεῖσαι, ἀλλὰ διαβολῇ χρησαμένης, ὡς ἄρα ἐπεχείρησε βιάσασθαι αὐτὴν, ὁ Ἄκαστος μαθὼν, καὶ μὴ δυνάμενος κτεῖναι ὃν καθῆρεν, ἀλλὰ λαβὼν αὐτὸν εἰς ἐρημίαν, ⸗ τῶν ὅπλων γυμνώσας, ἀφῆκεν αὐτὸν, ⸗ ἀνεχώρησεν εἰπὼν, εἰ δίκαιος εἴη, σωθήσῃ. ὡς δὲ ἔμελλεν ὑπὸ θηρίων διαφθείρεσθαι, οἱ θεοὶ μάχαιραν αὐτῷ ἐχαρίσαντο ἠφαιστόπυκτον δι' Ἑρμῦ, καὶ ὅτως ἔφυγε τὸ κίνδυνον. οἱ δέ φασιν ὅτι αὐτὸν ἦγεν εἰς θήραν εἰς τὸ Πήλιον. ἀποκοιμηθέντα δὲ αὐτὸν Ἄκαστος καταλιπὼν, καὶ τὴν μάχαιραν ὑπὸ τὸ κόπρον τῶν βοῶν κρύψας, ἐπανέρχεται. ὁ δὲ ἐξαναστὰς, καὶ μὴ εὑρὼν τὴν μάχαιραν, ἤμελλεν ἀπολλύσθαι καταληφθεὶς ὑπὸ τῶν Κενταύρων, σώζεται δὲ ὑπὸ Χείρωνος· ὃς ⸗ τὴν μάχαιραν ἐκζητήσας, δίδωσιν αὐτῷ. ἐκαθάρθη δὲ ὁ Πηλεὺς ὑπὸ Ἀκάστυ δι' αἰτίαν τοιάνδε· Φῶκον τὸν ἀδελφὸν καὶ τὴν πατρίδα σὺν Τελαμῶνι δολοφονήσας, φεύγει εἰς Φθίαν ὡρὸς Εὐρυτον τὸν Ἀκτορος, ἀφ' ἧ ⸗ καθαίρεται. ἐκεῖθεν δὲ ἐπὶ τὴν θήραν τῦ Καλυδωνίυ κάπρυ ἐλθὼν, Εὐρύτῳ ἐντυγχάνει, καὶ κτείνει τῦτον ἄκων. πάλιν ὖν ὁ Πηλεὺς ⸗ Φθίας φυγὼν, εἰς Ἰωλκὸν ὡρὸς Ἄκαστον ἀφικνεῖται, ⸗ καθαίρεται ὑπ' αὐτῦ. οἱ δὲ καὶ τῦτο ὡροσιθέασιν, ὅτι ⸗ κυνηγεσίῳ ἄκων ἀνεῖλε ⸗ Ἄκτορα τὸν Ἀκάστυ υἱόν. ἔπεμψε δὲ Ἀκάστῳ ἄποινα τῦ φόνυ τῦ παιδὸς, βόας καὶ ὡρόβατα, ἃ λύκος διέφθειρεν, ὃν Θέτις ἀπελίθωσεν. ἄλλοι δέ φασι τῦτο γενέσθαι ὅτε Τελαμὼν ⸗ Πηλεὺς τὸν αὐτῦ ἀδελφὸν Φῶκον, υἱὸν δὲ Ψαμάθης τῆς Νηρηίδος ὄντα, φθονῦντες ἀνεῖλον. ἡ γῦν Ψαμάθη ἔπεμψε τοῖς ὑσὶ τῦ Πηλέως ⸗ τοῖς ποιμνίοις λύκον, ὃς ἐκεῖνα ἐλυμαίνετο. Θέτιδος δὲ δεηθείσης, ἀπελίθωσε τῦτον πάλιν ἡ Ψαμάθη.

ΠΕ-

ΠΕΡΙ ΠΛΕΙΑΔΩΝ.

ΠΛειάδες, θυγατέρες ἐγένοντο Πληιόνης θυγατρὸς μὲν Ὠκεανοῦ, γυναικὸς δὲ Ἄτλαντος· ἀφ' ἧς αἱ Πλειάδες λέγονται ἦσαν δὲ δώδεκα τὸν ἀριθμόν, αἱ νῦν εἰσι· ὃν οἱ Λιβύη κυνηγετοῦντα, ὅφις ἔκτανε. τῶν δ' ἀδελφῶν αἱ μὲν πέντε διὰ τὸ ἐπὶ τῷ θανόντι πένθος, οὐκ ἔτι ἦσαν οὐδὲ αὗται, ἀλλὰ κατηστερισθεῖσαι, ἐπωνομάσθησαν τῷ ἀδελφῷ Ὑάδες, ἀπ' αὐτοῦ παρονομασθεῖσαι. ἔπαθον δὲ τὰ αὐτὰ μὲν ταῦτα καὶ αἱ ἑπτὰ, διὸ καὶ Πλειάδες εἴρηνται, ὡς τοῖς πολλοῖς δοκεῖ, διὰ τὸ πλείους εἶναι τῶν πέντε· ἢ ὅτι πλείους ὁμοῦ κεῖνται· ἄς τινας δὲ βότρυν ἐκάλεσαν· ἢ ὅτι πλησίον ἀλλήλαις εἰσὶν, ἢ ὅτι πλεῖόν τινα δι' αὐτῶν ἐπισημαίνονται, ἢ ὅτι πλεῖονα σημαίνουσι τὸ ἐνιαυτόν· ὡς δὲ Ἡσίοδος, Πληϊάδων Ἀτλαγενέων, ἀπὸ τὰς ἐξῆς. φασὶ δέ τινες κατηστερίσθαι αὐτὰς, ἐπὶ τῇ Ἄτλαντος δυστυχίᾳ· ὃς ἀχθοφορεῖ τὸν μυθευομένης κίονας· ἑπτὰ δὲ ὑστῶν, ἀμαυρὸς ὄφις ὁ ἑβδομὸς ἀστήρ. μυθεύονται δὲ σωμελθεῖν μὲν ἀπ' αὐτῶν Ταυγέτην μὲν ἀπὸ Διὸς, καὶ Ἠλέκτραν Διί, ἀπ' ὧν Ταυγέτης μὲν Λακεδαίμονα· Μαῖας δὲ Ἑρμῆς· Ἠλέκτρας δὲ Δάρδανος· ἢ Ἀλκυόνῃ δὲ μιγῆναι τῷ Ποσειδῶνι· ἢ Σπρόπῃ δὲ, τῷ Ἄρει, ὧν Οἰνόμαος· τῇ δὲ Μερόπῃ, Σισύφῳ, ἀπ' ὧν Γλαῦκος. οἱ δὲ, παρθένους φασὶν εἶναι τὰς ἑπτὰ, καὶ συγκωμηγετεῖν τῇ Ἀρτέμιδι. Ὠρίωνος δ' διώκοντος κατ' ἔρωτα, παρακαταλήπτους γυμνάσιας μεταλαβεῖν δι' ὀργῆς εἰς Πλειάδας· εἶτα δὲ καταστερισθῆναι, ὅθεν καὶ Πλειάδας κληθῆναι, οἱονεὶ Πελειάδας ἀπὸ συγκοπῆς· διὸ δὲ πολλοὶ τῶν ποιητῶν, πελειάδα τὸ ἄστρον τοῦτο καλοῦσι. λέγει δὲ δὲ Πίνδαρος ὡδὶ τὸν καταστερισμὸν αὐτῶν, ὅτι τὴν Πληϊόνης πορευομένης μετὰ τὴν θυγατέρων κατὰ Βοιωτίαν, σωσαμένης αὐτῇ Ὠρίωνα· εἶτα ἐραθεὶς, ὥρμησε πρὸς τὸ ἁρπάσαι· τῇ δὲ φεύγουσαν μετὰ τὴν θυγατρὸς, Ὠρίων ἐδίωκε· γνόφῳ δὲ αὐτῶν τὸν δρόμον, πέντε ἔτη ἀδιάλειπτον· τὸν δὲ Δία διὰ τὴν κακοπάθειαν αὐτῶν, οἱονεὶ μνήματα καταστρέψασθαι τὰς Πλειάδας φεύγουσας τὸν Ὠρίωνα, ὃς ὄφις ἐνιαυτός· σημαντικαὶ δὲ καὶ θέρους δὲ χειμῶνος αὗται· ἢ ὡσὰ τὸ πλεῖον, ὃ σημαίνει τὸ πλῆρες γίνεται, δὲ πλειῶν ἀπὸ αὐτῆς ὁ ἐνιαυτὸς, οἷον ὁ πλήρης χρόνος, ἢ ἀπὸ τοῦ πλείονας χρόνους ὡδιέχειν ὁ ἐνιαυτῷ, ἢ ὡσὰ τὸ πολεῖν καὶ διέρχεσθαι κατὰ τοὺς τεταγμένους χρόνους, καὶ ὁ τῷ αὐτῷ τόπῳ ἀναστρέφεσθαι πολειῶν, καὶ συγκοπῇ πλειῶν· ἢ ὡσὰ τὸ πλειὰς γίνεται. καὶ γὰρ αἱ πλειάδες, σημαν-

τικαί εἰσι τῶ ἐνιαυτῶ· δύσεσαι μὲν γὰρ, ἢ ἀρχὴν τῶ ἐνιαυτῶ δηλῶσιν. ἀναπέλλεσαι δὲ, τὸ τέλος. κεῖνται δ' ἢ ἢ ἢ ὁρᾶν τῶ ταύρω. ἢ δὲ ἑβδόμην Ἠλέκτραν, ἣν ἐξ ἀμαυρὰν φασιν, ὐκ ἀνέχομὲν Ἰλίω ἄλωσιν ἰδεῖν, μετασῆναι τ' ἀδελφικῆς ἀλληλοχίας μυθεύονται, ἐξ ἀμαυρωθῆναι. ἐξ ἄλλως· Πλειάδες, ἑπτὰ ἀστέρες εἰσὶ, κείμενοι ἐπὶ τὶω πλευρὰν τῶ ταύρω· ὁ γὰρ ταῦρος, σῶος ὐκ ἀνιστόρηται, ἀλλ' ἕως τῶν ἰσχίων. αὗται δέ εἰσιν Ἄτλαντος, ἑνὸς τῶν γιγάντων, ἢ Πλειόνης τῆς Ὠκεανῶ θυγατέρες· ὧν τὰ ὀνόματα, Μαῖα, Ταϋγέτη, Κελαινὼ, Μερόπη, Ἀλκυόνη. τὶω παρθενίαν δ' ἀγαπήσασαι, σωεκυνήγων τῆ Ἀρτέμιδι. θεασάμενος δ' Ὠρίων, ἠράθη ἐξ ἐδίωκεν αὐτὰς, μιγῆναι βυλόμενος. αἱ δ' ἀθικατάληπτοι γιγνόμεναι, θεοῖς ἠύξαντο μεταβαλλεῖν τ' φύσιν. Ζεὺς δὲ ἐλεήσας αὐτὰς, πελειάδας ἐπόιησε, ἢ δι' αὐτῶν ἄστρον κατησέρισεν. ὠνομάσθησαν δὲ Πλειάδες, ἀπὸ Πλειόνης τ' μητρὸς αὐτῶν. φασὶ δὲ Ἠλέκτραν ὑ βυλομένω τὴν Ἰλίω πόρθωσιν θεάσασθαι, τὸ κτίσμα τῶν ἀπογόνων, καταλιπεῖν τ' τόπον ἔνθα κατησέρισο. διόπερ ὕστερον ἑπτὰ, φαέθ ἔξ. ἡ ἱστορία παρὰ τοῖς Κυκλικοῖς.

ΠΕΡΙ ΠΟΛΥΒΩΤΟΥ.

Πολυβώτης, εἷς ἦν τῶν γιγάντων· ὃς ὑπὸ Διὸς βληθεὶς, ἠνείχετο. Ποσειδῶν δὲ ἐπ' αὐτὸν ἀφεὶς τὴν τελαμῶνα, τῶ μὲν ἥμαρτε· γέγονε γὰρ νῆσος, τὸ βληθὲν Νίσυρος ἐκαλεῖτο, ἢ πορφυρεὶς ἀπὸ τῶν ἐν αὐτῇ πορφυρέων.

ΠΕΡΙ ΠΟΛΥΓΝΩΤΟΥ.

Πολύγνωτος, ὗτος ζωγράφος μὲν ἦν τὴν τέχνην, Θάσιος δὲ τὸ γένος, υἱὸς δὲ ἢ μαθητὴς Ἀγλαοφῶντος. τυχὼν δὲ τῆς Ἀθηναίων πολιτείας, ἣ ἐπεὶ τὴν ποικίλην σόαν ἀνέγραψε ῥοῖκα, ἢ, ὡς ἔνιοι, τὰς ἐν τῷ θησωῖῳ, ἢ τὰς ἐν Ἀκεία γραφάς.

ΠΕΡΙ ΠΟΛΥΖΗΛΟΥ.

Πολύζηλος πρωθεὶς, ὡς φάσμα μεσημβρινὸν θεασάμενος μεῖζον ἢ ὥστε τοῖς ὀφθαλμοῖς ἐνεγκεῖν τῷ Πανὶ, κρύπτων τὴν ἀσπίδα, ὕστερον ἐμάχετο ὡς ὁρῶν, χάλκεος μεγάλης ἀξιωθεὶς· ἢ διέκεινε τῇ φωνῇ τὸς ἰδίους ἢ τὸς πολεμίους. φασὶ δὲ τὸν Πᾶνα σύμμαχον αὐτῷ γενέσθαι.

ΠΕ-

ΠΕΡΙ ΤΗΣ ΠΟΛΥΞΕΝΗΣ.

Πολυξένη ἦν θυγάτηρ Πριάμου, ἧς ὁ Ἀχιλλεὺς ἐραθεὶς, ἐβουλήθη γήμαι αὐτὴν, εἰσῆλθεν ἐν τῇ Τροίᾳ, καὶ κατ' ὀλίγον τινὰ τοξεύεται ὑπὸ Πάριδος ἐν τῷ τοῦ Θυμβραίου Ἀπόλλωνος ναῷ, καὶ θνήσκει. ἐν ὑστέρῳ δὲ χρόνῳ μετὰ τοῦ Ἰλίου πορθηθέντος ἀνδρωθέντι Πύρρῳ τῷ υἱῷ αὐτοῦ, ἐφάνη κατ' ὄναρ δεῖν αὐτῷ τυθῆναι τὴν Πολυξένην δι' ἣν ἀπώλετο· διὸ οἱ ἥρωες τῷ τάφῳ αὐτοῦ διὰ Νεοπτολέμου τοῦ καὶ Πύρρου τοῦ παιδὸς, ἐκείνην σφαγιάζουσιν, ὡς ἐν Ἑκάβῃ Εὐριπίδης φησίν. ὁ δὲ Φιλόστρατος Φάλιος, μόνον τοῦτο τὸν Πολυξένην φησὶν ἐξελθεῖν τῆς Τροίας, ἔτι μὴ πορθηθείσης· καὶ ἀποσφάξαι ἑαυτὴν ἐπὶ τῷ τάφῳ αὐτοῦ, πόθῳ καταχρωμένην τοῦ ἥρωος· καὶ δικαίως λογισαμένην, ὡς οὐκ ἄλλην τοιαύτην ἐυμοιρήσει ἀνδρὸς ἢ νυμφίου.

ΠΕΡΙ ΠΟΛΥΦΗΜΟΥ.

Πολύφημος, καὶ Ἀπολλώνιον, Ἐλάτου παῖς ἦν· καὶ δὲ Ἰσοκράτην καὶ Εὐφορίωνα, Ποσειδῶνος. οὗτος ἐν Μυσίᾳ ἔκτισε πόλιν Κίον, τὴν οὕτως ὠνομασθῆσαν ἀπὸ τοῦ παραῤῥέοντος ποταμοῦ. μαχόμενος δὲ ὡρὸς Χάλυβας, ἐτελεύτησεν, ὥς φησι Νυμφόδωρος. ὅτι δὲ οὗτος τὴν Κίον ἔκτισεν, Αὐτόχαρις ἐν ὡρῴῳ χάρων μαρτυρεῖ.

ΠΕΡΙ ΤΟΥ ΠΟΣΕΙΔΩΝΟΣ.

Ποσειδῶνα Κρόνου καὶ Ῥέας υἱὸν οἱ παλαιοὶ ἔφασαν εἶναι, διὰ τὸ ἐκ τῆς μεταβολῆς τὸ ὕδωρ γίνεσθαι, δηλονότι τῆς ῥύσεως, ἥτις λέγεται ἡ Ῥέα, Κρόνου δὲ, διὰ τοῦ ἐπιφερομένου τῇ γῇ ῥοῦσιν. Ποσειδῶν καὶ γάρ ἐστιν ἡ ἀπεργαστικὴ ἐν τῇ γῇ καὶ ὑφὲ τοῦ γλοῦ ὑγροῦ δυνάμις· ἤτοι ἀπὸ τῆς πόσεως οὕτω κληθεῖσα, καὶ τοῦ δεδόναι ἑαυτοῖς· ἢ καθ' ἕτερον λόγον, Ποσειδῶν ὠνόμασται, διὰ τοῦ παραχθησομένου αὐτοῦ ἰδιότητα. ἔθυον δ' αὐτῷ οἱ πάλαι ἀρνειὸν, διὰ τὸ ὡραῖον τῆς θαλάσσης, ὅτε ἠρέμα πορφύρει γαληνιόν· ταῦρον δὲ, διὰ τὸ τῆς κατὰ σφοδρότητα κινήσεως πληκτικόν· ἔτι καὶ διὰ τὸ μυκητικὸν, καὶ διὰ τὰς ἐν τῷ ὕδατι καμπὰς, δίκην κεράτων. κάπρον δὲ, διὰ τὸ τοῦ ὑγροῦ γόνιμον· σωστικὸν γὰρ ὁ ἀὴρ τοῦ κάπρου· ὅθεν καπρᾶν, τὸ οὕτως ὀρέγεσθαι· καὶ καπρῶσα γυνὴ, ἡ οὕτως ἐφιεμένη. δίδωσι δ' αὐτῷ ὁ μῦθος καὶ ἵππους, Ἐριώλην καὶ Γλαῦκον, ἢ Ἐγχέλαδον καὶ Σθένωνα· τοῦ-

τοῦτο μὲν διὰ τὸ θεναρὸν τοῦ ἐννοσιγαίου, παρ' ὃν καὶ διωκισθῆναι μίαν τῶν Νηρηίδων πέπλασται. ἐγχέλαδον δέ, διὰ τὸν κελάδοντα πόντον. γλαῦκον δέ, διὰ τὴν γλαυκὴν θάλασσαν· ἧς καὶ δαίμονα Γλαῦκον ὅιδεν ἡ ποίησις τὸν Ἀνθηδόνιον, καὶ Γλαυκὴν Νηρηίδα. Ἐλιώλην δέ, διὰ τὰς ὑγρὰς ἀνέμους, ὧν καὶ ἡ σφοδρὰ καὶ καταγιδώδης Ἐλιώλη, ἧς καὶ ὁ Κωμικὸς μέμνηται. προσῄρηται μὴ ὅτι αὐτός ὅστι τῇ τεταγμένῃ κατὰ τὸ ὑγρὸν δυνάμει. νῦν δὲ παραμυθητέον τοῦτο. πρῶτον μὲν ὃν φυτάλμιον αὐτὸν ἐπωνόμασαν, ἐπειδὴ τὰ φύεσθαι τὰ ἐκ τῆς γῆς γινόμενα, ἢ ἐκ αὐτῆ δηλονότι ἰκμὰς παναίτιός ὅστι. ἐννοσίχθονα, καὶ ἐννοσίγαιον, καὶ σεισίχθονα, καὶ τινακτοραγαίλην, ὡς ἂ παρ' ἄλλην αἰτίαν τῶν σεισμῶν γινομένων, ἢ παρὰ τὸ τὰς ἐν τῇ γῇ σήραγγας ἔκπτωσιν τῆς θαλάσσης καὶ τῶν ἄλλων ὑδάτων δέχεσθαι· σενοχωρέμενα γὰρ τὰ ἐν αὐτῇ πνεύματα, καὶ ἔξοδον ζητοῦντα, κλονεῖσθαι καὶ ῥήγνυσθαι αὐτὴν ποιεῖ, ἀποπλησθέντα ἔσθ' ὅτε καὶ μυκημάτων καὶ τὴν ῥῆξιν εὐλόγως. διὸ καὶ περὶ τῆς Σικελίας λέγεται, ὅτι ποτὲ Χερρόνησος ἦν συνεχὴς καὶ ἡ ἰσθμὸν τῇ τῆ Αὐσόνων γῇ. σεισμοῦ δέ τινος ἐξαισίου συμπεσόντος, καὶ τοῦ ἰσθμοῦ διαχόντος, εἰσπεσεῖν τὴν παρίσθμιον θάλασσαν, καὶ μεσολαβήσασαν θέσθαι νῆσον τὴν Σικελίαν, ἃ πολὺ διὰ τοῦτο τῆς χέρσου διέχουσαν. ὅθεν καὶ μῦθος φέρεται, τὸν Ποσειδῶνα δια ἐπισατοῦντα τοῖς σεισμοῖς, ἀποπεμεῖν τὸν ἰσθμὸν ἀονίῳ πολυγλώχινι σιδήρῳ· καὶ παρεισαγαγεῖν τὴν ἐκαπέρωθεν ζωννύουσαν αὐτὸν θάλασσαν, καὶ ὕτω νῆσον ποιῆσαι τὴν τέως Χερρόνησον, χαριζόμενον Ἀκάστῳ τῷ τοῦ Αἰόλου παιδὶ, ὡς ἂν ἔχοι τάυτην οἰκεῖν ἀσφαλῶς. ἀπὸ δὲ τῆς ῥηθείσης ῥήξεως, καὶ τὸ ἐκεῖ λέγεται παρονομασθῆναι Ῥήγιον, καθάπερ καὶ τὸ Θρᾴκιον· καὶ αὐτὸ γὰρ ἐπὶ τοιάδε ῥήξει ὀνομασθῆναί τινες οἴονται, δι' ἧς ῥήξεως ἡ λίμνη τῇ ἐγγὺς θαλάσσῃ ὠμίλησε διευρύσασα. τοιοῦτον δέ τι παθεῖν καὶ τὴν Ἑλλήσποντον ἱστοροῦσί τινες. ὁ δ' Γεωγράφος φησὶν ὅτι πιστεύεται τὴν Λέσβον ἀπερρωγέναι τῆς Ἴδης, ὡς καὶ τὴν Σικελίαν τῆς Ῥηγίνης, καὶ τὴν Ὄσσαν τοῦ Μακεδονικοῦ Ὀλύμπου. ὡς μέσον ἔκποτε διέρρωσεν ὁ Πηνειός. καὶ τὴν Εὐβοίδα δ' γῆν λεπτὸς Εὐρίπου κλύδων Βοιωτίας ἀκτῆς ἐχώρισε, καθάτις φησὶ ποιητής. ὑπό τινων δὲ καὶ μυκηταὶ εἴρηται, τῆς θαλάσσης τινὰ τοιοῦτον ἦχον ἀποπλύσης, ἀφ' οὗ καὶ ἠχήεσσα, καὶ ἀγάσσονος, καὶ πολυφλοίσβος εἴρηται. ἐντεῦθεν καὶ οἱ ταῦροι αὐτῷ προσήκουσι, καὶ θύσιν αὐτῷ ταύρους παμμέλανας, διὰ τὴν χρόαν τοῦ πελάγους. ἐπεὶ δ' ἄλλως τὸ ὕδωρ μέλαν εἶ λέγουσιν, εὐλό-

γως

γως ἤδη κυανοχαίτῃ αὐτὸν εἰρήκεσαν· καὶ ὃν ἑαθῆτι εἰσάγουσι τοιαύτῃ. τούτου δ' ἕνεκεν καὶ τοὺς ποταμοὺς κερασφόρους καὶ ταυρώπας ἀναπλάττουσιν, ὡσανεὶ βίαιόν τι τῆς φορᾶς αὐτοῦ καὶ μυκητικὸν ἐχούσης. καὶ γὰ ὁ Σκάμανδρος παρὰ τῷ Ποιητῇ, ἠύγβυος, ὡς ὅτε ἰκμὸς. κατ' ἄλλον δὲ τρόπον γαιήοχος λέγεται ὁ Ποσειδῶν, καὶ θεμελιοῦχος ὑπό τινων. καὶ θύουσιν αὐτῷ ἀσφαλάκους πολλαχοῦ, ὡσανεὶ ἐπ' αὐτῷ κειμένους τοὺς ἀσφαλῶς ἑστάναι τὰ οἰκήματα ἐπὶ τῆς γῆς. φέρει δὲ τρίαιναν, πότερον ἐπεὶ αὐτῇ χρῶνται πρὸς τὴν τῶν ἰχθύων θήραν, ἢ ὡς ἐπιπεδοῦσι τούτοις τοῦ ὀργάνου πρὸς τὴν κίνησιν τῆς γῆς· εἴρηται γὰ ὕτως·

Καὶ δ' αὐτὸς ἐννοσίγαιος ἔχων χείρεσσι τρίαιναν,
Ἤγειρ'· ἐν δ' ἄρα πάντα θεμέθλια θῆκε θύραζε.

ἐνδέχεταί τινος ἀποκεκρυμμένου, ὅπερ μαθεῖν δ' ἀπὸ τοῦ Τείτωνος· ἔνθεν Ἀμφιτείτη. ὁ δὲ Τείτων, ἕτερον ἀπὸ τῆς ῥύσεως ὕτως ὠνόμασται, πλεονάσαντος τοῦ Τ στοιχείου· εἴτ' ἀπὸ τοῦ τρεῖν, τὸ τρέμειν, κατ' ἀντίφρασιν. δίμορφος δὲ ὁ Τείτων· ἐν τὸ μὲν ἔχει μέρος ἀνθρώπου, τὸ ὑπὲρ, κήτους. ἐπειδὴ καὶ τὸ εἰρημένον ὑγρὸν, τοῦ μὲν ὠφελητικὴν δύναμιν, τὴν δὲ βλαπτικὴν ἔχει. πολυγλώχινα δὲ σίδηρον οἱ ποιηταὶ τοῦ τοῦ Ποσειδῶνος καλοῦσι τρίαιναν, ἀντὶ τοῦ τριγλώχινα, τρεῖς ἀκίδας ἔχουσαν. εἴ τι γὰ τρία, φασὶ, τοῦτο καὶ πολλά· ὃ μὲν καὶ ἀνάπαλιν, εἰ πολλὰ, ἐξ ἀνάγκης καὶ τρία· ὃ γὰ ἀντιστρέφει ὁ λόγος. αἰνίττεται δὲ, φασὶν, ἡ τρίαινα, τὰς τρεῖς τῶν ὑδάτων ποιότητας· τοῦ ἁλμυρὰν, οἷά ἐστιν ἡ τῆς θαλάσσης· τοῦ γλυκεῖαν, οἵα ἡ τῶν ποταμῶν· καὶ τοῦ μέσου, τοῦ λιμνῶν. τὰ γὰρ πικρὰ καὶ ὀξώδη, καὶ εἴ τί πο ἄλλο τοιοῦτον, ὃ προσλογιστέον, διὰ τὸ σπάνιον. καλεῖται δ' Εὐρύστερνος ὁ Ποσειδῶν, διὰ τὸ πλάτος τῆ θαλάσσης· ὡς εἴρηται·

—— Καὶ ἐπ' εὐρέα νῶτα θαλάσσης.

λέγεται δὲ καὶ τοῦτο καὶ εὐρυμέδων, καὶ εὐρυβόας. ἵππιος δὲ, τάχα ἀπὸ τοῦ ταχεῖαν τοῦ διὰ θαλάσσης ὁδὸν εἶναι, καθάπερ ἵπποις ἡμῖν ταῖς ναυσὶ χρωμένων. ὁπόθεν ἤδη καὶ ἐπίσκοπον αὐτὸν εἶναι τῶν ἵππων, παραδεξαμένων τῶν μὴ ταῦτα. διὸ καὶ τοὺς προλεχθέντας ἵππους αὐτῷ δεδώκασι. λέγεται δὲ παρά τισι καὶ νυμφαγέτης, καὶ κρηνοῦχος, διὰ τὰς προειρημένας αἰτίας. Νύμφαι γὰρ εἰσιν αἱ τῶν ποτίμων ὑδάτων πηγαὶ, ἀπὸ τοῦ ἀεὶ νέαι φαίνεσθαι· ἢ ἀπὸ τοῦ φαείνειν, ὕτως ὠνομασμέναι. τὰς δὲ γαμουμένας Νύμφας καλοῦσιν, ἀπὸ τοῦ νεῶ πρώτως φαίνεσθαι, κρυπτομένας πέως. τοῦ δ' αὐτοῦ λόγου ἔχεται, καὶ τὸ Ποσειδῶνος υἱὸν εἶναι τὸν

Πή-

Πήγασον, ἀπὸ τῆς πηγῶν ὀνομασθέν. διὰ δὲ τὸ θεωρεῖν αὐτὴν τὴν θάλασσαν, καὶ πάντας τοὺς βιαίους καὶ μεγαλοσώμους γενομένους, ὡς τὸν Κύκλωπα, καὶ τοὺς Λεστρυγόνας, καὶ τοὺς Ἀλωΐδας, Ποσειδῶνος ἐμύθευσαν ἐκγόνους εἶναι. λέγεται δὲ καὶ ὅτι ὁ Ποσειδῶν σὺν Ἀπόλλωνι, ὀργῇ Διός, θητεύσας τῷ Λαομέδοντι, καὶ προπυργώσας τὸ Ἴλιον, ἐπεὶ μὴ τεταγμένον χρόνον τῆς μισθοφορᾶς ἀπελάμβανε, ἀγανακτῶν κατὰ Λαομέδοντος, ἔπεμψε κῆτος δεινότατον, ὅπερ τὴν χώραν κατέκλυζεν, ἀποπτύον τὴν θάλασσαν. ὃν χρησμῷ δὲ Λαομέδων ἀναγκασθεὶς, Ἡσιόνην τὴν θυγατέρα κοσμήσας βασιλικῶς, ὡς τροφὸς βορὰν τῷ κήτει ἐξέθετο. διερχόμενος δὲ Ἡρακλῆς μετὰ Ἰάσονος, μέλλοντος πλεῖν ἐπὶ τὴν Κολχίδα γῆν, μέλλων λαβεῖν τὸ χρυσόμαλλον δέρας, ὃ ὁ δράκων ἐφύλασσε μετὰ τῆς καλυμένης Ἀργοῦς νηὸς, ἀφ' ἧς Ἀργοναῦται προσωρμήθησαν τῷ Ἰλίῳ, ἰδόντες τὴν Ἡσιόνην ἐν τῷ αἰγιαλῷ δεδεμένην, καὶ μαθόντες τὴν αἰτίαν, ὁ Ἡρακλῆς εἶπε δωσατῶς ἔχειν ῥύσασθαι ταύτην. καὶ ὑποσχεθεὶς παρὰ Λαομέδοντος ἀθανάτους ἵππους λαβεῖν, οὓς Ζεὺς ἔδωκε τῷ αὐτοῦ πάππῳ Τρωὶ ὑπὲρ Γανυμήδους τοῦ υἱοῦ αὐτοῦ, χωστὸν τεῖχος ποιήσας, καὶ στὰς ὡπλισμένος ἀπὸ τὸ σόμιον, ὡς κεχηνὸς ἐποίει τὸ κῆτος ἀθρόως, τῷ τότε ἐμπεπήδηκε σόματι. τρισὶ δὲ ἡμέραις καταθέμενος αὐτῷ ἐξῆλθεν ἀποβεβληκὼς καὶ τὴν ἑαυτοῦ τρίχα. μὴ δεξάμενος δὲ τὰ ὑποσχημένα παρὰ Λαομέδοντος, ἐξ ἧς ἀνδρῶν ἀπὸ τῆς Ἑλλάδος πληρώσας, ἀπεγενόμην πάλιν, πορθεῖ τὸ Ἴλιον, Τελαμῶνος πρώτου τοῦ τεῖχος ῥήξαντος, καὶ εἰσβάντος, Λαομέδοντα μετὰ τῶν ἐκείνου υἱῶν ἀναιρεῖ Ἡρακλῆς, πλὴν Ποδάρκους τοῦ Πριάμου καλουμένου, καὶ Ἡσιόνης. τὴν δὲ πόλιν πιμπρᾷ· καὶ Ἡσιόνην δὲ γέρας δίδωσι Τελαμῶνι, ὡς ἀριστεύσαντι, ἐξ ἧς ὕστερον Τελαμὼν τὸν Τεῦκρον γεννᾷ. τότε δὲ Ἡρακλῆς ἐκ τῆς Ἡσιόνης χαρίζεται, ὃν ἂν θέλῃ τῶν αἰχμαλώτων αἰτήσασθαι. ἡ δὲ τὴν ἑαυτῆς δοῦσα καλύπτραν, τὸν ἑαυτῆς ἀδελφὸν Ποδάρκην ἐπείλατο· ὅθεν ἐκλήθη καὶ Πρίαμος. καὶ δὲ τὴν ἀληθῆ ἰσορίαν μήτε Ποσειδῶν, μήτε Ἀπόλλων τὸ Ἴλιον ἐτείχισεν· ἀλλ' ὁ Λαομέδων οὐχ ὁσίως. ἦν δὲ ἐν τῇ ἀκροπόλει ἱερὸν Ποσειδῶνος καὶ Ἀπόλλωνος διαφερόντως, ὅθεν Λαομέδων ἀνήλισκε τὰ χρήματα εἰς τὴν τοῦ τείχους κατασκευήν.

ΠΕΡΙ ΤΟΥ ΠΡΙΑΜΟΥ.

ΠΡίαμος, παρὰ τὸ πρίασθαι λέγεται. περὶ τούτου ἱστορεῖ Λυκόφρων. ὅτε γάρ ποτε ἡ Τροία ἑάλω ὑφ' Ἡρακλέους, πριαμένη, ὡς εἴρηται, αὐτὸν Ἡσιόνη ἀδελφὴ, δῶρα καλύπτρας γυναικίας, αὐτὴ μὲν ἀπῆλθεν αἰχμάλωτος, ὑπὸ Τελαμῶνι ὄσα. τὸν δὲ ἀδελφὸν ἀφῆκε Ζώπυρον γένους ἑκεῖ, ἔχοντα ἐπ' ὀνόματος τὸ τοῦ πριάσθαι ὄνειδος· ἐξ οὗ καὶ μετωνομάσθη Πρίαμος, Ποδάρκης πρώτως καλούμενος.

ΠΕΡΙ ΤΟΥ ΠΡΙΑΠΟΥ.

ΠΡίαπος ἀσελγής τις καὶ ἀσχήμων θεὸς ὅτι παρὰ τοῖς παλαιοῖς. λέγεται γὰρ μὴ τὸ ἐλθεῖν τῷ Ἀφροδίτῃ ἐκ τῆς Αἰθιοπίας, κάλλος ἀμήχανον ἐπιφέρεσθαι, ὥστε καὶ τὸν Δία ἐρασθῆναι αὐτῆς· καὶ συγγενόμενος αὐτῇ, ζῆλον ἄπειρον τῇ Ἥρᾳ κατέλιπεν. εὐθὺς οὖν ἡ Ἥρα τὸ μέλλον σκοπήσασα, καὶ ὅτι ἤμελλε τὸν ἐκ τούτης τικτόμενον βρέφος, κάλλος ἔχων ὑπερφερὲς κατακρατῆσαι πάντων τῶν ἐκ τοῦ Διὸς τεχθέντων, προλαβοῦσα ἡ Ἥρα μαγγανείᾳ τινὶ, ἤψατο τῆς κοιλίας τῆς Ἀφροδίτης, καὶ παρεσκεύασε τὸ βρέφος κακόσεμνον τεχθῆναι. τεχθέντος οὖν τοῦ βρέφους ἀμόρφου καὶ ἀώρου πάνυ, αἰσχρόν τε καὶ περισσοσάρκου, καὶ ἑωρακυῖα αὐτὸ ἡ μήτηρ τὸ τεχθὲν πλεῖστον αὐτῇ τὸ ψόγον ἐπιφέρειν κακόπλασον ὄν, τοῦτο λαβοῦσα ἔρριψεν εἰς ὄρος. περιτυχὼν δὲ τούτῳ τις ποιμὴν, ἔλαβεν αὐτὸ καὶ ἀνέτρεφε· καὶ ὡς πρὸς εὐκαρπίαν τῆς γῆς, καὶ τῶν κτηνῶν καὶ τετραπόδων, νομίσας εἶναι τὸ ἐκείνου ὑπάρχον πάθος, λέγω δὴ τὸ τοῦ αἰδοίου, λαβὼν ἱδρύσατο καὶ ἐτίμησε, καὶ ὠνόμασε Πρίαπον· δηλῶν καὶ τὰ τῶν Παλῶν γλῶσσαν, τὰ ἐκ πλάνης τοὺς ἐν πλάνῃ, καὶ ἐν ἐρημίᾳ σῴζοντα· καὶ ἐξ ἐκείνου λέγεται παρὰ τοῖς ποιμέσι τιμᾶσθαι. τὸ δὲ ἄγαλμα αὐτοῦ, τὸ παρ' Αἰγυπτίοις, Ὧρος καλούμενον, ἀνθρωποειδὲς ποιοῦσιν, ἐν τῇ δεξιᾷ σκῆπτρον κατέχον, ὡσανεὶ παρ' αὐτοῦ φανεῖσθαι τῇ ξηρᾷ, καὶ τῇ θαλάσσαν· ἐν δὲ τῇ εὐωνύμῳ, κρατοῦν τὸ ἀιδοῖον αὐτοῦ ἐπτερωμένον· διότι τὰ κεκρυμμένα ἐν τῇ γῇ σπέρματα, φανερὰ καθίστησι. τὰ δὲ πτερὰ, τὴν ταχύτητα τῆς κινήσεως δηλοῖ· ὁ δὲ κύκλος τοῦ δίσκου, τὴν περιφέρειαν· αὐτὸν γὰρ τῷ ἡλίῳ δοξάζουσιν.

ΠΕΡΙ ΤΗΣ ΠΡΟΚΝΗΣ.

ΕΝ τῷ περὶ Πανδίονος ἱκανῶς ἐρρέθη.

ΠΕΡΙ ΠΡΟΚΡΙΔΟΣ.

ΠΡόκρις, Ἐρεχθέως θυγάτηρ ἦν. τούτῳ Κέφαλος ὁ Δηϊονέως γήμας, καὶ θέλων ἀποπειράσαϛ εἰ σωφρονοίη, ἀπεδήμησεν ἐξ αὐτῆ τῆ νυμφῶνος. μετὰ δὲ χρόνον, συσκιάσας ἑαυτὸν ἑτεροίῳ σχήματι, ἔρχεται εἰς τὴν οἰκίαν· καὶ κόσμον χρυσῆν εἰς πειθὼ προβαλόμενος, πείθει τὴν Πρόκριν μιγῆναι αὐτῷ· καὶ πεισθείσης, ἐκφαίνει ὁ Κέφαλος ἑαυτόν· ἡ αἰτιᾶται μὴ ἐκείνῳ ὡς μὴ ἑαυτῆς ἐγκρατῆ· ὅμως δὲ καταλλάττεται. τὸ δ' ἐντεῦθεν ἐξιόντα τὸν ἄνδρα συχνάκις ἐπὶ θήραν, ὑποπτεύει ἐκείνη, καὶ καλέσασα τὴν σιωπακτῆρα, ἐρωτᾷ τί ποιεῖ ὁ Κέφαλος συχνάκις ἀποδημῶν. ὁ δὲ, ἔφη ὡς ἐπί τινος κορυφῆς ὄρους ἐκεῖνος ἱστάμενος, βοᾷ, ὦ Νεφέλη φιλαγενές. ἡ δὲ Πρόκρις ὑπονοήσασα τὸ τῆ Νεφέλης ὄνομα, μήποτε λανθάνῃ κύριον ὄν, ἀπελθοῦσα ἐκεῖ, κρύπτεται. ἡ τῷ Κεφάλῳ ἀναβοωμένῳ τὸ σιώπιες, ἔξεσιν αὐτὴ, καὶ τρέχει εἰς αὐτόν. ὁ δὲ τῷ ἀδοκήτῳ διαταραχθείς, βάλλει αὐτὴν τῷ μὴ χεῖρας ἀκοντίῳ ἡ κτείνει. ἱστέον δὲ ὅτι περιάδεται ἐπ' ἀνδρίᾳ καὶ ἡ Πρόκρις αὕτη, καθὰ καί τις Ἀργαθώνη, καὶ ἑτέρα Ῥοδογύνη, ἡ ἄλλη Ἀταλάντη.

ΠΕΡΙ ΤΟΥ ΠΡΟΜΗΘΕΩΣ.

ΠΡομηθεὺς, υἱὸς Ἰαπετοῦ. οὗτος λέγεται κλέψαι τὸ πῦρ ἀπὸ τῶν θεῶν, ἡ ἐνεγκεῖν εἰς ἀνθρώπους· καὶ ὅτι ἀπὸ τὰ κρέα τῆς θυσίας, ἀπατήσας τὸν Δία, εἰς ὀργὴν ἐκίνησεν. διὸ τοῦτον θέλων τιμωρήσαϛ, ἐποίησεν ἀετὸν τὸ ἧπαρ αὐτοῦ ἐν τῷ Καυκάσῳ δεδεμένῳ κατεσθίειν. φασὶ δὲ ὅτι τῆς μὲν ἡμέρας ἤσθιε τοῦ ἥπατος ὁ ἀετός· τὸ δὲ νυκτὸς τὸ λειπόμενον ηὐξάνετο, καὶ ἐγίνετο ἴσον. οὕτω καὶ Ἡσίοδός φησι τὸν ἀετὸν ἐπιπεμφθῆναι αὐτῷ, διὰ τὴν τοῦ πυρὸς κλοπήν· ὁ δὲ Δῶρις, διὰ τὸ τὴν Ἀθηνᾶς ἐραθῆναι· ὅθεν τοὺς ἀπὸ Καυκάσιον οἰκοῦντας μόνῳ Διὶ καὶ Ἀθηνᾷ μὴ θύειν, διὰ τὸ κολάσεως αἰτίους Προμηθέα γενέσθαι· καθ' ὑπερβολὴν δ' σέβειν Ἡρακλέα τὴν τοῦ ἀετοῦ τοξείας χάριν. Φερεκύδης δὲ ὁ δευτέρῳ, Τυφῶνος καὶ Ἐχίδνης τὴν Φόρκυός φησι τὸν ἀετὸν ἐπιπεμφθέντα Προμηθεῖ. ὁ δὲ Ἡρόδωρος ξένως ἀπὸ τῶν δεσμῶν τοῦ Προμηθέως λοῦται εἶδος αὐτὸν Σκυθῶν βασιλέα φησί· καὶ μὴ διωκόμενον παρέχειν τοῖς ὑπηκόοις τὰ ἐπιτήδεια διὰ τὸν καλούμενον Ἀετὸν ποταμὸν ἐπικλύζειν τὰ πεδία, δεθῆναι ὑπὸ τῶν Σκυθῶν· ἐπιφανέντα δ' Ἡρακλέα, τὸν μὲν ποταμὸν ἀποστρέψαι εἰς τὴν θάλασ-

λαοσαν, καὶ διὰ τοῦτο μεμυθεῦσθαι ἀνηρηκέναι τὸν ἀετὸν Ἡρακλέα, τὸν δὲ Προμηθέα λῦσαι τοῦ δεσμοῦ. ἐν Ἀγρόιτας δὲ τῆς Σκυθικῆς, δαπανᾶσθαί φησι τὸ ἧπαρ Προμηθέως δόξαι ὑπὸ ἀετοῦ, διὰ τὸ τὴν κρατίστην τοῦ Προμηθέως χώραν τὸν ποταμὸν καλούμενον Ἀετὸν φθείρειν· ἧπαρ δὲ καλεῖσθαι πολλοῖς, ὥσπερ καὶ ἔθαρ τὸ εὔκαρπον λέγεσθαι γῆν. Ἡρακλέους δὲ ὑπερχετεύσαντος διώρυξι τὸν ποταμὸν, τόν τε ἀετὸν δόξαι ὑπ' αὐτοῦ κεχωρίσθαι, καὶ τὸν Προμηθέα λελύσθαι τοῦ δεσμοῦ. παραδεδομένης δὲ ὑπὸ τῶν παλαιῶν, ὅτι ὁ Προμηθεὺς ἐκ γῆς τὸ τῶν ἀνθρώπων γένος ἔπλασεν, εὐνοητέον Προμηθέα, τοιοῦτον ἐν τῇ τῶν ὅλων ψυχῇ κυρίαν, ἣν ἐκάλεσαν οἱ νεώτεροι πρόνοιαν. καὶ γὰρ τούτοις τὰ τ' ἄλλα ἐγένετο, καὶ ἐκ τῆς γῆς ἔφυσαν οἱ ἄνθρωποι, ἐπιτηδείως πρὸς ἓν τὸ ἐχάστης κατ' ἀρχὰς, τὴν τοῦ κόσμου συστάσεως. λέγεται καὶ σωθῆναί ποτε ὁ Προμηθεὺς τῷ Διΐ· πολλῆς γὰρ προμηθείας, πάσαις μὲν ἀρχῆ, καὶ προστάσεως πλειόνων, μάλιστα δὲ ἡ τοῦ Διὸς δεῖται· καὶ κλέψαι δέ φασιν αὐτὸν τὸ πῦρ τοῖς ἀνθρώποις, ὡς τῆς ἡμετέρας ἤδη σωτηρίας, καὶ προνοίας ἐπινοησάσης τὴν χρῆσιν τοῦ πυρός. καταλυέχθαι δὲ αὐτὸ ἐμυθεύσαντο ἐν τοῦ οὐρανοῦ, διὰ τὸ πλεονάζειν ἐκεῖ· ἢ ἐπεὶ οἱ κεραυνοὶ ἐκεῖθεν καταισκήπτουσι, διὰ πληγῆς τινὰ δὲ ἐξάπτοντες, τάχα τι τοῦτο καὶ διὰ τοῦ παρθένος αἰνιττόμενος. δεθεὶς δ' ἐπὶ τούτῳ ὁ Προμηθεὺς ἐκολάσθη, τοῦ ἥπατος αὐτοῦ ὑπ' ἀετοῦ καταβιβρωσκομένου· ἡ γὰρ ἡμετέρα ἐντρέχεια, τὸ προειρημένον πλεονέκτημα σοφὸν τοῖς ἄλλοις ἔχουσα, πειρᾶταί τινος παρ' ἑαυτοῦ δυσχρηστείας, προστιθεμένη ταῖς κατὰ τὸν βίον φροντίσιν ὀδυνηραῖς οὔσαις, καὶ ὥσπερ εἰς τὰ σπλάγχνα ἐν λεπτομερεστέροις ἐκβιβρωσκομένη. Θεόφραστος δὲ τὸν Προμηθέα φησὶ σοφὸν γεγόμενον, μεταδοῦναι πρῶτον τοῖς ἀνθρώποις φιλοσοφίας, ὅθεν καὶ διαδοθῆναι τὸν μῦθον, ὡς ἄρα πυρὸς μεταδοίη. λέγεται δὲ ὑπό τινων καὶ τὴν τεχνῶν εὑρετὴν γενέσθαι, δι' ἄδου ἄλλο, ἢ ὅτι σωτηρίας καὶ προμηθείας δεῖ πρὸς πᾶσι εὕρεσιν αὐτῶν. ἀδελφὸν δ' ἔφασαν εἶναι νεώτερον τοῦ Προμηθέως τὸν Ἐπιμηθέα, ἀνθρωπότερόν πως ὄντα τὸν τρόπον, διὰ τὸ προπετῆ τῇ τάξει τὴν προόρασιν τῶν ἐν τοῖς ἀποβαινόντων πανδεᾶς καὶ ἐπιμαθείας. τῷ γὰρ ὄντι ῥεχθὲν, καὶ παθὼν νήπιος ἔγνω. διὰ τοῦτο γὰρ τὴν πρώτην γυναῖκα γενομένην, συνοικῆσαι τοῦτον ἔφασαν. ἀφρονέστερον γάρ πως δεῖ τὸ θῆλυ εἶναι, καὶ ἐπιμηθεῖας μᾶλλον ἢ προμηθείας πεφυκός.

ΠΡΟΜΗΘΕΩΣ ΓΕΝΕΑΛΟΓΙΑ.

Ὁ ΟΥΡΑΝΟΣ ἐκ τῆς Γῆς
γεννᾷ

ΩΚΕΑΝΟΝ. ΙΑΠΕΤΟΝ. ΥΠΕΡΙΟ- ΚΡΟΝΟΝ. ΘΕΙΑΝ. ΡΕΑΝ.
ΝΑ.

ὃς καὶ ΠΡΟΜΗΘΕΥΣ, ἘΠΙΜΗΘΕΥΣ. ὃς καὶ Ὑπερίονα, ΗΛΙΟΝ, ΣΕΛΗΝΗΝ, ἩΩ. ὃς καὶ Κρόνα, ΖΕΥΣ, ΠΟΣΕΙΔΩΝ, ἍΔΗΝ, ΗΡΑΝ, ΔΗΜΗΤΡΑ.

ΠΕΡΙ ΤΟΥ ΠΡΟΠΙΝΕΙΝ.

ΠΑῦπες οἱ ἀρχαῖοι βασιλεῖς ἐπιπλῶντες ἑορτῇ πάνδημον, ἐν φιάλαις χρυσαῖς, ἢ ἀργυραῖς, κιρνῶντες ἐδέχοντο μὴ ὕδωρ τῷ οἴνοχόῳ αὐτοί. ἀπέπινον δὲ μικρὸν ἀπὸ τῆς κύλικος, ὡς συμβόλου ὄντος τούτου φιλίας καλῆς, καὶ τοῦτο παρεῖχεν ᾧ ἂν ἐβούλετο, χαριζόμενος ἐπὶ τῇ κύλικι. καὶ ἐκαλεῖτο αὐτὸ τοῦτο προπίνειν· ὅπερ ἡμεῖς λέγομεν φιλοτησίαν.

ΠΕΡΙ ΠΡΥΛΙΔΟΣ.

ΠΡύλις ἦν τις τῶν μάντεων, τῇ Ἴσῃ, ἤτοι τῇ Λέσβῳ, υἱὸς τοῦ Καδμίλου ἐκ Κάδμου, ἤτοι Ἑρμοῦ καὶ Ἴσης τινὸς νύμφης· ὃς προεφήτευσε τοῖς Ἕλλησι τῇ Λέσβῳ, ὑπέθετο τὸν τρόπον τῆς Ἰλίου ἁλώσεως διὰ μαντείας. ἔφη γὰρ Ἴλιον κατασκευὴν τοῦ δουρείου ἵππου πεισθεὶς ὑπὸ Παλαμήδους, πρὸς ὃν λέγει, ὦ Πρύλι, ὡς μὴ ὤφελέ σε τὸν Πρύλιν φυτεῦσαι ἐκ γυνῆσαι ὁ Κάδμος, ἤτοι ὁ Ἑρμῆς, ὅτε λεγόμενος παρὰ Βοιωτοῖς ἐν τῇ Ἴσῃ, καὶ Μιτυλήνῃ τῇ πεδιάδι, ἤτοι τῇ κυκλωμένῃ ὑπὸ θαλάσσης· φυτεῦσαι δὲ ποδηγέτην, ἐκ Ἑρμέα ὁδηγὸν τῶν Ἑλλήνων.

ΠΕΡΙ ΤΟΥ ΠΡΩΤΕΩΣ.

ΠΡωτεὺς, Θρᾷξ μὲν ἦν τὸ γένος· εἶχε δὲ υἱὸς Μῶλον, καὶ Τηλέγονον. τούτους λησὰς ὄντας, ἐλθὼν Ἡρακλῆς, ἀπέκτεινεν, ἀπερχόμενος διὰ τὰς Γηρυόνου βοῦς. τοῦτον ἔν ἀθυμοῦντα ὁ Πρωτεὺς διὰ τὴν ἀποβολὴν τῶν τέκνων, ἐκ ῥίψαντα ἑαυτὸν εἰς θάλασσαν, οἱ θεοὶ ἐλεήσαντες ἀπεθανάτισαν· καὶ γέγονε δαίμων ἐνάλιος, ἐκ ἔρχεται ἐκ οἰκεῖ τὴν κατ' Ἀλεξάνδρειαν Φάρον, ἢ ὁ ἀντίφαρον, ὃς ἐκ τάφος Ὀσίριδος λέγεται, ἐκ Εἰδοθέας τῆς τοῦ Πρωτέως. ἱστορεῖ δὲ ἐκ Λυκόφρων, ὅτι τῶν ξενοκτόνων παίδων ὁ τῆ

Θρᾳ-

Θρακικῇ Γαλλήνῃ ἀπαλλαγεὶς, ἀποκατέστη εἰς Φάρον μετὰ τῆς θυγατρὸς Εἰδοθέας, καὶ δαίμων ἐνομίσθη θαλάσσιος· διὸ καὶ Πρωτέως νῆσος ἡ Φάρος ἐκέκλητο. ἕτεροι δέ φασιν ὅτι Αἰγύπτιος ἦν τὸ γένος, ἐλθὼν δὲ ἐξ Αἰγύπτου εἰς Φαλάγραν τῆς Παλλήνης καὶ Θράκης, Τορώνῃ γαμεῖ· ἐξ ἧς αὐτῷ Τμῶλος, καὶ Τηλέγονος, οἱ καταπαλαίοντες τοὺς ξένους ἀνῄρουν· ὧν τῷ ξενοκτονίαν μὴ φέρων ὁ Πρωτεὺς, τῷ αὐτοῦ πατρὶ Ποσειδῶνι ἠύξατο, πάλιν καταστῆσαι αὐτὸν εἰς τὴν Αἴγυπτον. ὁ δὲ ὑπακούσας αὐτῷ, σπήλαια ἐκ τοῦ χάσματος τῆς Παλληνίας ποιήσας, ὑποκάτωθεν θαλάσσης, ὅτου διήγαγεν αὐτὸν ἀβρόχως, μέχρις Αἰγύπτου. Ἡρακλῆς δὲ ἐπὶ Θρᾴκην διερχόμενος, καὶ καταπαλαίσας, ἀνεῖλε τὸν Τμῶλον, καὶ τὸν Τηλέγονον· ὅπερ μαθὼν ὁ Πρωτεὺς, ὁ τούτων πατὴρ, ὑ γελᾷ μὴν ὅτι παῖδες ἦσαν αὐτοῦ· ὅτι δ' ξενοκτόνοι, οὐδὲ δακρύει, κατὰ τὸν μῦθον. τὸ δὲ ἀληθές· μὴ φέρων ὁ Πρωτεὺς τὰς ξενοκτονίας αὐτῶν, ἔρριψεν ἑαυτὸν κατά τι χάσμα τῆς Παλλήνης, καὶ ἀναιρεθεὶς, ὅτε δακρύει, ὅτε γελᾷ. ὅτος καὶ τοῦ Ἀλεξάνδρου τῷ Ἑλένῃ ἔλαβεν ἐλθόντος ἀπὸ τῆς Ἑλλάδος· καὶ ἔδωκεν αὐτῷ τὸ ἔδωλον αὐτῆς. ὕστερον δ' Μενελάου μετὰ τὸ Τρωϊκὸν πόλεμον μαθόντος ὡς ἐν Αἰγύπτῳ ὄντι ἡ Ἑλένη, καὶ ἐλθόντος πρὸς τὴν Πρωτέα, δέδωκεν αὐτῷ αὐτήν. λέγεται δὲ ὅτος ὁ Πρωτεὺς καὶ μετὰ τῶν φωκῶν ἐνδιαιτᾶσθαι, καὶ μεταμορφοῦσθαι πρὸς τοὺς ἐντυγχάνοντας· καὶ ποτὲ μὲν γίνεσθαι τοιόνδε, ποτὲ δ' τοιόνδε. ἵνα ὦν μὴ δι' αἰτίαν μαντείας καὶ προγνώσεως ἐνοχλήται διὰ τοὺς πλησιάζοντας αὐτῷ, τῷ τούτων μὴ φέρων ἐνόχλησιν, μεταμόρφου ἑαυτὸν μαγείᾳ τινὶ, καὶ ἄγνωστον ἑαυτὸν ἐποίει τοῖς πρὸς αὐτὸν πλησιάζουσιν.

ΠΕΡΙ ΤΗΣ ΠΥΘΙΑΣ.

Φωκὶς χώρα ἦν ἐν τῇ Ἑλλάδι· ἐν ταύτῃ δὲ πόλις καλουμένη Δελφοί· ἐν ᾗ δέ ἱερὸν τοῦ Ἀπόλλωνος, ὃ καλεῖται Πυθώ. ἐν τούτῳ τῷ ἱερῷ ἦν ὁ τρίπους καὶ αἱ ψῆφοι αἱ μαντικαί αἵ τινες ἦσαν ἐν τῇ φιάλῃ τοῦ τρίποδος. ἡνίκα δ' ὁ μαντευόμενος ἠρώτα περὶ τῆς μαντείας, αἱ ψῆφοι ἤλλοντο καὶ ἐκινοῦντο ἐν αὐταῖς. τότε δὴ ἡ μάντις ἀνεφορεῖτο ἐπὶ τοῦ τρίποδος καθημένη, καὶ ἔλεγεν ἃ ἤθελεν ὁ Ἀπόλλων· ἥτις Πυθία ἐκαλεῖτο· τὸ δὲ μέρος ἐν ᾧ ἐκάθητο, ὅλμος.

ΠΕΡΙ ΠΕΙΡΙΘΟΟΣ ΚΑΙ ΘΗΣΕΩΣ.

Πειρίθους καὶ Θησεὺς, ὁ μὲν Διὸς υἱός, ὁ δὲ, Ποσειδῶνος, φιλίαν ποιησάμενοι, ἁρπάσαι σωέθεντο τὴν Διὸς θυγατέρα. ἁρπάσαντες δὴ τὴν Ἑλένην, παρέθεντο ἐν Ἀφίδναις τῆς Ἀττικῆς Αἴθρᾳ τῇ Πιτθέως μὴ θυγατρὶ, μητρὶ δὲ Θησέως. Κάστωρ δὲ καὶ Πολυδεύκης οἱ τῆς Ἑλένης ἀδελφοὶ, πορθήσαντες τὴν Ἀττικὴν, Αἴθραν λαμβάνουσιν αἰχμάλωτον. ἀπαγέσης δ' πάλιν ὑπ' Ἀλεξάνδρε τ Ἑλένης, σωαπῆρεν αὐτῇ Αἴθρα ἐπὶ Τροίαν.

ΙΣΤΟΡΙΚΟΙ.

ΠΕΡΙ ΠΑΛΑΙΦΑΤΟΥ ΤΟΥ ΙΣΤΟΡΙΚΟΥ.

Παλαίφατος Ἀβυδηνὸς ἱστορικός. ἔγραψε Κυπριακὰ, Δηλιακὰ, Ἀττικὰ, Ἀραβικά. γέγονε δὲ ἐπὶ Ἀλεξάνδρε τῦ Μακεδόνος· παιδικὰ δ' Ἀριστοτέλες τῦ φιλοσόφε, ὡς Φίλων ἐν τῷ Υ στοιχείῳ τῦ περὶ τραδόξε ἱστορίας πρώτε βιβλίε· καὶ Θεόδωρος ὁ Ἰλιεὺς ἐν δευτέρῳ τῶν Τρωϊκῶν.

ΠΕΡΙ ΠΑΤΣΑΝΙΟΥ ΤΟΥ ΙΣΤΟΡΙΚΟΥ.

Παυσανίας Λάκων ἱστορικός. ἔγραψε περὶ Ἑλλησπόντε· Λακωνικὰ, χρονικὰ, περὶ Ἀμφικτυόνων· περὶ τῶν ἐν Λάκωσιν ἑορτῶν· καὶ ἄλλα.

ΠΕΡΙ ΠΟΛΕΜΩΝΟΣ ΤΟΥ ΙΛΙΕΩΣ.

Πολέμων Εὐηγέτε Ἰλιεὺς, κώμης Λυκίας, Ἀθήνησι δὲ πολιτογραφηθείς. διὸ ἐπεγράφετο Ἑλλαδικὸς, ὁ κληθεὶς Περιηγήτης. γέγονε κατὰ Πτολεμαῖον τὸν ἐπιφανῆ. κατὰ δὲ Ἀσκληπιάδην τὸν Μυρλεανὸν, συνεχρόνισεν Ἀριστοφάνει τῷ γραμματικῷ· καὶ δήκυτε ἐν τῷ Ῥοδίε Παναθηναϊκῷ. ἔγραψε περιήγησιν Ἰλίε ἐν βιβλίοις Γ· κλίσεις τῶν ἐν Φωκίδι πόλεων· καὶ περὶ τῆς τῶν Ἀθηναίων συγγενείας τῶν ἐν Πόντῳ πόλεων· περὶ τῶν ἐν Λακεδαίμονι πόλεων· καὶ ἄλλα πλείονα· ἐν οἷς ἐν κοσμικῷ περιήγησιν, ἥτοι γεωγραφίαν.

ΠΕΡΙ ΤΟΥ ΠΟΛΥΒΙΟΥ.

Πολύβιος, Λύκε υἱὸς, ἀπὸ Μεγάλης πόλεως τῆς Ἀρκαδίας, καθηγησάμενος Σκιπίωνος τῦ Ἀφρικανῦ, ὅτε ἐν Παναίτιος

ὁ φι-

ὁ φιλόσοφος, γεγονὼς κ᾽ Πτολεμαῖον τ᾽ ἐπικληθέντα Εὐεργέτην. ὅτος ἔγραψε τὴν μακρὰν ἱστορίαν Ῥωμαϊκὴν, ἐν βιβλίοις μ΄. ἄρχεται δ᾽ ἀπὸ τ᾽ φυγῆς Κλεομένους τ᾽ Σπαρτιάτου, ἐ Φιλίππου τ᾽ Περσέως υἱ᾽, τῇ διαδοχῇ τ᾽ Μακεδόνων, τὰ ἑξῆς ἐπισωμάπτων Ῥωμαίων.

ΠΕΡΙ΄ ΠΥΛΑ΄ΔΟΥ ΤΗ΄Σ ΙΤΑΛΙΚΗ΄Σ ΟΡΧΗ΄ΣΕΩΣ ΕΤΡΕΤΟΥ΄· ΚΑΙ΄ ΠΕΡΙ΄ ΟΡΧΗ΄ΣΕΩΣ.

Πυλάδης Κίλιξ, ἀπὸ κώμης μιθαρνῶν, ἔγραψε περὶ ὀρχήσεως τῆς Ἰταλικῆς, ἥτις εὑρέθη ὑπ᾽ αὐτ᾽· ἐ περὶ τῆς κωμικῆς καλυμμένης ὀρχήσεως, ἐ τῆς τραγικῆς, κ σατυρικῆς. γένη δὲ ὀρχήσεών εἰσι τάδε· τραγικὴ, κωμικὴ, σατυρικὴ, γυμνοπαιδικὴ, ὑπορχηματικὴ, πυρρίχη, ἐμμέλεια, κόρδαξ, σικιννίς. τρεῖς δὲ, κ τὸν Ἀθήναιον, εἰσὶν αἱ τῆς σκηνικῆς ποιήσεως ὀρχήσεις· τραγικὴ, κωμικὴ, σατυρικὴ. ὁμοίως δὲ κ τρεῖς τῆς λυρικῆς ποιήσεως· πυρρίχη, γυμνοπαιδικὴ, ὑπορχηματικὴ· κ ἔστιν ὁμοία ἡ μὲν πυρρίχη, τῇ σατυρικῇ· ἀμφότερα γὰ διὰ ὅπλων. πολεμικὴ δὲ δοκεῖ εἶ ἡ πυρρίχη· ἔνοπλοι γὰ αὐτὴν παῖδες ὀρχοῦνται. τάχους δὲ δεῖ τῷ πολέμῳ εἰς τὸ διώκειν, κ εἰς τὸ ἡττωμένους φεύγειν. καλεῖται δὲ κ ἡ σατυρικὴ ὄρχησις, σικιννὶς ἀπὸ Κρητὸς Σικίννου. ἡ δὲ γυμνοπαιδικὴ, παρεμφερὴς ὅτι τῇ τραγικῇ ὀρχήσει, ἥτις ἐμμέλεια καλεῖται. ἐν ἑκάτερα δὲ ὁρᾶται τὸ βαρὺ ἐ σεμνόν. ἡ δ᾽ ὑπορχηματικὴ, τῇ κωμικῇ οἰκειοῦται, ἥτις καλεῖται κόρδαξ. παιγνιώδεις δ᾽ εἰσὶν ἀμφότεραι. Ἀριστόξενος δέ φησι τὴν πυρρίχην, ἀπὸ τ᾽ Πυρρίχου Λάκωνος τὸ γένος τὴν εὕρεσιν λαβεῖν (Λακωνικὸν δέ ὅτι μέχρι κ νῦν ὄνομα ὁ Πύρριχος) κ τὸν μὲν ἀνδρεῖα ἐ γυναικεῖα πρόσωπα ὑποκινούμενον, μαγῳδὸν καλεῖσθ᾽· τὸν δὲ γυναικεῖα ἀνδρείοις, λυσῳδόν. σεμνώτερος δ᾽ τ᾽ Σωταδείων ὅστις ὁ ἱλαρῳδὸς καλούμενος· ᾠδὴν γὰ χιτίζεται. χρῆται δ᾽ ἐσθῆτι λευκῇ ἀνδρείᾳ, κ στεφανοῦται χρυσοῦν στέφανον. ἐ τὸ μὲν παλαιὸν ὑποδήμασιν ἐχρῆτο, ὡς φησιν ὁ Ἀριστοκλῆς· νῦν δ᾽ κρηπῖσι. ψάλλει δ᾽ αὐτῷ ἄρρην, ἡ θήλεια, ὡς ἐ τῷ αὐλῳδῷ. δίδοται δ᾽ ὁ τέδανος τῷ ἱλαρῳδῷ ἐ τῷ αὐλῳδῷ, ὑ τῷ ψάλτῃ, ὑδὲ τῷ αὐλητῇ. ὁ δὲ μαγῳδὸς καλούμενος τύμπανα ἔχει κ κύμβαλα, κ πάντα τὰ περὶ αὐτὸν ἐνδύματα γυναικεῖα. χιτίζεταί τε, κ πάντα ποιεῖ τὰ ἔξω κόσμου ὑποκινούμενος, ποτὲ μὲν γυναῖκα κ μοιχὸν κ μαστροπόν· ποτὲ δὲ ἄνδρα μεθύοντα ἐ ἐπὶ κῶμον παραγινόμενον πρὸς

Πὼ

τῶν ἐρωμένων. φησὶ δὲ ὁ Ἀριστόξενος τὴν μὲν ἱλαρῳδίαν σεμνῶν οὖσαν περὶ τὴν τραγῳδίαν εἶναι, τὴν δὲ μαγῳδίαν περὶ τὴν κωμῳδίαν. πολλάκις δ' οἱ μαγῳδοὶ καὶ κωμικὰς ὑποθέσεις λαβόντες ὑπεκείθησαν εἰς τὴν οἰκείαν ἀγωγὴν καὶ διάθεσιν. ἔχει δ' οὕτω τὸ νόημα· ἡ μαγῳδία, ἀπὸ τοῦ οἴνου μανικὰ προφέρουσα καὶ φαρμάκων ἐμφανίζειν δυνάμεις.

ΔΙΑΤΙ ΟἹ ΕΡΩΝΤΕΣ ΜΕΤΑ ΧΕΙΡΑΣ ΑΝΘΗ ΚΑΙ ΜΗΛΑ ΦΕΡΟΤΣΙ.

Κλέαρχος ὁ Σολεύς, ἐν τοῖς ἐρωτικοῖς, διατί, φησί, μετὰ χεῖρας ἄνθη καὶ μῆλα, καὶ τὰ τοιαῦτα φέρομεν; πότερον ὅτι καὶ διὰ τούτων ἀγαπήσεως ἡ φύσις μηνύει τὰς τῆς ὥρας ἔχοντας τὴν ἐπιθυμίαν. διὰ τοῦτο οὖν οἷον δεῖγμα τῆς ὄψεως τὰ ὡραῖα κατὰ χεῖρας ἔχουσι, καὶ χαίρουσιν αὐτοῖς· ἢ δυοῖν χάριν ταῦτα περιφέρουσιν. ἀρχή τε γὰρ εὐτυχίας, καὶ παράδειγμα τῆς βουλήσεως αὐτοῖς γίνεται διὰ τούτων, αἰτηθεῖσι τῷ προσαγορευθῆναι, δοῦσι δὲ τῷ ὑπογράφειν ὅτι δεῖ καὶ αὐτὰς μεταδιδόναι τῆς ὥρας. ἡ γὰρ τῶν ὡραίων ἀνθῶν καὶ καρπῶν αἴτησις, εἰς ἀνάλωσιν τῆς τοῦ σώματος ὥρας προκαλεῖται τοὺς λαβόντας· ἢ τὴν τούτων ὥραν πρὸς ψυχὴν καὶ εὐμυθίαν τῆς ἐπὶ τοῖς ἐρωμένων ὥρας ταῖς ἐπιθυμίαις χαίροντες ἔχουσιν αὐτοῖς· ἐκκρύεται γὰρ ὑπὸ τῆς τούτων παρουσίας ὁ τῶν ἐρωμένων πόθος. εἰ μὴ ἄρα τοῦ περὶ αὐτὰς κόσμου χάριν, καθάπερ ἄλλο τι τῶν πρὸς καλλωπισμὸν συμπιπόντων ἔχουσί τε ταῦτα καὶ χαίρουσιν αὐτοῖς. οὐ γὰρ μόνον στεφανουμένοις τοῖς ὡραίοις ἄνθεσιν, ἀλλὰ καὶ μετὰ χεῖρας ἐχόντων τὸ πᾶν εἶδος ἐπικοσμεῖται· τάχα δ' ἴσως, διὰ τὸ φιλοκάλως εἶναι. δηλοῖ δὲ τὸ τῶν καλῶν ἐρᾶν, καὶ πρὸς τὰ ὡραῖα φιλικῶς ἔχειν. καλὸν γάρ τι τῆς ὀπώρας, καὶ τὸ τῆς ὥρας ὄντως πρόσωπον ἔν τε καρποῖς καὶ ἄνθεσι θεωρούμενον· ἢ πάντες οἱ ἐρῶντες οἷον ἐκτρυφῶντες ὑπὸ τοῦ πάθους καὶ ὠμοφαγοῦντες, τοῖς ὡραίοις ἀβρύνονται. φυσικὸν γὰρ δή τι τὸ τοὺς ὁμοιοῦσθαι καλοὺς καὶ ὡραίους ἀνθολογεῖν. καὶ Σαπφὼ φησὶν ἰδεῖν ἄνθε' ἀμέργουσαν παῖδ' ἄγαν ἁπαλάν.

ΡΗΤΟΡΕΣ.

ΠΕΡΙ ΠΑΛΛΑΔΙΟΥ ΤΟΥ ΡΗΤΟΡΟΣ.

Παλλάδιος, Μεθωναῖος ῥήτωρ. γέγονε δὲ ἐπὶ Κωνσταντίνου τοῦ Βασιλέως. ἔγραψε περὶ τῶν παρὰ Ῥωμαίοις ἑορτῶν· διαλέξεις· λόγους διαφόρους, Ὀλυμπιακὸν, πανηγυρικὸν, δικανικόν. ΠΕ-

ΠΕΡΙ ΠΑΓΚΡΑΤΙΟΤ ΤΟΥ ΣΟΦΙΣΤΟΥ.

ΠΑγκράτιος Σοφιστής. ἔγραψεν ὑπόμνημα εἰς τὸν Μινυκιανὸν τέχνιον.

ΠΕΡΙ ΠΑΥΛΟΥ ΤΟΥ ΤΥΡΙΟΥ ΡΗΤΟΡΟΣ.

ΠΑῦλος Τύριος Ῥήτωρ· γεγονὼς κατὰ τὸν Φίλωνα τὸν Βύβλιον, ὃς ἐπὶ Ἀδριανοῦ τοῦ βασιλέως προεσβεύσας, μητρόπολιν τὴν Τύρον ἐποίησεν. ἔγραψε τέχνην ῥητορικὴν, προγυμνάσματα, μελέτας.

ΠΕΡΙ ΠΑΥΛΟΥ ΤΟΥ ΣΟΦΙΣΤΟΥ.

ΠΑῦλος Γερμῖνος σοφιστὴς, ὁ γράψας ὅτι γε Λυσίᾳ ὀξὺ τὰ περὶ τὴς Ἰφικράτους δωρεᾶς βιβλία β'. ὑπομνήματα εἰς τοὺς λοιποὺς λόγους τοῦ Λυσίου. ἕτερος Παῦλος Αἰγύπτιος σοφιστὴς, ἐκ τῆς Λύκων, υἱὸς Βησσαρίωνος, τοῦ καὶ Διδύμου, γεγονὼς ἐπὶ Κωνσταντίνου τοῦ βασιλέως.

ΠΕΡΙ ΠΑΤΣΑΝΙΟΥ ΤΟΥ ΣΟΦΙΣΤΟΥ.

ΠΑυσανίας, Καισαρεὺς σοφιστὴς, σύγχρονος Ἀριστείδου· οὗ μέμνηται ὡς φαύλου ῥήτορος Φιλόστρατος ἐν τοῖς τῶν σοφιστῶν βίοις. ἔγραψε περὶ στωτάξεως βιβλίον ἕν· προβλημάτων βιβλίον ἕν.

ΠΕΡΙ ΤΟΥ ΠΕΡΙΚΛΕΟΥΣ.

ΠΕερικλῆς Ξανθίππου καὶ Ἀγαρίστης, Ἀθηναῖος ῥήτωρ καὶ δημαγωγός· ὅστις πρῶτος χρηματὸν λόγον ὑπὲρ δικασηρίου εἶπε, τῷ πρὸ αὐτοῦ χρεωστοῦντι. ἦν δὲ μαθητὴς Ἀναξαγόρου τοῦ Κλαζομενίου· καὶ αὐτὸς ἐρρύσατο αὐτὸν ὑπὸ θανάτου.

ΠΕΡΙ ΠΕΤΡΟΥ ΤΟΥ ΡΗΤΟΡΟΣ ΚΑΙ ΜΑΓΙΣΤΡΟΥ.

ΠΕτρος ὁ ῥήτωρ, ὁ καὶ Μάγιστρος, καὶ ἱστορικὸς, πρεσβευτὴς ὡς Χοσρόην σταλεὶς, μάλα ἐμβριθής τε ἦν καὶ ἀνάλωτος ὑπὸ τῷ ῥητορεύειν τῷ καταμιλάξαι φρονήματα βαρβαρικὰ, σκληρά τε καὶ ὀγκώδη. ἔγραψεν ἱστορίας, καὶ περὶ πολιτικῆς καταστάσεως.

ΠΕΡΙ ΠΟΛΕΜΩΝΟΣ ΤΟΥ ΡΗΤΟΡΟΣ.

Πολέμων Λαοδικεύς, ῥήτωρ καὶ σοφιστής· σοφισεύσας ἐν Σμύρνῃ· διδάσκαλος Ἀδριανοῦ τοῦ ῥήτορος. ἦν δὲ ἐπί τε Τραϊανοῦ καὶ μεθ' αὐτὸν μαθητὴς Τιμοκράτους τοῦ ἐξ Ἡρακλείας τοῦ ἐν τῷ Πόντῳ, φιλοσόφου, ἐκ Σκοπελιανοῦ τοῦ σοφιστοῦ. ἐτελεύτησε γ' ἐξ καὶ πεντήκοντα ἐνιαυτῶν. ἑαυτὸν ἐν τῷ τάφῳ ἐμβαλών, καὶ ἀποκαρτερήσας, διὰ τὸ σπανέχθαι τῇ ἀρθρίτιδι νόσῳ· διὸ καὶ τῶν συγγενῶν καὶ τῶν φίλων θρηνούντων, λέγεται εἰπεῖν πρὸς αὐτούς· τί Πολέμωνα· δότε μοι ἕτερον σῶμα καὶ μετεμβήσομαι· καὶ τοῖς ἰατροῖς δὲ ἐπὶ συχνῷ τέμνουσιν αὐτὸν ἔλεγεν, ἐκτέμνετε τὰς Πολέμωνος λατομίας ὡς τάχιστα.

ΠΕΡΙ ΠΟΛΥΔΕΥΚΟΥΣ.

Πολυδεύκης Ναυκρατίτης. τινὲς δὲ Ἀρδυέννας σοφιστὴν γράφουσι παίζοντες· πόλις δὲ Φοινίκης, ἡ Ἀρδυέννα. ἐπαίδευσεν ἐν Ἀθήναις ἐπὶ Κομόδου τοῦ βασιλέως, καὶ ἐτελεύτησε βιοὺς ἔτη νή. συντάξας βιβλία, ταῦτα· ὀνομαστικὸν ἐν βιβλίοις δέκα. ἔστι δὲ συναγωγὴ τῶν διαφόρως κατὰ τοῦ αὐτοῦ λεγομένων· διαλέξεις, ἤτοι λαλιάς· μελέτας· εἰς Κόμοδον Καίσαρα ἐπιθαλάμιον· ῥωμαϊκὸν λόγον· σαλπιγκτὴν, ἢ ἀγῶνα μυστικόν· καὶ Σωκράτους· καὶ Σινωπέων· πανελλήνιον· Ἀρκαδικόν· καὶ πολλὰ ἄλλα.

ΠΕΡΙ ΠΟΛΥΑΙΝΟΥ ΤΟΥ ΣΟΦΙΣΤΟΥ.

Πολύαινος, Σαρδιανὸς σοφιστής. γεγονὼς ἐπὶ τοῦ πρώτου Καίσαρος Γαΐου. ἔγραψε λόγους δικανικούς· καὶ δικῶν, ἤτοι συνηγοριῶν ὑποτυπώσεις· στρατάμβους, Παρθικά, βιβλία Γ· καὶ ἄλλα. καὶ ἕτερος Μακεδὼν ῥήτωρ· ὃς καὶ Θηβῶν ἔγραψε· καὶ τακτικῶν βιβλία τρία.

ΠΕΡΙ ΠΟΛΥΚΡΑΤΟΥΣ ΤΟΥ ΡΗΤΟΡΟΣ.

Πολυκράτης Ἀθηναῖος ῥήτωρ, δεινός τε, καὶ τοὺς τοῦ Σωκράτους λόγους δεύτερος Ἀνύτῳ καὶ Μελίτῳ γράψας.

ΠΕΡΙ ΠΟΣΕΙΔΩΝΙΟΥ ΤΟΥ ΣΟΦΙΣΤΟΥ.

Ποσειδώνιος Ὀλβιοπολίτης, σοφιστὴς καὶ ἱστορικός· ἔγραψε περὶ τοῦ Ὠκεανοῦ καὶ τῶν κατ' αὐτόν· περὶ τῆς Τυρικῆς καλουμένης χώρας· Ἀττικὰς ἱστορίας ἐν βιβλίοις πεσσαρσι· Λιβυκὰ, ἐν βιβλίοις ιά.

ΠΕ-

ΠΕΡΙ ΠΟΤΑΜΩΝΟΣ.

Ποτάμων Μιτυληναῖος, υἱὸς Λεσβόνακτος, ῥήτωρ, ἐσοφίσευσεν ἐν Ῥώμῃ ἐπὶ Καίσαρος Τιβερίου. ὃς ποτὲ αὐτοῦ εἰς τὴν πατρίδα ἐταιρόντος ὁ βασιλεὺς ἐφοδιάζων τοιοῖσδε γράμμασι· Ποτάμωνα Λεσβόνακτος εἴτις ἀδικεῖν τολμήσει, σκεψάσθω εἰ μοι δυνήσεται πολεμεῖν. ἔγραψε περὶ Ἀλεξάνδρου τοῦ Μακεδόνος· ὄρος Σαμίων· Βρύττιον ἐγκώμιον· Καίσαρος ἐγκώμιον· περὶ Τελείου ῥήτορος πάνυ θαυμαστῶς.

ΠΕΡΙ ΠΩΛΙΩΝΟΣ ΤΟΥ ΣΟΦΙΣΤΟΥ.

Πωλίων ὁ Ἀσίνιος, χρηματίσας Τραλλιανὸς σοφιστὴς, καὶ φιλόσοφος, σοφιεύσας ἐν Ῥώμῃ ἐπὶ Πομπηίου τοῦ μεγάλου, ὃς διαδεξάμενος τὴν σχολὴν τοῦ Τιμαγένους, ἔγραψεν ἐπιτομὴν τῆς Φιλοχώρου Ἀτθίδος· ἀπομνημονεύματα Μυσωνίου τοῦ φιλοσόφου· ἐπιτομὴν τῆς Διοφάνους γεωργικῶν ἐν βιβλίοις β'· ὡροὺς Ἀριστοτέλους περὶ ζώων βιβλία ι'· περὶ τοῦ ἐμφυλίου τῆς Ῥώμης πολέμου, ὃν ἐπολέμησαν Καῖσάρ τε καὶ Πομπήϊος.

ΠΕΡΙ ΠΩΛΟΥ ΤΟΥ ΡΗΤΟΡΟΣ.

Πῶλος, Ἀκραγαντῖνος ῥήτωρ, μᾶλλον δὲ σοφιστὴς τῆς πάλαι, διδάσκαλος Λικυμνίου. ἔγραψε χρεαλογίαν τῆς ἐπὶ Ἴλιον στρατευσάντων Ἑλλήνων καὶ βαρβάρων· καὶ ὡς ἕκαστος ἀπήλλαξε. τινὲς δὲ αὐτὸ Ἀμάσου ἐπιγράφουσι. νεῶν κατάλογον, περὶ λέξεων.

ΠΕΡΙ ΠΡΙΣΚΟΥ ΤΟΥ ΣΟΦΙΣΤΟΥ.

Πρίσκος Πανίτης σοφιστὴς, ἐπὶ Θεοδοσίου τοῦ μικροῦ. ἔγραψεν ἱστορίαν Βυζαντικὴν· καὶ κ' Ἄτταλον ἐν βιβλίοις ὀκτὼ, μελέτας τε ῥητορικὰς καὶ ἐπιστολάς.

ΠΕΡΙ ΠΡΟΑΙΡΕΣΙΟΥ ΤΟΥ ΣΟΦΙΣΤΟΥ.

Προαιρέσιος Παγκρατίου Καππαδόκης ἀπὸ Καισαρείας, σοφιστὴς, μαθητεύσας ἐν Ἀντιοχείᾳ, πρὸ Ἰουλιανοῦ. γέγονε δὲ μικρὸν πρὸ τοῦ σοφιστοῦ Λιβανίου κ' τὰς Ἀθήνας σοφιεύων· καὶ τιμῆς ἔτυχε τῆς μεγίστης τοῦ αὐτοκράτορος Κωνσταντίνου. ἔγραψε μελέτας ῥητορικάς.

ΠΕΡΙ ΠΡΟΚΟΠΙΟΥ ΤΟΥ ΡΗΤΟΡΟΣ.

Προκόπιος Ἰλλύριος Καισαρεὺς, ὁ Παλαιστίνης, ῥήτωρ. ἔγραψεν ἱστορίαν ῥωμαϊκὴν· ἦγεν τὸς πολέμους Βελισαρίου, τὰ κ᾽ Ῥώμην κ᾽ Λιβύην πραχθέντα. γέγονεν ἐπὶ Ἰουστινιανοῦ, ὑπογραφεὺς χρηματίσας Βελισαρίου. ἔγραψε δὲ τὰ καλούμενα ἀνέκδοτα τῶν αὐτοῦ πράξεων· Περσικά, Γοτθικά.

ΠΕΡΙ ΠΡΩΤΑΓΟΡΟΥ ΤΟΥ ΑΒΔΗΡΙΤΟΥ.

Πρωταγόρας Ἀβδηρίτης υἱὸς Ἀρτέμωνος, ἢ δὲ Μαιανδρίου. τινὲς δ᾽ κ᾽ Τήϊον ἀνέγραψαν. οὗτος πρῶτος τὸς ἐριστικὸς λόγους εὗρε, καὶ ἀγῶνα λόγων ἐποιήσατο· κ᾽ διεῖλε πάντα λόγον εἰς τέσσαρα· εἰς εὐχωλὴν, ἐρώτησιν, ἀπόκρισιν, ἐντολήν.

ΠΕΡΙ ΠΥΘΙΟΥ ΤΟΥ ΡΗΤΟΡΟΣ.

Πυθίας, Ἀθηναῖος ῥήτωρ, υἱὸς δὲ ἦν Μυλώθρου, ἢ θρασὺς σφόδρα. φυγὼν τε Ἀθήνηθεν ὑπὸ τοῦ δεσμωτηρίου διὰ ὄφλημα, εἰς Μακεδονίαν ἦλθεν· εἶτα ἐπανῆκε πάλιν. ἔγραψε λόγους δημηγορικοὺς ἢ δικανικούς· ἢ ἄλλα τινά. ἀλλ᾽ οὐκ ἐκλήθη μετὰ τῶν λοιπῶν ῥητόρων.

ΠΟΙΗΤΑΙ.

ΠΕΡΙ ΠΑΛΑΜΗΔΟΥΣ.

Παλαμήδης Ναυπλίου ἢ Κλιμένης Ἀργεῖος, ἐποποιός. ἦν δ᾽ ἀνεψιὸς τοῦ βασιλέως Ἀγαμέμνονος ἀπὸ μητρός. ἔσχε δὲ εὐφυῶς πρός τε φιλοσοφίαν ἢ ποιητικήν· ἢ εὑρετὴς γέγονε τῶν ζῆτα στοιχείου, ἢ Π, Φ, ἢ τοῦ Χ, ψήφων τε ἢ πεσσῶν, κ᾽ κύβων, κ᾽ μέτρων, κ᾽ σαθμοῦ. τὰ δ᾽ ποιήματα αὐτοῦ ἠφανίσθη ὑπὸ τῶν Ἀγαμέμνονος ἀπογόνων διὰ βασκανίαν.

ΠΕΡΙ ΠΑΛΑΙΦΑΤΟΥ ΤΟΥ ΠΟΙΗΤΟΥ.

Παλαίφατος ἐποποιὸς Ἀθήνησιν, υἱὸς Ἀκταίου καὶ Βιᾶς. οἱ δ᾽ Ἰσκλέους φασὶ κ᾽ Μετανείρας, οἱ δ᾽, Ἑρμοῦ. γέγονε δὲ, κ᾽ μέν τινας, μετὰ Φημονόην· κ᾽ δὲ ἄλλους ἢ πρὸ αὐτῆς. ἔγραψε δὲ κοσμοποιΐαν εἰς ἔπη ,β· Ἀπόλλωνος κ᾽ Ἀρτέμιδος γονὰς ἔπη ,Γ· Ἀφροδίτης ἢ Ἔρωτος φωνὰς κ᾽ λόγους, ἔπη ,ε· Ἀθηνᾶς ἔριν καὶ Ποσειδῶνος, ἔπη ,α· Δητοῦς πλόκαμον.

ΠΕ-

ΠΕΡΙ ΠΑΜΠΡΕΠΙΟΥ ΤΟΥ ΠΟΙΗΤΟΥ.

ΠΑμπρέπιος Πανοπολίτης, ἐπῶν ποιητής· ἀκμάσας κ̣ Ζήνωνα τὸν βασιλέα. ἔγραψεν ἐτυμολογιῶν ἀπόδοσιν· Ἰσαυρικὰ καταλογάδην.

ΠΕΡΙ ΠΑΝΟΛΒΙΟΥ ΤΟΥ ΠΟΙΗΤΟΥ.

ΠΑνόλβιος, ἐπῶν ποιητής. ἔγραψε διάφορα· καὶ ὡροὺς Ἐθέριον μ̣ τ̣ νόστον δι' ἐπῶν· καὶ ὡροὺς Ἐρύθειον, καὶ ὡροὺς Δωρόθεον ἡγεμόνα καὶ κόμητα· καὶ εἰς Ἀφθόνιον κόμητα· καὶ ἐπιτάφιον Ὑπατίας θυγατρὸς Ἐρυθείου.

ΠΕΡΙ ΠΑΝΤΑΣΙΔΟΥ ΤΟΥ ΠΟΙΗΤΟΥ.

ΠΑνύασις, Γολυάρχου Ἁλικαρνασεύς, ποιητὴς ἐπῶν, καὶ τερατοσκόπος· ὃς σβεσθεῖσαν τῷ ποιητικὴν ἐπανήγαγε. γέγονε κ̣ τῷ ὀή Ὀλυμπιάδα· κ̣ δέ τινας ἐπὶ τ̣ Περσικῶν. ἀνῃρέθη ὑπὸ Λυγδάμιδος τῷ τρίτῳ τυραννήσαντος Ἁλικαρνασσοῦ. οἱ δὲ ποιηταῖς τάττεται μεθ' Ὅμηρον· κ̣ δέ τινας, μ̣ Ἡσίοδον καὶ Ἀντίμαχον. ἔγραψε δὲ καὶ Ἡρακλειάδα ἐν βιβλίοις ιδ', ὡς ἔπη ,θ Ἰωνικὰ ἐν πενταμέτρῳ. ἔστι δὲ τὰ περὶ Κόδρου καὶ Νηλέως καὶ τὰς Ἰωνικὰς ἀποικίας εἰς ἔπη ζ.

ΠΕΡΙ ΠΑΡΘΕΝΙΟΥ ΤΟΥ ΝΙΚΑΕΩΣ.

ΠΑρθένιος Ἡρακλείδου καὶ Εὐδώρας· Ἕρμιππος δὲ Τήθας φησί· Νικαεύς, ἢ Μυρλεανός, ἐλεγειοποιὸς καὶ μέτρων διαφόρων ποιητής· ἐπὶ Τιβερίου. ἔγραψεν ἐλεγεῖα εἰς Ἀφροδίτην· Ἀρήτης ἐπικήδειον τῆς γαμετῆς· καὶ ἐγκώμιον εἰς τὸν αὐτὸν ἐν τρισὶ βιβλίοις.

ΠΕΡΙ ΠΑΡΘΕΝΙΟΥ ΤΟΥ ΧΙΟΥ.

ΠΑρθένιος Χῖος ἑπτοιοὺς, υἱὸς Θέσπορος, ὃς ἐπεκαλεῖτο Χάος· Ὁμήρου δὲ ἦν ἀπόγονος. ἐποίησεν εἰς Θέστορα τὸν ἑαυτοῦ πατέρα.

ΠΕΡΙ ΠΕΙΣΑΝΔΡΟΥ ΤΟΥ ΠΟΙΗΤΟΥ.

ΠΕίσανδρος Πείσωνος καὶ Ἀριστίχμας Καμιραῖος, ἀπὸ Ῥόδου. Κάμιρος γὰρ πόλις Ῥόδου. φέρεται αὐτοῦ ποιήματα Ἡρακλεια ἐν βιβλίοις β'. ἔστι δὲ τὰ τοῦ Ἡρακλέους ἔργα· ἔνθα πρῶ-

τος

τος Ἡρακλεῖ ῥόπαλον περιτέθεικε. ☙ ἕτερος Πείσανδρος Νέσορος τῦ ποιητῦ υἱός, Λαρανδεύς, ἢ Λυκάων· γεγονὼς ἐπὶ Ἀλεξάνδρᾳ βασιλέως τῦ Μαμαίας παιδός, ἐποποιός. ἔγραψεν ἰσοείαν ποικίλῳ δι' ἐπῶν, ἣν ἐπιγράφει ἡρωϊκῶν θεογαμίων, ὦν βιβλίοις ἕξ· ☙ ἄλλα καταλογάδην.

ΠΕΡΙ ΠΙΓΡΗΤΟΣ ΤΟΥ ΠΟΙΗΤΟΥ.

Πίγρης Καρ ἀπὸ Ἁλικαρνασσῦ, ἀδελφὸς Ἀρτεμισίας τῆς ὑπὸ τοῖς πολέμοις διαφανῦς, Μαυσωλῦ γυναικός· ὃς τῇ Ἰλιάδι παρενέβαλε κῆ στίχον ἐλεγεῖον, ὅπω γράψας·

Μῆνιν ἄειδε θεὰ Πηληϊάδεω Ἀχιλῆος,
Μῦσα γὰ σὺ πάσης πείρατ' ἔχεις σοφίης.

ἔγραψε καὶ τὸν εἰς Ὅμηρον ἀναφερόμενον Μαργίτῃ, καὶ Βατραχομυομαχίαν.

ΠΕΡΙ ΤΟΥ ΠΙΝΔΑΡΟΥ.

Πίνδαρος, Θηβαῖος, Σκοπελίνᾳ υἱός, κῆ δέ τινας, Δαϊφάντᾳ, ὃ ☙ ἀληθέστερον· γεγονὼς κῆ τὴ ξὲ Ὀλυμπιάδα, κῆ τὴ Ξέρξᾳ στρατιὰν ὢν ἐτῶν μ'. ☙ σιωέβη αὐτῷ τὸ βίον ἀπαλλάξαι, κατ' εὐχάς. αἰτήσαντι γὰ τὸ κάλλιστον αὐτῷ δοθῆναι τῦ ἐν τῷ βίῳ, ἀθρόον αὐτὸν ἀποθανεῖν ὑπ θεάτρῳ ἀνακεκλιμένον εἰς τὰ τῦ ἑρωμένυ Θεοξένυ αὐτῦ γόνατα ἐτῶν νέ. ἔγραψε δ' ὑπ βιβλίοις ιζ' Δωείδι διαλέκτῳ ταῦτα· Ὀλυμπιονίκας· πυθιονίκας· προσόδια· παρθένια· ὑπορχήματα· ὕμνυς· διθυράμβυς· σκολιά· ἐγκώμια· θρήνυς· δράματα τραγικὰ ιζ'· ἐπιγράμματα ἐπικά· καὶ καταλογάδην προοιμίασεις τοῖς Ἕλλησι· καὶ ἄλλα πλεῖστα. καὶ ἕτερος Πίνδαρος Σκοπελίνυ Θηβαῖος, καὶ αὐτὸς λυρικὸς, ἀνεψιὸς τῦ προτέρυ.

ΠΕΡΙ ΠΛΑΤΩΝΟΣ ΤΟΥ ΚΩΜΙΚΟΥ.

Πλάτων Ἀθηναῖος κωμικὸς, γεγονὼς τοῖς χρόνοις κῆ Ἀριστοφάνει, Φρύνιχον, Εὔπολιν ☙ Φερεκράτει. δράματα δὲ αὐτῦ κή· Ἄδωνις· Ἀφιέρων· γρῦπες· μύρμηκες· νὺξ μακρά· Δαίδαλος· ἑορταί· Ἑλλάς, ἢ νῆσοι· Εὐρώπη· Ζεὺς καλύμβιος· Ἰώ· Κλεοφῶν· Λάϊος· Λάκωνες, ἢ ποιηταί· μέτοικοι· μαμάκυθος· Μενέλεως· νίκαι· ξάνθαι, ἢ Κέρκωπες· περίαλγος ποιητὴς, Πείσανδρος· πρέσβεις· παιδίον· σοφισαί· συμμαχία· σκευαί· σύριγξ· Ὑπέρβολος· Φάων. ἔστι δὲ λαμπρὸς τὴ χαρακτῆρα πόνυ.

ΠΕ-

ΠΕΡΙ ΠΟΛΥΕΥΚΤΟΥ ΤΟΥ ΚΩΜΙΚΟΥ.

Πολύευκτος κωμικός· τοῦτο δράμα ὄζει ἠνίοχῳ, ὡς Ἀθηναίῳ ὁ Δειπνοσοφιστὴς φησι.

ΠΕΡΙ ΠΟΛΥΖΗΛΟΥ ΤΟΥ ΚΩΜΙΚΟΥ.

Πολύζηλος κωμικός. δράματα αὐτοῦ, νίπτρα· Δημοτωιδάρεως· Μυσῶν γοναί· Διονύσου γοναί· Ἀφροδίτης γοναί· Ἄρεως γοναί.

ΠΕΡΙ ΠΟΣΙΔΙΠΠΟΥ ΤΟΥ ΚΩΜΙΚΟΥ.

Ποσίδιππος κωμικός, Καισανδρεύς, υἱὸς Κυνίσκου, τείλῳ ἔπει μετὰ τὸ πλουτῆσαι τὸν Μένανδρον, διδάξας. ἔστι δὲ τὰ δράματα αὐτοῦ ἕως τῶν λ'.

ΠΕΡΙ ΠΤΟΛΕΜΑΙΟΥ ΤΟΥ ΠΟΙΗΤΟΥ.

Πτολεμαῖος Κυθήρῳ ἐποποιός. οὗτος ἔγραψε περὶ ψαλακάνθης ἐπικῶς, ἐν οἷς φησιν ὅτι βοτάνη ὄζει θαυμασίαν δύναμιν ἔχουσα.

ΓΡΑΜΜΑΤΙΚΟΙ.

ΠΕΡΙ ΠΑΛΑΜΗΔΟΥΣ ΤΟΥ ΓΡΑΜΜΑΤΙΚΟΥ.

Παλαμήδης, Ἐλεάτης γραμματικός. ἔγραψε κωμικὴν καὶ τραγικὴν λέξιν· ὑπόμνημα εἰς Πίνδαρον τὸν ποιητήν.

ΠΕΡΙ ΠΑΛΑΙΦΑΤΟΥ ΤΟΥ ΓΡΑΜΜΑΤΙΚΟΥ.

Παλαίφατος Αἰγύπτιος, ἢ Ἀθηναῖος, γραμματικός. ἔγραψεν Αἰγυπτιακὴν θεολογίαν, μυθικῶν βιβλίον ἀ· ἀλληγορίας τῶν μυθικῶς εἰρημένων· ὑποθέσεις εἰς Σιμωνίδην· Τρωϊκά· ἃ τινες εἰς τὸν Ἀθήναιον, τινὲς δὲ εἰς τὸν Πάριον ἀνήνεγκαν. ἔγραψε καὶ ἰσοείαν ἰδίαν. καὶ ἕτερος Παλαίφατος Πάριος, ἢ Πεινεύς, γεγονὼς κατ' Ἀρταξέρξην. ἔγραψε περὶ ἀπίστων ἱστοριῶν βιβλία ε'. τινὲς δὲ καὶ ταῦτα εἰς τὸν Ἀθήναιον ἀναφέρουσι· πλὴν καὶ οὗτος ἔγραψεν.

ΠΕΡΙ ΠΑΜΦΙΛΟΥ ΤΟΥ ΓΡΑΜΜΑΤΙΚΟΥ.

Πάμφιλος, Ἀλεξανδρεὺς γραμματικὸς Ἀριστάρχειος, ἔγραψε λεξεῖδια· ἔστι δὲ ποικίλων πραγματεία· περὶ γλωσσῶν, ἤτοι λέ-

λέξεων βιβλία οέ. ἔστι δὲ ἀπὸ τῦ ε στοιχείυ ἕως τῦ ω· τὰ γὰρ ἀπὸ τῦ α μέχρι τῦ δ', Ζωπυρίων ἐπεποίηκεν. εἰς τὰ Νικάνδρυ ἀνεξήγητα, καὶ τὰ καλύμματα Ὀπικά· τέχνην κριτικήν, καὶ ἄλλα πλεῖστα γραμματικά.

ΠΕΡΙ ΠΩΛΙΩΝΟΣ ΤΟΥ ΓΡΑΜΜΑΤΙΚΟΥ.

ΠΩλίων γραμματικὸς, ἔγραψε περὶ τῶν παρὰ γράμμα ἁμαρτανόντων.

ΠΕΡΙ ΠΤΟΛΕΜΑΙΟΥ ΤΟΥ ΓΡΑΜΜΑΤΙΚΟΥ.

ΠΤολεμαῖος Ἀλεξανδρεὺς γραμματικὸς, ὃς ἐπεκαλεῖτο Ἱνδαείων. υἱὸς δὲ ἦν Ὀρσάνδρυ, μαθητὴς Ἀριστάρχυ. ἔγραψε Ὁμηρικῶν ὑπομνημάτων βιβλία ς'· περὶ τῦ Ὁμηρικῦ χαρακτῆρος· πρὸς Νεοθαλίδην περὶ λέξεως· περὶ τῦ παρ' Ὁμήρῳ Οὔτιδος· περὶ Ἀστεροπαίυ τῦ παρ' Ὁμήρῳ μνημονευομένυ· καὶ ἕτερα. καὶ ἕτερος Πτολεμαῖος γραμματικὸς, ὁ Ἐπιθέτης κληθεὶς, διότι εἵπετο τῷ Ἀριστάρχῳ. διηκηκόει δὲ Ἑλλανίκυ τῦ γραμματικῦ· ὁ δὲ, Ἀγαθοκλέους· ὁ δ', Ζηνοδότυ τῦ Ἐφεσίυ. ἔγραψε περὶ τῶν παρ' Ὁμήρῳ πληγῶν ὑπόμνημα εἰς τὴν Ὀδύσσειαν. καὶ ἄλλος γραμματικὸς Πτολεμαῖος ὁ Ἀριστονίκυ τῦ γραμματικῦ πατὴρ, καὶ αὐτὸς γραμματικός. ἄμφω ἐπεδείκνυντο ἐν Ῥώμῃ, τὰ ὁμοίως εἰρημένα τοῖς τραγικοῖς. ἔγραψε περὶ τῶν παρὰ τῶν ποιητῶν ξένως ἱστορυμένων· περὶ Μισῶν καὶ Νηρηίδων. καὶ ἕτερος Ἀλεξανδρεὺς, γραμματικὸς καὶ αὐτὸς, ὁ τῦ Ἡφαιστίωνος, γενόμενος ἐπί τε Ἀδριανῦ, καὶ Τραϊανῦ τῶν αὐτοκρατόρων, προσαγορευθεὶς δὲ Χέννος. ἔγραψε περὶ παραδόξυ ἱστορίας· σφίγγα· δράμα δέ ἐστιν ἱστορικόν· ἀνθόμηρον· ἔστι δὲ ποίησις ραψῳδιῶν κδ'. καὶ πέμπτος γραμματικὸς Πτολεμαῖος, ὁ Ἀσκαλωνίτης, ὃς ἐπαίδευσεν ἐν Ῥώμῃ. ἔγραψε προσῳδίαν Ὁμηρικήν· περὶ Ἑλληνισμῦ, ἤτοι ὀρθοεπίας βιβλία ιέ· περὶ μέτρων· περὶ τῆς ἐν Ὀδυσσείᾳ Ἀριστάρχυ διορθώσεως· περὶ διαφορᾶς λέξεων· καὶ ἕτερα γραμματικά.

ΦΙΛΟΣΟΦΟΙ.

ΠΕΡΙ ΠΑΜΦΙΛΗΣ ΤΗΣ ΦΙΛΟΣΟΦΟΥ.

ΠΑμφίλη Ἐπιδαυρία φιλόσοφος καὶ ἱστορική· θυγάτηρ Σωτηρίδυ. ἔγραψεν ἱστορικὰ ὑπομνήματα ἐν βιβλίοις λγ'· ἐπιτομὴν τῶν

τῷ Κτησίᾳ ἐν βιβλίοις Γ'· ἐπιτομὰς ἱστοριῶν τε καὶ ἑτέρων βιβλίων παντλείσας· περὶ ἀμφισβητήσεων· περὶ ἀφροδισίων, καὶ ἄλλων πολλῶν. τινὲς δὲ πάντα ταῦτα εἰς τὸν αὐτῆς πατέρα ἀναφέρουσιν· ἐν οἷς καὶ Διονύσιος ἐν ιῃ λ' τῆς μυστικῆς ἱστορίας· ὡς δὲ ἕτεροι, εἰς Σωκρατίδαν τὸν ἄνδρα αὐτῆς.

ΠΕΡΙ ΠΑΜΦΙΛΟΥ ΤΟΥ ΦΙΛΟΣΟΦΟΥ.

ΠΑμφιλος, Ἀμφιπολίτης, ἢ Σικυώνιος, ἢ Νικοπολίτης φιλόσοφος, ὁ ἐπικληθεὶς φιλοπράγματος. ἔγραψεν εἰκόνας κ' στοιχεῖον· τέχνων γραμματικήν· περὶ γραφικῆς, καὶ ζωγράφων ἐνδόξων· γεωργικὰ βιβλία γ'.

ΠΕΡΙ ΠΑΝΑΙΤΙΟΥ ΤΟΥ ΦΙΛΟΣΟΦΟΥ.

ΠΑναίτιος Ῥόδιος, ὁ πρεσβύτης φιλόσοφος· ὃς πολὺς ἐν φιλοσόφοις λόγος. φέρεται αὐτοῦ βιβλία φιλόσοφα πλεῖστα. καὶ ἕτερος Παναίτιος ὁ νεώτερος, Νικαγόρου, Ῥόδιος καὶ αὐτός· φιλόσοφος στωϊκὸς, Διογένους γνώριμος, ὃς καθηγήσατο τοῦ Σκιπίωνος τοῦ ἐπικληθέντος Ἀφρικανοῦ· μετὰ τὸν Μεγαλοπολίτου Πολύβιον· ἐτελεύτησε δ' ἐν Ἀθήναις.

ΠΕΡΙ ΠΑΠΠΟΥ ΤΟΥ ΦΙΛΟΣΟΦΟΥ.

ΠΑππος, Ἀλεξανδρεὺς φιλόσοφος, γεγονὼς κ' τῷ πρεσβύτερον βασιλέα Θεοδόσιον, ὅτε καὶ Θέων ὁ φιλόσοφος ἤκμαζεν, ὁ γράψας εἰς τὸ Πτολεμαίου κανόνα. βιβλία δὲ αὐτοῦ, χωρογραφία οἰκουμενική· εἰς τὰ τέσσαρα βιβλία τῆ Πτολεμαίου μεγάλης συντάξεως ὑπόμνημα· ποταμοὺς τοὺς ἐν Λιβύῃ· ὀνειροκριτικά.

ΠΕΡΙ ΠΑΡΜΕΝΙΔΟΥ ΤΟΥ ΦΙΛΟΣΟΦΟΥ.

ΠΑρμενίδης Πύρητος, Ἐλεάτης φιλόσοφος, μαθητὴς γεγονὼς Ξενοφάνους τοῦ Κολοφωνίου· ὡς ὃ Θεόφραστος, Ἀναξιμάνδρου τοῦ Μιλησίου. οὗτος ὃ διάδοχοι ἐγένοντο Ἐμπεδοκλῆς τε ὁ φιλόσοφος καὶ ἰατρός· καὶ Ζήνων ὁ Ἐλεάτης. ἔγραψε δὲ φυσιολογίαν δι' ἐπῶν· καὶ ἄλλα τινὰ καταλογάδην, ὧν μέμνηται Πλάτων.

ΠΕΡΙ ΠΑΥΛΟΥ ΤΟΥ ΦΙΛΟΣΟΦΟΥ.

ΠΑῦλος φιλόσοφος. ἔγραψεν ἀστρολογίας εἰσαγωγικὸν, καὶ ἀποτελεσματικά.

ΠΕΡΙ ΠΕΡΙΆΝΔΡΟΥ ΤΟΥ ΣΟΦΟΥ.

ΠΕρίανδρος Κυψέλλυ, Κορίνθιος, ὁ ἑπτὰ σοφῶν. γεγονὼς κ τῇ τῷ λή Ὀλυμπιάδα. ἔγραψεν ὑποθήκας εἰς τὸν ἀνθρώπινον βίον, ἔπη ,β.

ΠΕΡΙ ΠΕΡΣΑΙΟΥ ΤΟΥ ΦΙΛΟΣΌΦΟΥ.

ΠΕρσαῖος Κιτιεὺς φιλόσοφος στωϊκός· ἐπεκλήθη δὲ καὶ Διοσόθεος. ἦν δὲ ἐπὶ Ἀντιγόνυ τοῦ Γονατᾶ, υἱοῦ Δημητρίυ, μαθητὴς δὲ Ζήνωνος τοῦ φιλοσόφυ. ἔγραψεν ἱστορίαν.

ΠΕΡΙ ΠΙΤΤΑΚΟΥ ΤΟΥ ΣΟΦΟΥ.

ΠΙττακὸς Μιτυληναῖος υἱὸς Καΐκου δὲ Ὑρράδιος Θρακὸς, μητρὸς δ' Λεσβίας. ὗτος γέγονε κ τὴν λβ' Ὀλυμπιάδα, εἷς δὲ αὐτὸς τῶν ἑπτὰ σοφῶν ὤν. ἔγραψε νόμυς· καὶ τῇ μβ' Ὀλυμπιάδι Μέλαγχρον τὸν τύραννον Μιτυλήνης ἀνεῖλε· δὲ Φρύνωνα στρατηγὸν Ἀθηναίων πολιορκοῦντα ὑπὲρ τοῦ Σιγείυ μονομαχῶν ἀπέκτεινε, δικτύῳ περιβαλὼν αὐτόν. γηραιὸς δὲ ἀναγκαζόμενος στρατηγεῖν ἔφη, ὡς χαλεπὸν ἐσθλὸν ἔμμεναι. τύτυ ἀπόφθεγμα, καιρὸν γνῶθι. ἐποίησε δὲ δὲ ἐλεγεῖα ἔπη χ· καὶ ὑπὲρ νόμων καταλογάδην.

ΠΕΡΙ ΤΟΥ ΠΛΆΤΩΝΟΣ.

ΠΛάτων, Ἀρίσωνος τοῦ Ἀριστοκλέυς δὲ Περικτιώνης, ἢ Ποτώνης τὸ γένος ἐλκύσης ἀπὸ Σόλωνος· ἐφιλοσόφησε παρὰ Σωκράτει ἔτη κ'. εἰσὶ δὲ οἱ γνήσιοι αὐτοῦ διάλογοι πάντες νς'· ὧν οἱ μὲν φυσιολογικοί· οἱ δὲ ἠθικοί· οἱ δ', διαλεκτικοί· δὲ ἡ μὲν πολιτικὴ διαιρεῖται εἰς βιβλία ἱ· οἱ δὲ νόμοι, εἰς ιβ'· τερατολογίαι δὲ λοιπαὶ θ'.

ΠΕΡΙ ΤΟΥ ΠΛΟΥΤΆΡΧΟΥ.

ΠΛούταρχος Νεσσείς, Ἀθηναῖος φιλόσοφος, διδάσκαλος Συλανοῦ τοῦ χρυσοχόυ Ἐξηγητοῦ Πρόκλυ τοῦ Λυκίυ, τοῦ προστάντος τῆς ἐν Ἀθήναις φιλοσόφυ σχολῆς· ὃ Μαεῖνος διάδοχος. ἔγραψε πολλά. καὶ ὁ Χαιρονεὺς τῆς Βοιωτίας Πλούταρχος, ἐπὶ Τραϊανοῦ δὲ μικρόν τι πρός. μεταδὺς δὲ αὐτῷ Τραϊανὸς τῶν ὑπάτων ἀξίας, προστέταξε μηδένα τῶν κ τῶν Ἰλλυρίδα ἀρχόντων παρεξ τῆς αὐτοῦ γνώμης τι διαπράττεσθαι. ἔγραψε πολλά· ὧν τὰ πλεῖω οὐχ εὑρίσκεται.

ΓΕ-

ΠΕΡΙ ΤΟΥ ΠΛΩΤΙΝΟΥ.

ΠΛωτῖνος ὁ ἐπιφανέστατος φιλόσοφος, ἀκμαστὴς Ἀμμωνίῳ τῷ φιλοσόφῳ, ἄπατειρ μὲν φαίνεται. τινὲς δὲ Λυκοπολίτην αὐτὸν φασὶν, ἀπὸ Λύκωνος τοῦ ἐν τῇ Λυκοπολίτῃ νόμῳ τῆς Αἰγύπτου· ὃ γὰρ περὶ τοῦ αὐτοῦ γένους διηγήσασθαί ποτε ἠθέλησε τοῖς ἰδίοις μαθηταῖς, ὅτε καὶ τῆς πατρίδος, ὡς δῆθεν ὁμόμυθος πρὸς τὰ ἄνω αὐτὴν εἴη, ἐξ ὧν ἦν. Πορφύριος ὁ φιλόσοφος, ὁ τὸν ἐκείνου συγγράψας βίον, καὶ Εὐτόχιος ὁ τὰ ἐκείνου πάντα ἀποσημήνας αὐτῷ· παρῆν γὰρ ὁ Εὐτόκιος μέχρι τῆς τελευτῆς τοῦ ἀνδρός. γράφεται δὲ σοφώτατον γεγονέναι αὐτὸν, καὶ ἐν ταῖς συνουσίαις φράσαι μὲν ἱκανώτατον, καὶ εὑρεῖν καὶ νοῆσαι τὰ πρόσφορα δυνατώτατον· καὶ ὅσον ἦκεν ἐς σωφροσύνην καὶ πραότητα καὶ τελείαν ἐπιείκειαν, ἐλλελακέναι· καὶ πολλῶν ὀρφανῶν καὶ χηρῶν ὑπερασπιστὴν γενέσθαι. καὶ τοῦτο ἐκ τῶν γεγραμμένων οἴδαμεν ὅτι πολλοὶ ἄνδρες καὶ γυναῖκες ἀποθνήσκειν μέλλοντες τῶν εὐγενεστάτων, φέροντες τὰ αὑτῶν τέκνα ἄῤῥενά τε καὶ θήλεα μὴ τῆς ἄλλης οὐσίας, ἐκείνῳ παρέδοσαν, ὡς ἱερῷ τινι καὶ θείῳ φύλακι, καὶ καθαρὰν τὴν ψυχὴν ἔχοντι, παρθενῶνα καὶ σεμνεῖον τὴν οἰκίαν ἐκείνου ἡγούμενοι· ὥστε καὶ τὸν Πύθιον περὶ αὐτοῦ πολλά τινα ἀνελεῖν. ἐν οἷς καὶ εἰς τὸν τοῦ Μίνωος καὶ Ῥαδαμάνθυος χῶρον ἀποπέμπει, καὶ μὴ Πυθαγόρου καὶ Πλάτωνος συνδιαιτᾶσθαί φησι. σύντονος δὲ γέγονεν ἐν τῷ γράφειν καὶ πολύνους, βραχύς τε καὶ νοήμασι πλεονάζων ἢ λέξεσιν. ἐμμέμικται δ' ἐν τοῖς συγγράμμασιν ἐκείνου, καὶ τὰ στωϊκὰ δόγματα, καὶ τὰ περιπατητικά· καὶ τοιοῦτος ἦν πολυμαθής, ὅτι οὐδὲν ἐκεῖνον λέληθεν οὔτε γεωμετρικὸν, οὔτε ἀριθμητικὸν, οὐ μηχανικὸν, οὐκ ὀπτικὸν, οὐ μυσικόν τι θεώρημα. ἀλλ' ἄχρι μὲν πολλοῦ οὐδὲν ἔγραψεν· μετὰ ταῦτα δὲ πρὸς τὸ γράφειν τραπεὶς νοῦ βιβλία ἐξέδωκεν· ἅτινα εἰς ἓξ ἐννεάδας ὁ Πορφύριος ταχθεὶς ὑπ' ἐκείνου μετὰ τὴν ἀποβίωσιν διέλεν. ἀλλ' οὐκ οἶδα ὅπως ἐν ἀκαρεῖ χρόνῳ οὐχ οὕτω ῥᾳδίως εὑρίσκεται. τελευτῶντος δὲ τοῦ Πλωτίνου ἐν Καμπανίᾳ, δράκων τις ὑπὸ τὴν κλίνην διῆλθεν ἐν ᾗ κατέκειτο· καὶ εἰς ὀπὴν ἐν τῷ τοίχῳ τυγχάνουσαν, ὑπέδυ. καὶ ἐν ταὐτῷ ἀφῆκε τὸ πνεῦμα, ἔτη γεγονὼς ἓξ πρὸς τοῖς ἑξήκοντα· τοῦ δευτέρου ἔτους τῆς Κλαυδίου βασιλείας πληρουμένου. διέτριψε δὲ ἐν Ῥώμῃ ἔτη κζ'.

ΠΕΡΙ ΠΟΛΕΜΩΝΟΣ ΤΟΥ ΦΙΛΟΣΟΦΟΥ.

Πολέμων, Φιλοστράτυ, οἱ δὲ, Φιλοκράτυς, Ἀθηναῖος φιλόσοφος, μαθητὴς Ξενοκράτυς τῦ Πλάτωνος διαδόχυ· καὶ αὐτὸς ἡγησάμενος τ᾽ Ἀκαδημίας. ἐγεγόνει δὲ σφόδρα ἄσωτος, εἶτα ἐφιλοσόφησε· καὶ πολλὰ μὲν συνεγράψατο βιβλία, ᾠδὴν δὲ αὐτῦ φέρεται. ἔχαιρε δὲ Ὁμήρῳ τε καὶ Σοφοκλεῖ, ὡς ἴσως ἕκατερον αὐτῶν σοφίας ἔλεγεν, ὥστε φάσκειν Ὅμηρον μὲν Σοφοκλέα ἐπικὸν, Σοφοκλέα δὲ Ὅμηρον τραγικόν.

ΠΕΡΙ ΠΟΛΛΗΤΟΣ ΤΟΥ ΦΙΛΟΣΟΦΟΥ.

Πόλλης Αἰγιεὺς, ἀπὸ Αἰγῶν τ᾽ Ασίας· (κεῖται δὲ πλησίον Μαγνησίας ὡς Σμύρνης) φιλόσοφος. ἔγραψε κ᾽ στοιχεῖον συμβολικὰ ὡ βιβλίοις β᾽· οἰωνοσκοπικὰ, ὡ βιβλίοις η᾽· ἀριθμητικὰ, ὡ βιβλίοις ϛ᾽· ἰήματα, ὡ βιβλίοις β᾽· περὶ τ᾽ καθ᾽ Ὅμηρον οἰωνοπολίης· περὶ τ᾽ παρὰ Τυῤῥηνοῖς μαντικῆς· ἰατροσυμβολικὰ περὶ δυσκολάπτυ· ἱερὸν λόγον· κατοικιδίων α᾽· θηρευτικόν· συμπαθειῶν ὡς ἀντιπαθειῶν γ᾽· περὶ κεραυνῶν ὡς τῆς αὐτῶν παρατηρήσεως· καὶ ἄλλα πολλά.

ΠΕΡΙ ΤΟΥ ΠΟΡΦΥΡΙΟΥ.

Πορφύριος, φιλόσοφος Τύριος, ὃς κυρίως ἐκαλεῖτο Βασιλεύς. ἔδοξε δὲ ὕστερον μετακληθῆναι, ἢ ἀπὸ τῦ Βασιλέως ἐπὶ τῳ πορφύραν, ἢ ὡς ἀπὸ τὺ πορφυρίαν ὀνομάζεσθαι παρὰ Τυρίοις τέχνην. ἀκουστὴς δὲ γέγονε τοπρῶτον Λογγίνυ τῦ φιλοσόφυ, εἶτα Πλωτίνυ· διδάσκαλος δὲ Ἰαμβλίχυ, ἐπὶ Αὐρηλιανῦ, παρατείνας ἕως Διοκλητιανῦ. ἔγραψε βιβλία πλεῖστα φιλόσοφά τε ὡς ῥητορικὰ, ὡς γραμματικά· περὶ θείων ὀνομάτων ἓν· περὶ ἀρχῶν ϛ᾽· περὶ ὕλης ε᾽· περὶ ψυχῆς πρὸς Βόηθον ἕ· περὶ ἀσωμάτων· περὶ τῦ μίαν εἶναι τὴν Πλάτωνος ὡς Ἀριστοτέλυς αἵρεσιν ζ᾽· περὶ ἀποχῆς ἐμψύχων ὀ᾽· περὶ τῦ γνῶθι σαυτὸν δ᾽· εἰς τῦ Ἰαμβλιανῦ τῦ Χαλδαίυ φιλόσοφυ ἰσαγωγὴν ὡ βιβλίοις δ᾽· περὶ τῆς Ὁμήρυ φιλοσοφίας· πρὸς Ἀριστοτέλην. περὶ τῦ ἐν τῳ ψυχῳ ἐνεργείας· φιλολόγυ ἰσαγωγῆς βιβλία ἑ· περὶ τῶν κ᾽ Πινδάρου τῦ Νεήλυ πηγῶν· περὶ τῆς ἐξ Ὁμήρυ ὠφελείας τῶν βασιλέων, βιβλία ἰ· τὰς καλουμένας ἑρωτικὰς ἀποφάσεις· ἀναγνωστικὰς ἀναγωγάς· συμμίκτων ζητημάτων ζ᾽ εἰς τὸ Θουκυδίδυ προοίμιον· πρὸς Ἀριστοτέλην ζ᾽· εἰς τὴν Μουσικὴν τέχνην· καὶ

ἄλλα

ἄλλα πολλά· ὁμοίως δὲ καὶ ὀλίγα ἀστρολογικά· ἐν οἷς καὶ σιωπαγωγὴν ἀστρονομουμένων ἐν βιβλίοις τρισί· καὶ γραμματικὰς ἀποφάσεις· καὶ Χριστιανῶν λόγους ιέ.

ΠΕΡΙ ΠΟΣΕΙΔΩΝΙΟΥ ΤΟΥ ΦΙΛΟΣΟΦΟΥ.

ΠΟσειδώνιος, Ἀπαμεὺς ἐκ Συρίας· καὶ δέ τινας, Ῥόδιος· στωϊκὸς φιλόσοφος, ὃς ἐπεκλήθη ἀθλητής. σχολὴν δ' ἔσχεν ἐν Ῥόδῳ, διάδοχος γεγονὼς καὶ μαθητὴς Παναιτίου. ἦλθε δὲ καὶ εἰς Ῥώμην ἐπὶ Μάρκου Μαρκέλλου. ἔγραψε πολλά. καὶ ἕτερος Ἀλεξανδρεὺς φιλόσοφος, στωϊκὸς καὶ αὐτός· μαθητὴς Ζήνωνος τοῦ Κιτιέως. ἔγραψεν ἱστορίαν ἣν μετὰ Πολύβιον ἐν βιβλίοις νβ', ἕως τοῦ πολέμου τοῦ Κυρηναϊκοῦ καὶ Πτολεμαίου· καὶ μελέτας ῥητορικάς· εἰς Δημοσθένην ὑποθέσεις. τινὰ δέ τινες εἰς Ποσειδώνιον τὸν σοφιστὴν τὸν Ὀλβιοπολίτην ἀναφέρουσιν.

ΠΕΡΙ ΠΟΤΑΜΩΝΟΣ ΤΟΥ ΦΙΛΟΣΟΦΟΥ.

ΠΟτάμων Ἀλεξανδρεὺς φιλόσοφος, γεγονὼς πρὸ Αὐγούστου καὶ μετ' αὐτόν· ἔγραψεν ὑπόμνημα εἰς τὴν τοῦ Πλάτωνος πολιτείαν.

ΠΕΡΙ ΠΡΟΔΙΚΟΥ.

ΠΡόδικος Κεῖος, ὁ καὶ ἀπὸ Κέω τῆς νήσου, πόλεως δὲ Ἰουλίδος, φιλόσοφος φυσικὸς καὶ σοφιστής· σύγχρονος Δημοκρίτου τοῦ Ἀβδηρίτου, καὶ Γοργίου· μαθητὴς Πρωταγόρου τοῦ Ἀβδηρίτου. ὃν δ' Ἀθηναῖοι κώνειον πιὼν ἀπέθανεν, ὡς διαφθείρων τοὺς νέους. φέρεται δὲ καὶ βιβλίον Προδίκου ἐπιγραφόμενον Ὧραι· ἐν ᾧ πεποίηκε τὸν Ἡρακλέα τῇ ἀρετῇ καὶ τῇ κακίᾳ συντυγχάνοντα, καὶ καλέσας ἑκατέρας ἐπὶ τὰ ἤθη αὐτῶν· καὶ προσκλῖναι τῇ ἀρετῇ τὸν Ἡρακλέα· καὶ τοὺς ἐκείνης ἱδρῶτας προσκεῖναι τοῖς προσκαίροις τῆς κακίας ἡδοναῖς.

ΠΕΡΙ ΠΡΟΚΛΟΥ ΤΟΥ ΣΤΟΪΚΟΥ ΦΙΛΟΣΟΦΟΥ.

ΠΡόκλος Μαλλώτης ἐκ Κιλικίας, φιλόσοφος Στωϊκὸς, ἔγραψεν ὑπόμνημα τοῦ Διογένους σοφισμάτων· καὶ πρὸς Ἐπίκουρον. καὶ ἕτερος Μαλλώτης φιλόσοφος, στωϊκὸς καὶ αὐτός· ἔγραψε κατὰ Ἐπικούρου βιβλία δ'. περὶ προνοίας βιβλία β'.

ΠΕΡΙ ΠΡΟΚΛΟΥ ΤΟΥ ΛΥΚΙΟΥ.

ΠΡόκλος ὁ Λύκιος, μαθητὴς Συριανοῦ· ἀκουστὴς δὲ καὶ Πλουτάρχου τοῦ Νεστορίου τοῦ φιλοσόφου, καὶ αὐλὸς φιλόσοφος Πλατωνικός. ἔγραψε πάνυ πολλὰ φιλόσοφά τε καὶ γραμματικά· ὑπόμνημα εἰς πάντα τοῦ Ὁμήρου· ὑπόμνημα εἰς τὰ Ἡσιόδου ἔργα καὶ ἡμέρας· ὡσὶ χρηστομαθίας, βιβλία ιεία· ὡσὶ ἀγωγῆς δύο· εἰς τιὼ πολιτείαν Πλάτωνος βιβλία τέσσαρα· εἰς τιὼ Ὀρφέως θεολογίαν· συμφωνίαν Ὀρφέως, Πυθαγόρου καὶ Πλάτωνος ὡσὶ τὰ λόγια, βιβλία δέκα· ὡσὶ τῶν παρ' Ὁμήρῳ θεῶν· ἐπιχειρήματα κατ' Χειστιανῶν ιή· καὶ μητρῳακιὼ βίβλον· ἔστι δὲ περὶ τῶν θεῶν θεολογία. ἔγραψε καὶ πολλὰ ἄλλα, ἅπερ οὐχ εὑρίσκεται.

ΠΕΡΙ ΠΤΟΛΕΜΑΙΟΥ ΤΟΥ ΦΙΛΟΣΟΦΟΥ.

ΠΤολεμαῖος ὁ Κλαύδιος, χρηματίσας Ἀλεξανδρεὺς φιλόσοφος, γεγονὼς ἐπὶ τῶν χρόνων Μάρκου τοῦ βασιλέως. οὗτος ἔγραψε μηχανικὰ βιβλία γ'· ὡσὶ φάσεως καὶ ἐπισημασιῶν ἀστέρων ἀπλανῶν βιβλία β'· ἁπλωσιν ἐπιφανείας σφαίρας· κανόνα ῥοχειρον· τὸν μέγαν ἀστρόνομον, ἤτοι συνταξιν· καὶ ἄλλα. ἐπεὶ δὲ εἰς τὰ τῶν Πτολεμαίων ῥοσηγορίαν κατηντήσαμεν, φέρε καὶ τιὼ ἐξ ἀρχῆς τοῦ γένους αὐτῶν καταγωγήν τε καὶ διαδοχὴν παρεκβατικώτερόν πως διεξέλθωμεν. Ἡρακλεῖδαι γὰρ καὶ αὐτοί. Σάτυρος τοὺς τῶν Ἀλεξανδρέων δήμους ἰσορῶν, ἀρξάμενος ἀπὸ Φιλοπάτορος τοῦ καὶ Πτολεμαίου ῥοσαγορευθέντος, τότε μηνύει Διόνυσον ἀρχηγέτην γεγονέναι· διὸ καὶ φυλὴν ὁ Πτολεμαῖος ῥωτὴν κατέστησε Διονυσίαν. λέγει δὲ ὁ Σάτυρος οὕτως· Διονύσου καὶ Ἀληθαίας τῆς Θεσπίου γεγαμηκότος Δηϊάνειραν· ἣ δὲ καὶ Ἡρακλέους τοῦ Διός, Ἄγαλον· τοῦ δὲ, Κλεόδαιμον· τοῦ δὲ, Ἀειστόμαχον· τοῦ δὲ, Τήμενον· τοῦ δ', Κάϊστον· τοῦ δ', Μάρωνα· τοῦ δ', Θέστιον· τοῦ δ', Ἀκούν· τοῦ δ', Ἀεισομίδαν· τοῦ δὲ, Καρανόν· τοῦ δ', Κοινόν· τοῦ δὲ, Τυρίμμαν· τοῦ δ', Ἀλκετάν· τοῦ δ', Ἀμύνταν· τοῦ δ', Βόκρον· τοῦ δὲ, Μελέαγρον· τοῦ δ', Ἀρσινόην· ἣ δ', καὶ Λάγου, Πτολεμαῖον τὸν καὶ Σωτῆρα· τοῦ δ', καὶ Βερονίκης, Πτολεμαῖον τὸν Φιλάδελφον· τοῦ δὲ, καὶ Ἀρσινόης, Πτολεμαῖον τὸν Εὐεργέτην· τοῦ δ', καὶ Βερονίκης ἣ μέγα τοῦ ὁσίου Κυρίου βασιλεύσαντος, Πτολεμαῖον τὸν Φιλάδελφον. ἡ μὲν οὖν ἕως Διόνυσον τοῖς ὁσίοις Ἀλεξανδρεῦσι βασιλεύσασι συγγένεια, ὕτω περιέχει. ἡ δὲ τῆς Πτολεμαίων βασιλείας ἀρχὴ τοιαυτοτρόπως τὸ ῥῶτον ἔσχε. μετὰ

Δι-

Δαρεῖον ἐβασίλευσεν Ἀρταβάνης μῆνας ἑπτά· μεθ' ὃν Ἀρταβάνου, ἐβασίλευσεν Ἀρταξέρξης ὁ μακρόχειρ ἔτος πεντακοστὸν πρῶτον· ἐφ' οὗ Σοφοκλῆς καὶ Ἡράκλειτος, καὶ Ἀναξαγόρας, καὶ Πυθαγόρας, καὶ Θουκυδίδης, καὶ Εὐριπίδης, καὶ Ἡρόδοτος, καὶ Ἐμπεδοκλῆς, καὶ Διογένης, καὶ Ζήνων, καὶ Φερεκύδης, καὶ Ἀρίσταρχος, καὶ Ἱπποκράτης, καὶ Παρμενίδης, καὶ Πλάτων, καὶ Ἀριστοτέλης, καὶ Δημοσθένης, κατά τινας, ἐγνωρίζοντο, καὶ Σωκράτης, ὡς φιλίσας τοὺς νόμους τῶν Ἑλλήνων, θανατοῦται, κώνειον πιών, ἐν τῷ δεσμωτηρίῳ. μεθ' ὃν Ἀρταξέρξου, ἐβασίλευσεν ἄλλος Ἀρταξέρξης, καὶ οἱ καθεξῆς ἕως Δαρείου Ἀλσάμου· ὃν Ἀλέξανδρος ὁ τῶν Μακεδόνων βασιλεὺς, ἕκτον ἄγων ἔτος τῆς βασιλείας, χειρωσάμενος, καθεῖλε τὴν Περσῶν βασιλείαν διαρκέσασαν ἀπὸ Κύρου μέχρι Δαρείου ἔτη σλ'. τῆς δὲ τῶν Μακεδόνων βασιλείας καταχθείσης ἀπὸ Κραναοῦ ἕως Ἀλεξάνδρου, ἔτη φιή, καὶ τούτου τελευτήσαντος ἐν Βαβυλῶνι, διαρθροῦται τὴν βασιλείαν οἱ παῖδες αὐτοῦ καὶ μεγιστᾶνες. τῆς μὲν Μακεδονίας Φίλιππος ἐβασίλευσε, τῆς δὲ Ἀσίας πάσης, Ἀντίγονος ἐκράτησε· τῆς δὲ Συρίας καὶ Βαβυλωνίας καὶ Γαλατίας, Σέλευκος ἐβασίλευσεν ὁ Νικάνωρ· ὃς καὶ πόλεις κτίσας δύο εἰς τὰ μέρη Κιλικίας, καὶ ἄλλην ἐν Συρίᾳ, τὴν μὲν Σελεύκειαν ὠνόμασε, τὴν δὲ Ἀντιόχειαν· τὴν δὲ Λαοδίκειαν εἰς τὸ ἑαυτοῦ ὄνομα καὶ τοῦ αὐτοῦ υἱοῦ Ἀντιόχου, καὶ τῆς θυγατρὸς Λαοδικίας. καὶ οἱ μὲν τῆς Συρίας βασιλεύσαντες μετ' Ἀλέξανδρον, εἰσὶν οἵδε· Σέλευκον τὸν Νικάνορα, Ἀντίοχος ὁ υἱὸς αὐτοῦ ὁ ἐπικληθεὶς Σωτήρ· Ἀντίοχος ὁ θεός· Σέλευκος ὁ Καλλίνικος· Ἀλέξανδρος, Ἀντίοχος, Σέλευκος ὁ Φιλοπάτωρ· Ἀντίοχος ὁ Ἐπιφανής· Ἀντίοχος ὁ Εὐπάτωρ· Δημήτριος· Σέλευκος· Ἀλέξανδρος ὁ τοῦ Βαλᾶ· Δημήτριος ὁ Νικάνωρ· Ἀντίοχος· Τρύφων· Πτολεμαῖος· Ἀντίοχος ὁ Σιδήτης· Δημήτριος· Ἀντίοχος ὁ γρυπός· Ἀντίοχος ὁ Κυζικηνός· Σέλευκος ὁ τοῦ Γρυποῦ· ἐφ' οὗ ἡ Ἀντιόχεια ὑπὸ Ῥωμαίων ἥλω, καὶ ἡ τῆς Συρίας ἀρχὴ κατελύθη, διαρκέσασα ἔτη σν'. τῆς δὲ Αἰγύπτου, Πτολεμαῖος ἐβασίλευσεν ὁ Λάγου· καὶ οἱ καθεξῆς Πτολεμαῖοι, ἕως Κλεοπάτρας θυγατρὸς Διονύσου. οἱ δὲ τῆς Αἰγύπτου βασιλεύσαντες μετὰ Ἀλέξανδρον, εἰσὶν οἵδε· Πτολεμαῖος ὁ Λάγου· ἐφ' οὗ Μένανδρος ὁ κωμῳδοποιὸς ἐγνωρίζετο· καὶ Θεόφραστος ὁ φιλόσοφος· Πτολεμαῖος ὁ Φιλάδελφος· ἐφ' οὗ οἱ ἑβδομήκοντα Ἑβραίων σοφοὶ τὸν νόμον ἡρμήνευσαν· Πτολεμαῖος ὁ Εὐεργέτης· Πτολεμαῖος ὁ Φιλάδελφος, ὁ υἱὸς αὐτοῦ· Πτολεμαῖος ὁ Φιλοπάτωρ· Πτολεμαῖος ὁ Ἐπιφανής· Πτολε-

μαῖος

λεμαῖος ὁ Φιλομήτωρ· Πολεμαῖος ὁ Εὐεργέτης· Πτολεμαῖος ὁ Σωτήρ· Πτολεμαῖος ὁ Ἀλέξανδρος· Πτολεμαῖος ὁ ἀδελφὸς αὐτοῦ· Πτολεμαῖος ὁ Διόνυσος· Κλεοπάτρα ἡ τούτου θυγάτηρ, ἣν Αὔγουστος ἀνελὼν οὐκ ἔπαυσε τῆς ἑαυτοῦ βασιλείας, ἐκράτησε δ' Αἰγύπτου, καθελὼν τὴν βασιλείαν τῶν Πτολεμαίων διαρκέσασαν ἔτη σή.

ΠΕΡΙ ΠΥΘΑΓΟΡΟΥ.

ΠΥθαγόρας Σάμιος, φιλόσοφος· παιδευθεὶς παρὰ Χαλδαίοις καὶ Αἰγυπτίοις. ἦν δὲ ἐπὶ Ἀρταξέρξου τοῦ Μακρόχειρος, ὡς προείρηται. ἔγραψε δύο μόνον βιβλία, ἅπερ εἰσὶ ταῦτα· παιδευτικόν· πολιτικόν· τὸ δὲ φερόμενον τρίτον, ὡς Πυθαγόρου, Λύσιδός ὅτι τοῦ Ταραντίνου μαθητοῦ αὐτοῦ γενομένου. τινὲς δὲ ἀνατιθέασιν αὐτῷ καὶ τὰ χρυσᾶ ἔπη· μαθηταὶ δὲ αὐτοῦ ἦσαν διάφοροι· ἐξ ὧν οἱ μὲν ἦσαν περὶ θεωρίαν καταγινόμενοι, οἵπερ ἐκαλοῦντο σεβαστικοί· οἱ δὲ περὶ τὰ ἀνθρώπινα, οἵπερ ἐκαλοῦντο πολιτικοί· οἱ δὲ περὶ τὰ μαθήματα, τὰ γεωμετρικὰ καὶ ἀστρονομικά, οἵπερ ἐκαλοῦντο μαθηματικοί. τούτων οἱ μὲν αὐτῷ συγγενόμενοι τῷ Πυθαγόρᾳ, ἐκαλοῦντο Πυθαγορικοί· οἱ δὲ τούτων μαθηταὶ, πυθαγόρειοι· οἱ δὲ ἄλλως ἔξω ζηταὶ, πυθαγοριστάι. ὅτοι πάντες δι' αἰνιγμάτων τὰ τῆς φιλοσοφίας ἐμάνθανον δόγματα· καὶ μὴ τοῦ ἄλλων καὶ τοῦτο τὸ αἴνιγμα παρεδίδοτο, κυάμους μὴ ἐσθίειν· τουτέστι μὴ προδιδόντας τὸ δίκαιον, δωροδοκεῖσθαι χρήμασιν· οἱ γὰρ Ἀθηναῖοι πάλαι δικασταὶ, ἀντὶ ψήφων κυάμοις ἐχρῶντο, ὡρὸς κατάκρισιν ἢ τοῖς δικαστηρίοις. φησὶν οὖν ἐκ τοῦ κυάμους τοῦ ἐκ τοῦ δικαστηρίου μὴ ἐσθίειν.

ΠΕΡΙ ΠΥΡΡΩΝΟΣ.

ΠΥρρων Πλειστάρχου, Ἠλεῖος φιλόσοφος· ὃς ἦν ἐπὶ Φιλίππου τοῦ Μακεδόνος, καὶ τὰ περὶ Ὀλυμπιάδα καὶ ἐπέκεινα. ὅτος πρότερον μὲν ἦν ζωγράφος, ὕστερον δὲ ὥρμησεν ἐπὶ φιλοσοφίαν, καὶ διήκουσε Βρύσωνος τοῦ Κλεινομάχου μαθητοῦ· εἶτα Ἀλεξάνδρου τοῦ Μητροδώρου μαθητοῦ τοῦ Χίου. καὶ ἐπιφανὴς Πύρρων Φλιάσιος, Τιμάρχου παῖς, μαθητὴς Τίμωνος φιλοσόφου.

P

ΠΕΡΙ ΤΗΣ ΡΕΑΣ, ΚΑΙ ΤΩΝ ΚΟΡΥΒΑΝΤΩΝ, ΚΑΙ ΤΩΝ ΕΚΤΟΜΩΝ ΤΩΝ ΦΡΥΓΩΝ.

ΡΕα γυνὴ Κρόνῳ μυθεύεται· ὃς, ἅπερ ἔτικτεν αὐτὴ παιδία, λαμβάνων κατέπινε· καὶ ὅτως ἐπὶ πολλῶν τούτῳ γενομένῳ, ἄτεκνος ἔμενεν ἡ Ῥέα. ὅτε οὖν ἐγέννησε τὸν Δία, ἡ Ῥέα, φοβουμένη μήπως καὶ τὸ βρέφος τοῦτο καταποθὲν ἀπόληται, λίθον μὲν σπαργανώσασα, δέδωκε τῷ Κρόνῳ ὡς βρέφος καταπιεῖν· τὸν δὲ Δία ὑπεξέθετο ἐν τῇ Κρήτῃ, καὶ παρέσαζε τῷ βρέφει τούτῳ τοὺς Κορύβαντας καὶ τοὺς Κυρῆτας, ὀρχεῖσθαι καὶ κροτεῖν καὶ κτυπεῖν τὰ ὅπλα αὐτῶν, καὶ ψυχῇ τινὰ ἦχον τὸν διωάμενον ὑποβλέπειν καὶ παρακρύειν τὸν ἐν τοῖς κλαυθμοῖς τοῦ παιδίου ἦχον· ἵνα μὴ μαθὼν ὁ Κρόνος τοῦ κρύπτεται τὸ παιδίον, τοῦτο λαβὼν καταπίῃ. ἔθος δ' ἔτι οἱ Κορύβαντες βακχικὸν καὶ μανικόν· ὅθεν τὸ κρύβειν τὸν Δία, Κρύβαντες, καὶ πλεοναςμῷ τοῦ ο, Κορύβαντες. Ἐν δὲ Ῥέα ἐν τῇ Φρυγίᾳ ἐγένοντο τελεταί τινες· καὶ οἱ τελέμβοι ἐξισάμβοι ἑαυτῶν, καπέπμενον ἑαυτοὺς ὑπὸ ξιφῶν, μὴ αἰσθανόμβοι ὅτι ἑαυτοὺς πέμνουσι· καὶ αὐλοὶ δέ τινες ἤυλουν καταθέλγοντες αὐτούς, καὶ παρεγείροντες πρὸς τὴν ἐκτομήν. ἄχει δὲ τοῦ παρόντος, τινὲς καὶ τὰ ὀρεινὰ τῆς Καείας Ἕλληνες ἀλόγιστοι, κατεπέμνουσιν ἑαυτοὺς τῷ πάλαι ἤθει. φασὶ δὲ τὴν Ῥέαν, καὶ Κυβέλην, ὅθεν καὶ τὰ Κύβελα ὄρη· ὀρεία γὰρ θεός· διὸ καὶ ἐποχεῖται λεόντων ζεύγει.

Καὶ ἄλλως ὅθεν αὐτῆς· τῆς Ῥέας καὶ τῆς ὑποδεδομένην ῥύσιν εἰδοποιουμένης, εἰκότως ἦδη καὶ τὴν τῶν ὄμβρων αἰτίαν ἀνατιθέασιν αὐτῇ, ὅτι ὡς ἐπιτοπολὺ, μετὰ βροντῶν καὶ ἀστραπῶν συμβαίνει γίνεσθαι· καὶ ταύτην παρεισάγουσι τυμπάνοις καὶ κυμβάλοις, καὶ κερασταῖς, ἢ λαμπαδηφορίαις χαίρουσαν. ἐπεὶ δὲ ἄνωθεν ὄμβροι καταφέρονται, πολλαχοῦ δὲ καὶ ἀπὸ τῶν ὀρῶν καταρχόμενοι φαίνονται, ὀρῶον μὲν τῷ Ἰδίῳ ἐπωνόμασαν αὐτῇ μετέωρον ὄρος· καὶ ὃ μακρόθεν ὄψιν ἰδεῖν, ὀρείαν αὐτὴν προσαγορεύοντες· καὶ τὰ γεννώμενα τῶν ἐν τοῖς ὄρεσι γινομένων ζώων, τοὺς λέοντας ὑπ' αὐτῆς παρεισάγουσι· τάχα ἐπεὶ καὶ οἱ χειμῶνες ἀγελαῖόν τι ἔχουσι. πύργινον δὲ περίκειται στέφανον, ἤτοι διὰ τὸ κατ' ἀρχὰς ἐπὶ τῶν ὀρῶν τίθεσθαι τὰς πόλεις ὀχυρωτάτας ἕνεκεν, ἢ ἐπεὶ ἀρχηγὸς ὄψις τῆς πρώτης καὶ ἀρχεγόνου ὑσίας τοῦ κόσμου. καρδίαν δ' ἀνατιθέασιν

αὐτῇ, παεισταντες ὅτι αἰτία τ ζωογονίας αὐτη ἐγένετο. κ τῦτο δὲ ⸌ ἄλλως τινὰς τύπως ⸌ὲ τὸ σῆθος αὐτῆς περιτιθέασιν, ὡς τ τῶ ὄντων ποικιλίας, ⸌ παντὸς χρώματος αὐτῆς γεγονυίας. ἔοικε δὲ ἡ αὐτὴ ⸌ ἡ ⸌ὲ Σύροις Ἀρταγὰ εἶ), ἣν διὰ τὸ περισεραῦς ⸌ ἰχθύος ἀπέχεσθαι τιμῶσι· σημαίνοντες ὅτι τὰ μάλιστα δηλῦντα τιῶ τ ὑσίας αἵρεσιν ἀὴρ ⸌ ὕδως ὄῃ. Φρυγία δ' ἰδίως ἔρηται, διὰ τὸ θρησκεύεσθ ⸌ὲ παρ' οἷς ⸌ ἡ τῶ Γαλλῶν ἐπεπόλασε παρεδρία, τάχα τι τοιῦτον ἐμφαίνυσα, ὁποῖον ⸌ ⸌ὲ τοῖς Ἕλλησι ⸌ὲὶ τ τῦ Ὀυρανῦ ἐκτομῆς μυθέυεται· πρῶτον μὲν γὰ ὁ Κρόνος λέγεται καταπίνειν τὰ ὑπ τ Ῥέας αὐτῷ γινόμενα τέκνα. εἰλῆφθαι μὲν ὖν ὕτω πάνυ εἰκότως· ἐπειδὴ ὅσα ἂν γίνονται κ τὸν εἰρημένον τῆς κινήσεως λόγον, πάλιν κ τὸν αὐτὸν ὑπ περιόδω ἀφανίζεται· ⸌ὲ ὁ Κρόνος ᾧ τοιῦτόν ὄῃ· δαπανᾶται γὰ ⸌ὸ' αὐτῦ τὰ γινόμενα· εἶτα τὴν Ῥέαν φασὶ, γινομένυ αὐτῇ τῦ Διὸς, λίθον ἀντ' αὐτῦ προσενεγκεῖν ἐσπαργανωμένον τῷ Κρόνῳ, τῦτον εἰπῦσα τετοκέναι, κἀκεῖνον μὲν καταποθῆναι ⸌ὸ' αὐτῦ· τὸν ᾧ Δία τραφέντα, βασιλεῦσαι τῦ κόσμυ. ⸌ιταῦθα ὖν ἄλλως ἔληπται ἡ κατάποσις· σωῖτάκται γὰ ὁ μῦθος περὶ τ τῦ κόσμυ γενέσεως, ὑφ ᾧ τότε ἀνετράφη ἡ διοικῦσα αὐτὸν φύσις, κ ἐπεκράτησεν, ὅτ' εἰς τὸ μεσαίτατον αὐτῦ ὁ λίθος ἦτος, ὃν καλῦμυ γῆν, οἱονεὶ καταποθείς, ἐγκατεστρίχθη· ὁ γὰ ἂν ἄλλως σωέστη τὰ ὄντα, εἰ μὴ ἐπὶ θεμελίῳ ταῦτα ἐρείθη, γινομένων ⸌ τρεφομένων ⸌ιτεῦθεν πάντων.

ΠΕΡΙ ῬΗΣΟΥ.

Ῥῆσος, κ μὲν Ὅμηρον, Ἠιονέως υἱὸς ἦν, κ δὲ τὰς νεωτέρας, Στρύμονος τῦ κ Θρᾴκιων ποταμῦ, κ Εὐτέρπης Μύσης υἱόν. λέγυσι δὲ κ χρησμὸν αὐλῷ ἀποκεῖσθαι, ἕ γε ⸌ Τροίᾳ βοτάνης φάγοιεν οἱ ἵπποι αὐτῷ, κ τῦ ἐκεῖσε πίοιεν ὕδατος, ἀπρόσμαχον αὐτὸν ἔσεσθ. Πίνδαρον δέ πυ φασὶν ἱστορεῖν, ὅτι μίαν ἡμέραν πολεμῷ ὁ Ῥῆσος μεγάλα κακὰ ἐνεδείξατο τοῖς Ἀχαιοῖς.

ΠΕΡΙ ῬΟΙΟΥ.

Ῥοιὼ, Σταφύλυ τῦ υἱῦ Διονύσυ θυγάτηρ γίνεται, ᾗ ἐμίγη ὁ Ἀπόλλων. γνὺς ᾧ ὁ Στάφυλος, βαλὼν εἰς λάρνακα, πρὸς τ θάλασσαν ἀφῆκεν. ἐξελθύσης δὲ τῆς λάρνακος, ἐπὶ

Εὐ-

Εὐβοιαν ἄβρά τι ἄντρον, παῖδα γυναῖ καὶ Ἄνιον καλεῖ, διὰ τὸ ἀνιαθῆναι δι' αὐτόν. τοῦτον δὲ ὁ Ἀπόλλων ἤνεγκεν εἰς Δῆλον· ὃς Δωρίπωλω γήμας, γεννᾶ τὰς Οἰνοτρόπυς, Οἰνὼ, Σπερμὼ, καὶ Ἐλαΐδα, αἷς Διόνυσος ἐχαρίσατο ὁπότε βάλοιντο οἶνον, σπέρματα, καὶ ἔλαιον λαμβάνειν.

ΓΡΑΜΜΑΤΙΚΟΙ.

ΠΕΡΙ ῬΗΓΙΝΟΥ ΤΟΥ ΓΡΑΜΜΑΤΙΚΟΥ.

Ῥηγῖνος γραμματικὸς, ἔγραψε τὸν λεγόμενον Πολύμνονα.

ΠΕΡΙ ΡΙΑΝΟΥ ΤΟΥ ΓΡΑΜΜΑΤΙΚΟΥ.

Ῥιανὸς, Κρὴς γραμματικὸς, ὁμῶ τῆς Βήνης· πόλις ὑπ' αὐτὴ Κρήτης. τινὲς δὲ Κεραίτλω· ἄλλοι δὲ Ἰθάκης τῆς Μεσσήνης αὐτλῶ ἱστόρησαν. γέγονε δὲ σύγχρονος Ἐρατοσθένυς· ἔγραψεν ἔμμετρα ποιήματα, Ἡρακλειάδα ἐν βιβλίοις δ'.

ΙΑΤΡΟΙ.

ΠΕΡΙ ῬΟΥΦΟΥ ΤΟΥ ΙΑΤΡΟΥ.

Ῥοῦφος, Ἐφέσιος ἰατρὸς, γεγονὼς ἐπὶ Τραϊανοῦ σωὶ Κείτωνι· φέρεται αὐτοῦ βιβλία πλεῖστα· ἐξ ὧν καὶ ταῦτα· περὶ διαίτης, πέντε· περὶ διαίτης πλεόντων, ἓν, ἤτοι ἐφοδίων· περὶ τραυματικῶν φαρμάκων, ἕν· περὶ τραυματισμοῦ ἄρθρων, ἕν. περὶ σύκων, ἕν· περὶ ἀρχαίας ἰατρικῆς, ἕν· περὶ γάλακτος, ἕν· περὶ οἴνυ καὶ μέλιτος, ἕν· περὶ τῶν τοῦ ἀνθρώπυ μορίων, δύο· περὶ ὀστῶν, ἕν.

Σ

ΠΕΡΙ ΤΟΥ ΣΑΛΜΩΝΕΩΣ, ΚΑΙ ΤΩΝ ΕΚ ΤΗΣ ΒΥΡΣΗΣ ΒΡΟΝΤΩΝ.

Σαλμωνεὺς, Αἰόλυ μὲν ἦν υἱὸς καὶ Λαοδίκης, ἀδελφὸς Δηϊονέως, καὶ Κηφέως· βασιλεὺς δὲ Θετταλῶν. οὗτος ἀσεβὴς εἰς τοὺς θεοὺς γενόμενος, παροτράπτων ἤρμοσε βύρσας ξηράς τε καὶ σκληράς· καὶ λέβητάς τινας μετὰ τῶν βυρσῶν κτυπῶν, ἤχυς ἀπετέλει· μετὰ χεῖράς τε βασάζων καιομένας λαμπάδας, ἐμεγαλαύχει

καθάπερ Ζεὺς Κρονταῖν τε ἐς ἀστράπτειν, διὸ ἐς ἀντιβροντᾶν τε καὶ ἀνταστράπτειν τῷ Διΐ ἐμυθεύθη, ἕως ὑπὸ τοῦ Διὸς κεραυνωθεὶς ἀνῃρέθη· ἐς καπέλιπε θυγατέρα ἀφήλικα ὀνόματι Τυρώ. ἄυτη τραφεῖσα ὑπὸ τοῦ ἰδίου θείου Κηφέως, ἠράθη τοῦ ἐγχωρίου ποταμοῦ Ἐνιπέως. τούτῳ ὃ τῷ ποταμῷ ὁμοιωθεὶς Ποσειδῶν, συνεγένετο αὐτῇ Ἐνιπέως τῆ Τυρῶ· καὶ συνέλαβε Πελίαν, καὶ Νηλέα, καὶ εἶχε τούτους ἐγκύους. ἐγαμήθη δὲ ἄυτη ὑπὸ Κρηθέως, ἐς ὕστερον ἔσχεν ἡ Τυρώ· τὸ μὴ δοκεῖν, ὡς Κρηθέως· τῇ δ' ἀληθείᾳ, ὡς Ποσειδῶνος· ὕστερον δ' καὶ ἐξ αὐτοῦ τοῦ Κρηθέως ἔσχε παῖδας. Ὅμηρος μέντοι οὐκ οἶδε τοιοῦτόν τι περὶ τοῦ Σαλμωνέως, ἀλλὰ ἀμύμονα αὐτὸν καλεῖ.

ΠΕΡΙ ΤΟΥ ΣΑΡΔΑΝΑΠΑΛΟΥ.

Σαρδανάπαλος υἱὸς Ἀνακινδαράξου, βασιλεὺς Νίνου, Περσικῆς χώρας· ὃς ὡς μιᾷ ἡμέρᾳ Ταρσὸν καὶ Ἀγχιάλῳ ἔκτισεν, ἐκτράπελος ταῖς τρυφαῖς· φασὶ γὰρ αἰσχρῶς αὐτὸν καλλωπίζεσθαι, τοῖς τε οἰκείοις μὴ ὁρᾶσθαι, εἰ μὴ δυσχόροις ἐς κόρυς. πεπυσπολεμωμένου δ' τοῦ ὄικου, ἔνδον εὑρεθεὶς, ἀπέθανεν. Ἀπολλόδωρος δὲ ταῦτά φησιν ἐγγεγράφθαι ἐπὶ τῷ τάφῳ αὐτοῦ, Ἀσσυρίοις γράμμασι· Σαρδανάπαλος Ἀνακινδαράξου παῖς, Ταρσόν τε ἐς Ἀγχίαλον ἔδειμεν ἐν ἡμέρᾳ μιᾷ. πῖνε, ἔσθιε, ὄχευε, ὡς τἄλλα οὐδενὸς ὧδε ἄξια. ὁ δὲ Ἑλλάνικος ἐν τοῖς Περσικοῖς, δύο φησὶ Σαρδαναπάλλους γεγονέναι· εἷς τὸ αὐτὸ Περσῶν βασιλεὺς, ὃς ἐν τρυφῇ ὠφέλετο τὴν εὐδαιμονίαν. λέγει δὲ περὶ αὐτοῦ, ὅτι ἐν μιᾷ ἡμέρᾳ δύο πόλεις ἔκτισε τῆς Λυκίας, Ταρσὸν καὶ Ἀγχιάλω. ἦν δὲ τὸν βίον τρυφηλός, καὶ τὸ εἶδος ἐκτράπελος, καὶ τὸ σχῆμα ἀλλόκοτος· διὸ λέγουσιν ἐν τῷ τάφῳ αὐτοῦ ἐπιγεγράφθαι τοῦτο τὸ ἐπίγραμμα·

Εὖ δεδαὼς ὅτι θνητὸς ἔφυς, ὃν θυμὸν ἄεξε,
Τερπόμενος θαλίῃσι, θανόντι ὕτις ὄνησις.
Καὶ γὰρ ἐγὼ σποδός εἰμι, Νίνου μεγάλης βασιλεύων.
Ταῦτ' ἔχω, ὅσσ' ἔφαγον, καὶ ἐφύβρισα, καὶ μετ' ἐρώτων
Τέρπν' ἔπαθον· τὰ δὲ πολλὰ καὶ ὄλβια κεῖνα λέλειπται.
Ἡ δὲ σοφὴ βιότοιο παρμίνεσις, ὧδέποτ' ἐσθλή·
Κεκτήσθω δ' ὁ θέλων σοφίης τὸν ἀπείρονα πλοῦτον.

ΠΕΡΙ ΣΑΡΠΗΔΟΝΟΣ.

Σαρπηδόνα, ὅτι διὰ τοῦ Γλάυκου χρυσαλογεῖ ὁ Ποιητής. Βελλεροφόντου παῖδες, Ἴσανδρος, καὶ Ἱππόλοχος, καὶ Λαοδάμεια· τὸν-

τῶν Ἰσανδρος μὲν ἀνηρέθη μαχόμενος· Ἱππολόχῳ δ' παῖς ὁ Γλαῦκος. Λικοδαμείη δὲ παρελέξατο Ζεύς, ἡ δ' ἔτεκεν ἀντίθεον Σαρπηδόνα χαλκοκορυστήν· ὥστε ἀντανέψιος ὁ Γλαῦκος τῷ Σαρπηδόνι· ὧδε μὲν ὁ Ποιητής. οἱ δὲ νεώτεροι Εὐρώπης ὧδε Διὸς υἱὸν Σαρπηδόνα λέγοντες, ὧδε ἀδελφὸν αὐτὸν ἱστορῦντες Μίνωος, ἄλλον ἐκεῖνον Σαρπηδόνα χρεαλογοῦσι παλαιότερον, ὡς φασιν οἱ ἀκριβέστεροι.

ΠΕΡΙ ΣΕΙΡΗΝΩΝ.

Σειρῆνες, θυγατέρες γεγόνασι Τερψιχόρης Μούσης, καὶ Ἀχελῴου ποταμοῦ μεταξὺ ῥέοντος Αἰτωλίας καὶ Ἀκαρνανίας, τῆς καὶ Ἀμβρακίας, νυμφῶν δὲ Νικοπόλεως· αἵτινες, καθ' μὲν Ὅμηρον, δύο, καὶ ἀνώνυμοι ἱστοροῦνται· καθ' δὲ τοὺς ἄλλους ποιητὰς, τρεῖς· καὶ ὀνόματα αὐταῖς, Παρθενόπη, Λίγεια, καὶ Λευκωσία· καθ' δέ τινας, πάλιν, Θελξιόπη, ἢ Θελξινόη· Μολπή· Ἀγλαόφωνος. ὧν παπλεύσαντος ὑπ' αὐτὰς τοῦ Ὀδυσσέως, καὶ μὴ θελχθέντος οἷς ἐμελῴδουν, νικηθεῖσαι τῇ ἀθυμίᾳ, καπέρριψαν ἑαυτὰς εἰς τὴν θάλασσαν· καὶ ἀποπνιγεῖσαι, ἄλλη ἀλλαχῇ ἐξεβράσθησαν· ὧν ἡ Παρθενόπη πρὸς τῇ Νεαπόλει πέθαπται, πόλει Καμπανῶν ἀδαίμονι, καὶ ἐκεῖ τοσοῦτον τετίμηται, ὥστε καὶ τὴν πόλιν κληθῆναι Παρθενόπην. ἄλλοι δ' περὶ Παρθενόπης ὧδε λέγουσι· Παρθενόπη πολλοῖς ἀνδράσιν ἐπιβουλευθεῖσα, καὶ τὴν παρθενίαν φυλάξασα, εἶτα Μητιόχῳ Φρυγὸς ἁλοῦσα, τάς τε τείχας ἔπεμψε, ἀκοσμίαν ἑαυτῆς καταψηφιζομένη, καὶ εἰς Καμπανὸς ἐλθοῦσα ᾤκησε· καὶ τάχα διὰ τὴν τοιαύτην σωφροσύνην ἀγνὴ παρὰ πολλῶν ἱστορεῖται.

ΠΕΡΙ ΣΕΜΕΛΗΣ.

Σεμέλη, Κάδμου θυγάτηρ. ταύτης ἠράσθη ὁ Ζεὺς, καὶ συγγίνεται αὐτῇ· ὧδε συλλαβοῦσα, εἶχεν ἐξ αὐτοῦ τὸν Διόνυσον ἔγκυον. ἡ δὲ Ἥρα ζηλοτύπως φερομένη, χρηματίζεται πρόσωπον τροφοῦ ἐγνωσμένης τῇ Σεμέλῃ, καὶ συμβουλεύεται αὐτῇ τῇ Σεμέλῃ, ὅτι δεῖ αἰτῆσαι τὸν Δία συγγενέσθαι, ὥσπερ συγγίνεται τῇ Ἥρᾳ. συγγίνετο δ' ὁ Ζεὺς τῇ Ἥρᾳ μετὰ βροντῶν καὶ κεραυνῶν. ταῦτα δὲ συνεβούλευσεν ἡ Ἥρα τῇ Σεμέλῃ, ἵνα ἐρχομένου τοῦ Διὸς μετὰ κεραυνῶν πρὸς αὐτὴν, ὡς θνητὴ καταφλεχθήσεται· ὧδε μηκέτι ἔχειν τιμὴν ἀντίζηλον· ὃ δὴ καὶ γέγονε. τοῦ Διὸς ἐλθόντος πρὸς τὴν Σεμέλην, ᾔτησεν ἡ Σεμέλη αὐτὸν ὧδε αὐτῇ συγγενέσθαι ὡς τῇ Ἥρᾳ· ὧδε συγγίνεται, ὧδε κεραυ-

νῶ-

νῆται, ϗ ἀπόλυται· ϗ τότε λαβὼν ὁ Ζεὺς τὸν Διόνυσον ἔμβρυον ὄντα, ἔῤῥαψεν ἐν τῷ αὐτοῦ μηρῷ· ϗ ὕστερον ἐν τῷ ἑβδόμῳ μηνὶ ἐλθὼν ὁ Ἑρμῆς, ἀναπτύσσει τὸν μηρὸν τοῦ Διὸς, ϗ γενναῖαι, ὥς φασιν, ὁ Διόνυσος· ϗ λαμβάνει αὐτὸν, ϗ ἀποφέρει εἰς Νύσαν τῆς Θράκης· κἀκεῖ ϖαῤ᾽ τῶν Νυμφῶν γαλακτοτροφεῖται. Σεμέλη δὲ ἤκουσε, ϖαῤ᾽ τὸ σέλας μένειν, ἤγνν φροντίζειν· τ γὰρ Δία, ὡς εἴρηται, ἠτήσατο μ᾽ ἀστραπῶν ϗ βροντῶν συγγενέσθαι αὐτῇ· ᾧ χλομένῳ, ϗ κεραυνωθείσης, ἐσείσθη τὰ μέλη, ϗ ἐντεῦθεν Σεμέλη.

ΣΕΜΕΛΗΣ ΓΕΝΕΑΛΟΓΙΑ.

ΠΟΣΕΙΔΩΝ ϖι τ Δαμνοῦς τοῦ Βήλου γεννᾷ
ΑΓΗΝΟΡΑ,
ᾧ καὶ Ἀργιόπης τοῦ Νείλου ποταμοῦ,
ΕΥΡΩΠΗ, ΦΟΙΝΙΞ, ΚΙΛΙΞ, ΜΕΛΙΑ, ΚΑΔΜΟΣ,
ᾧ ϗ Ἁρμονίας,
ΣΕΜΕΛΗ, ΙΝΩ, ΑΓΑΥΗ, ΑΥΤΩΝΗ.

ΠΕΡΙ ΤΟΥ ΣΕΣΟΓΧΩΣΙΔΟΣ.

λέως Νεοπτόλεμον· ἐς τὰ τόξα τὰ Ἡρακλέους, διὰ Φιλοκτήτην, ἤγαγον ἅπαντα. σὺν πᾶσι δὲ τούτοις καὶ τὸν ἑξαδόμβοιον δόρειον ἵππον κατεσκεύασεν, πρὸς μέγεθος μετεωρότερον τῶν πυλῶν, ὅπως μὴ ἐλκόμενος εἰσέλθῃ, ἀλλ' ὑπερέχῃ τῷ μεγέθει· εἰς ὃν ἐμβάντες οἱ Ἕλληνες, τὸν ἀριθμὸν, κατά τινας μὲν, γ'· κατὰ τινας δὲ, ὧν καὶ Σπάρτορος, ἑκατόν· κατ' ἄλλους δὲ, δώδεκα, ὧν καὶ τὰ ὀνόματα ταῦτα· Μενέλαος, Διομήδης, Φιλοκτήτης, Μηριόνης, Νεοπτόλεμος, Εὐρύπυλος, Εὐρυδάμας, Φείδιππος, Λεοντεύς, Μέγης, Ὀδυσσεύς, καὶ Εὔμηλος. ὅπερ οὐκ ἀληθές μοι δοκεῖ, διὰ τὸ ἀδύνατον εἶναι τοῦτον τὸν Ἀντίκλον· γέγραπται γὰρ τῷ Ποιητῇ καὶ αὐτὸν ἐμβῆναι· φοιτήσαντα δὲ τὸν Σίνωνος πρὸς τὰς Τρῶας ἐπιβουλήν. ὃς ἐλθὼν ἑαυτὸν μαστίξας, καὶ τὰ ἄμφια διαῤῥήξας, καὶ τὸ πρόσωπον αἱματώσας ἀμυχαῖς, προσῆλθε τῇ Ἰλίῳ ἐνδακρυς· λέγων, ὅτι δι' ὑμᾶς, ὦ φίλοι Τρῶες, ταῦτα πέπονθα, φίλος ὑμῖν εἰρηκὼς εἶναι. καὶ οἱ Τρῶες ἐλεήσαντες, προσκάλεσαν, καὶ ἐπύθοντο τοῦ ἵππου. ὁ δ' ἔφη, ἄνδρες Τρῶες, ἡ παρ' ὑμῖν πολιοῦχος Ἀθηνᾶ ὑμῖν συνεμαχέσατο, καὶ καθ' Ἑλλήνων ἀεὶ διετέλει· διὸ μὴ δυνηθέντες καταλαβεῖν τὴν πόλιν, ἔγνωσαν, μήνιμις ἕνεκα, εἰς τιμὴν ἑαυτῶν ἐπανιόντες πατρίδα, δῶρον καταλιπεῖν τῇ προπολεμούσῃ θεᾷ τοῦτον τὸν ξύλινον ἵππον· ἐφ' ᾧ καὶ κατεσκεύασαν, ὡς καὶ τὸ ἐπίγραμμα λέγει. ἐς ὕστερον παρ' ἐκείνων ἤκουσα, καὶ σαφῶς οἶδα· ὃν ὑπακούσαντες οἱ Τρῶες, καὶ τὰς πύλας καθελόντες, εἰσάγουσι τὸν ἵππον. ἐν αὐτῇ δὲ τῇ ἡμέρᾳ εὐωχηθέντες κατακόρως, ὡς δῆθεν τοῦ πολέμου καὶ τῆς παλαιπωρίας ἀπαλλαγέντες, εἰς βαθὺν ὕπνον ἐτράπησαν. οἱ δ' Ἕλληνες ἀποβάντες ἀφεῖ που τῆς νυκτὸς, καὶ φρυκτωρήσαντες τοῖς τῶν τειχέων ἔλασιν ἐσήμαναν, φεῖ που τὸ Τένεδον λοχεύσασαν, καὶ ὅτως ἑάλω ἡ Τροία. ἐὼ δὲ λέγειν ἐς τοὺς προβαλλομένους τοῖς ποιηταῖς μύθους, πῶς ὁ Ζεὺς μᾶλλον χαρίζεται τοῖς Τρωσὶ, καὶ ἐποίει ἡττᾶσθαι τοὺς Ἕλληνας, διὰ τὴν ἱκετείαν τῆς Θέτιδος ἕνεκεν τοῦ Ἀχιλλέως, ἵνα ζητήσωσι τὸν Ἀχιλλέα οἱ Ἕλληνες ἡττώμενοι· καὶ τὸ μυθῶδες φεῖ τῆς Ἥρας μῦθον, πῶς αὐτὴ ἐφρόντιζε τῶν Ἑλλήνων. φροντίζουσα γὰρ βέλεται ἀπατῆσαι τὸν Δία προσμίξιν αὐτῆς· ἐς μὴν τοῦτο ὕπνον αὐτῷ προσποιεῖ, ἐκβακχεύουσα πρὸς αὐτόν· ἵνα καθευδόντος τοῦ Διὸς, ἀβοήθητοι οἱ Τρῶες γιγόμενοι, ἡττηθῶσιν ὑπὸ τῶν Ἑλλήνων. ταῦτα βουλευσαμένη, λαμβάνει τὰ κοσμητικὰ καλλωπίσματα ἐκ τοῦ κεστοῦ τῆς Ἀφροδίτης. εἶτα κοσμησαμένη ἄνεισι πρὸς τὸν Δία, καὶ κινεῖ αὐτὸν ἐκ τοῦ πλάσματος τούτου, πρὸς ἡδονὴν καὶ λαγνείαν·

ἐ τοῦτο δὲ τῷ μύθῳ προστίθησιν Ὅμηρος, τὸν Δία μὴ τιμᾶν τὴν Θέτιδος ἱκετείαν περὶ τοῦ Ἀχιλλέως ὑποσχόμενον, κεκινηκότα αὐτὸν τὰς ὀρῦς ἐπὶ τῇ ὑποσχέσει, σείσαντα δὲ τὰς τείχας ἐπὶ κατανεύσει τῆς κεφαλῆς ἐ συγκινήσαντα ὅλον τὸν ὑρανὸν τ Ἰριχῶν αὐτοῦ κινηθεισῶν. μὴ τοῦτα δὲ τοῦ Ἀχιλλέως πολεμοῦντος, καὶ ἀεισεύοντος κατακράτος, φόβος ἔλαβε τὸν Δία, μή πως παρὰ τὸ εἱμαρμένον ὁ Ἀχιλλεὺς πορθήσῃ τιμᾶν Ἴλιον. τοῦτο φοβούμενος, ἐπιτρέπει τοῖς θεοῖς τ βουλόμενον ὧ βούλεται ἀπελθεῖν, καὶ βοηθῆσαι· ἵνα οἱ μὴ τοῖς Τρωσὶν, οἱ δὲ τοῖς Ἕλλησι βοηθήσωσι. τούτων ἐπιτραπέντων, ὁ μὴ Ζεὺς, καὶ τ μῦθον, ἐβρόντησεν ἐκ τοῦ ὑρανοῦ· ὁ δὲ Ποσειδῶν σείει τὴν θάλασσαν· ὁ ᾍδης, σεισθέντων τ θαλάσσης ἐ τοῦ ὐρανοῦ, ἐφοβήθη μήπως σεισθείσης τ γῆς, ἀναρρήξια γένηται τῶν καταχθονίων, ἐ δημοσιωθῇ τὰ κατ' αὐτόν. ἔστι δὲ τὰ ἔπη ταῦτα·

Δείσας δ' ὃν θρόνυ ἆλτο καὶ ἴαχε, μή οἱ ὕπερθεν
Γαῖαν ἀναρρήξειε Ποσειδάων ἐνοσίχθων.

ἀλλὰ περὶ τούτων μὴ ἄλις. Φερεκύδης δέ φησιν, ὅτι Ἴνιος ἔπεμπε τὰς Ἕλληνας παρακαλουμένους εἰς αὐτὸν, αὐτοῦ μένειν τὰ ἐννέα ἔτη· δεδόσθαι δὲ αὐτοῖς παρὰ τῶν θεῶν, τῷ δεκάτῳ ἔτει πορθῆσαι τιμᾶν Ἴλιον. ἰστέον δὲ ἐ τοῦτο, ὅτι ἐπὶ Νέρωνος εὑρέθη ἐν Κρήτῃ, γεωργοῦ τινος σκάπτοντος ὑπὸ γῆν, κεκρυμμένη μολιβδίνη λάρναξ, συγγραφὴν ἔχουσα τοῦ Τρωϊκοῦ πολέμου Φοινικείοις γράμμασι συγγεγραμμένην ὑπὸ Δίκτυος τοῦ Κρητὸς, ἣ Ὀδίτου, ὃς ἐπὶ Ἴλιον καὶ αὐτοῦ Ἰδομενεῖ συστρατευομένου· ἣ καὶ μεθερμηνευθεῖσα ἐκ τῶν Φοινικείων γραμμάτων ἐς Ῥωμαϊκὴν συγγραφὴν, εὑρίσκεται νῦν παρ' Ἰταλοῖς. ὅτως ἀπήγγειλεν ἡμῖν Κυριακὸς ὁ ἐξ Ἀγκῶνος, ἀνὴρ ἀξιοπίστατος, ἐ ἄλλως καλὸς καὶ ἀγαθός· φάμενος ἐ αὐτὸς ἔχειν τὴν βίβλον. ἔφη δ' αὐτὸς Κυριακὸς δηλοῦν τὴν συγγραφὴν, ὡς ἐν Κρήτῃ ἐπιδεδημηκότι τοῖς Ἀτρείδαις παρὰ Ἰδομενέα, ἐπὶ διαλύσει ἐνίων ὁρῶν ἀλλήλοις ἀμφισβητημάτων, ἀγγελθῆναι τ τ Ἑλένης ἁρπαγήν· καὶ δὴ βουλεύσασθαι εὐθὺς μὴ Ἰδομενέως, μεπελθεῖν τὸ ἀδίκημα ἐπὶ Ἴλιον στρατεύσαντας· παρασκευάζεσθαι μὲν ἔν ἐννέα ἔτη, δεκάτῳ δὲ ἐπιπεπλακότας τοῖς Τρωσὶ, ἐ μείναντας ἐν μόνον ἔτος, ἑλεῖν τὸ Ἴλιον· ἑλεῖν δὲ ὧδε· ὡς μένουσιν αὐτοῦ ἐν τῇ Τρωάδι τοῖς Ἕλλησιν, ὁ προχώρει τὸ πρᾶγμα, τὰς μὲν στρατοπεδούσαθαι ἐπὶ Χερρονήσου, ἐς δ' Ἴλιον πρέσβεις πέμψαι, ὧν καὶ Ὀδυσσεὺς ἦν· τῷ μὲν λόγῳ, συμβησομένους τι περὶ ὧν ἐνεκάλουν· τῷ δ' ἔργῳ, τὰ τῶν Τρώων

πράγ-

πράγματα κατασκευομένης, διδόντας δὲ ἀνάθημα τῇ Ἀθηνᾷ τῇ Ἰλιάδι, ἵππον ξύλινον· ὃν κατασκευάσαντες οἱ Ἕλληνες, αὐτοὶ ἔλιτον ἐν τῇ Τρωάδι, δόξαν παρέχοντες τοῖς Τρωσὶν, ὡς δὲ ἐς τὴν Ἑλλάδα ἤδη ἀποπλέοντες· κατασκοπήσαντας δὲ τὰς πρέσβεις, τὴν μὲν φυλακὴν ἠμελημότας τὰς Τρῳάς, πρὸς δ' εὐωχίαις δὲ πότοις πεπαμμένους, σημῆναι τοῖς Ἕλλησι μένουσιν ἐν Χερρονήσῳ· ἧς ὑὸς νύκτωρ ἀποδεχομένοις τοῖς Τρωσὶν ἐπιθεμένους, ὕστερον Ἰλιον πόλιν ἑλεῖν· μεμνῆσθαι δ' τὴν συγγραφὴν δὲ Πενθεσιλείας τὴν Ἀμαζόνος ἐπὶ συμμαχίᾳ ἥκουσαν τοῖς Τρωσί· καὶ ὡς Ἕκτορι ἀξιόντι πρὸς αὐλὴν ὡς ἐπανησομένῳ μετ' ὀλίγων, ἐνεδρεύσειέ τε πρὸς τῷ ποταμῷ Ἀχιλλεὺς, δὲ κτείνειεν ἐπιπεσών· μετὰ δὲ δὲ Πενθεσιλείαν κτείνειε μεμαχημένος· συχνοὺς δ' Ἑλλήνων καὶ αὐτὸν ἀποκτονῦσαν τοῖς τόξοις· μεμνῆσθαι δὲ καὶ Μέμνονος, ὡς δὲ αὐτοῖς τοῖς Τρωσὶν ἐκ τῆς ἑῴας ἐπὶ συμμαχίᾳ ἥκοντος· προσέτι δὲ, δὲ Γαλαμήδους, ὡς ἀδίκως ἀποθανόντος, δὲ Ναυπλίου τοῦ ἐκείνου πατρὸς κατασκευάσαντος τὰς τῶν ἐν πόλει Ἑλλήνων γυναῖκας μοιχευθῆναι· καὶ δέκα πόλεις τῆς Κρήτης ἀποστάσαντος τυραννῆσαι, δὲ μετὰ τὸν Τρωϊκὸν πόλεμον καὶ τὸν Ἰδομενέα τῆς Κρήτης καταίροντα ἐξελάσαντος· ὕστερον δὲ ἀκέστου τοῦ τῶν Ἑλλήνων ἐπάνοδον ἐπὶ τὴν πατρίδα, ἄψαι φυκτὸν ἐπὶ τὰ κοῖλα τῆς Εὐβοίας, Καφηρέα λεγόμενα, νῦν δὲ Ξυλοφάγον καλούμενον· ὅπου πλεύσαντας τοὺς Ἕλληνας, αὐτοῦ δοκεῖν λιμένα εἶναι, διαφθαρῆναι. εἰδέναι δὲ δεῖ ὅτι ἁλόντος τῆς Τροίας, μόνος Αἰνείας καὶ Ἀντήνωρ σώζονται· καὶ τοῦτο διὰ παλαιὰν ξενοδοχίαν Ἑλλήνων, ἀσμένως γὰρ ἐξενίζοντο ὑπὸ Ἑλλήνων ἄμφω· ἢ διὰ τὸ συγκατατεθεῖσθαι αὐτοὺς, δίκαιον ἀποδοῦναι τὴν Ἑλένην εἰπόντας καὶ τὰ κτήματα· ἢ διὰ τὸ ῥέπειν τρόπον τινὰ πρὸς τὸν Ἑλλήνων φιλίαν, ὅπερ δὲ παρώτρυνε τοὺς Ἕλληνας αὐτοὺς μόνους σῶσαι· καὶ πλοῖα παρασχεῖν αὐτοῖς πλεῦσαι ὅπη ἂν ἡ τύχη φέροι. Ἀντήνωρ μὲν εἰς τὸν Ἀδριατικὸν μυχὸν ἐσβαλών, ἔχων μεθ' ἑαυτοῦ τοὺς Ἐνετούς, (γένος δὲ τοῦτο Παφλαγονικὸν,) ἔκτισε τὸ Πατάβιον, διώξας ἐκεῖθεν τοὺς περιοίκους Εὐγανέους λεγομένους. Αἰνείας δὲ δὲ αὐτὸς ὁμοίως ἀπέπλευσε, δὲ πρῶτον προσέσχε τῇ Μακεδονίᾳ· εἶτα εἰς Σικελίαν ἀπῆρεν, σάσπιν ζητῶν· ἐκεῖθεν δ' εἰς Λαυρέντιον τῶν Πικεντίνων, ὅπου Λατῖνος ἦν βασιλεύς· ὅστις ἐκώλυε αὐτὸν τὴν ἀρχὴν, οἰκῆσαι· εἶτα δὲ ἐρωτήσας ποῖός τίς ὁ στρατηγὸς, καὶ μαθὼν ὅτι Τρώς, ὁ τῆς Ἀφροδίτης δὲ Ἀγχίσου υἱὸς, λίαν εὐλαβήθη τὸν ἄνδρα, δὲ ἐτίμησε· καὶ τὴν αὐτοῦ θυγατέρα Λαβινίαν πα-

ρέχεν εἰς γάμον· δι' ἣν τὰ μέγιστα φιλιωθέντες οἱ Τρῶες τῷ Λαλίνῳ, καὶ τὴν ἐκείνου ἐπωνυμίαν λαβόντες, (Λατῖνοι γὰρ καὶ αὐτοὶ ἐπωνομάσθησαν,) πόλιν ἔκτισαν Λαβίνιον, ἀπὸ τῆς θυγατρὸς Λαβινίας κεκλημένην. καὶ ταῦτα μὲν κατὰ τοὺς μετ' Ὅμηρον. ὁ δὲ Ποιητὴς ἐμφαίνει ἐν Τροίᾳ μεῖναι τὸν Αἰνείαν, καὶ διαδεξάμενον τὴν ἀρχὴν, παραδεδωκέναι τοῖς παισὶν, ἡφανισμένων τῶν Πριαμιδῶν·

Ἤδη γὰρ Πριάμου γενεὴν ἤχθηρε Κρονίων·

καὶ τὰ ἑξῆς.

ΠΕΡΙ ΤΟΥ ΤΡΩΙΛΟΥ.

Τρωΐλου, τοῦ παιδὸς τῆς Ἑκάβης καὶ Πριάμου, φασὶν ὅτι ἐραθεὶς ὁ Ἀχιλλεὺς ἐν λόγοις, ἔργῳ μὲν Ἀπόλλωνος, ἐδίωκεν αὐτόν· προσφυγόντα δὲ τῷ Θυμβραίου Ἀπόλλωνος ναῷ, Ἀχιλλεὺς ἐβίαζεν αὐτὸν ἐξελθεῖν· ὡς δ' οὐκ ἔπειθε, προσελθὼν ἀνεῖλε τῷ βωμῷ· ὃν, φασὶ, καὶ τιμωρῶν ὁ Ἀπόλλων, αὐτόθι παρεσκεύασεν ἀναιρεθῆναι· καὶ ἔτι μέν τινες λέγουσι περὶ τοῦ Τρωΐλου. οἱ δὲ ἀκριβέστεροι, τοῦτον τὸν Τρωΐλον, καὶ βαθεῖαν ἔχοντα τὴν ὑπήνην, καὶ μελάγχροιαν ἰσχύσιν. ὃ πείθομαι δὲ τὸν Θετταλὸν Ἀχιλλέα τοιούτων ἐρᾶν· νέος μὲν οὐκ ὁ Τρωΐλος καὶ ὡραῖος, μελάγχρους δ' καὶ δασυγένειος, καὶ Ἀχιλλέως ἐράσμιον ἀνάξιος. μετὰ δ' τὴν ἀναίρεσιν, Μέμνων ἐξελθὼν ἐκ τῆς Τροίας, συμβάλλει τῷ Ἀχιλλεῖ, καὶ ἀναιρεῖται ὑπ' αὐτοῦ. καὶ ἐχθέτο ἐν τῇ Τροίᾳ δι' αὐτὸν πένθος πολὺ, οἷον ὑφ' Ἕκτορος.

ΠΕΡΙ ΤΡΟΦΩΝΙΟΥ.

Τροφώνιος, ἀνὴρ ἦν πάνυ φιλόδοξος. ποιήσας δ' ἐν Λεβαδείᾳ τῆς Βοιωτίας ὑπόγειον οἴκημα, εἰσελθὼν ἐμαντεύετο· καὶ λιμαγχονηθεὶς ἀπέθανεν· ἐγκατοικῆσαν δ' δαιμόνιόν τι, τὰς μαντείας ἐπέλει· εἰσήρχοντο δὲ ἐντὸς οἱ χρησόμενοι, ἔχοντες ἐν ταῖν χεροῖν πόπανα, ἵνα τοῖς ἐκεῖ ἐμφιλοχωροῦσιν ὄφεσι διδόντες, μηδὲν ὑπ' αὐτῶν δυσχερὲς πάσχωσιν. ὁ δ' εἰσὼν ἐκεῖσε, λοιπὸν οὐκέτι ἐγέλα, διὰ τὴν τῶν ὄφεων ἔκπληξιν· ὅθεν καὶ παροιμία ἐπὶ τῶν ἀγελάστων, καὶ σιωφρυωμένων, τὸ εἰς Τροφωνίου μεμάντευται. καὶ ἄλλως· οἱ περὶ Τροφώνιον, καὶ Ἀείσιον, καὶ Ἐμπεδότιμον, ὑπῆρχον μὲν ἐκ τῆς Βοιωτίας, πόλεως Λεβαδείας, μάντεις δὲ ταῖς τέχναις· βουλόμενοι δὲ κενοδοξῆσαι καὶ δεῖξαι ὅτι ἀνελήφθησαν, ἑαυτοὺς ὑποβρυχίους σπηλαίοις ἔβαλον, ἐπὶ τῷ τεθνάναι

ναι, καὶ μὴ εὑρεθῆναι αὐτῶν τὰ λείψανα· ὅτοι δὲ ὕστερον τεθνήκασιν ἐγνώσθησαν δ', ὅτι ἐκεῖνος ἀπέθανον, διὰ τὸ μαντεῖον φανῆναι ὧδε τὸν τόπον. ἔστι δέ τις παροιμία, ἡ λέγεται, εἰς Τροφωνίου μεμάντευται. λέγεται δ' ἐπὶ τῶν ὠχριώντων, καὶ μηδέποτε γελώντων· πᾶς γὰρ ὁ καταβαίνων εἰς τὸ μαντεῖον ἐκεῖνο, ἀγέλαστος ἀνήει, καὶ ὠχριῶν διηνεκῶς. ἔλεγχος δ' ἦν ὅτος αὐτῷ τούτων, ὅτι ὠχριάσαντες, καὶ μηδέποτε ὖν τῷ Χαιρωνείῳ γελάσαντες, ἀπέθανον. ἠξιώθησαν δὲ ὁ Τροφώνιος, καὶ Ἀγαμήδης ὁ ἀδελφὸς αὐτοῦ μαντεύεσθαι, διὰ τὸ κτίσαι αὐτὸς ἀπὸ οἰκείων χρημάτων τὸ ἱερὸν τὸ ἐν Δελφοῖς τοῦ Ἀπόλλωνος. καὶ ἄλλως· Τροφώνιος καὶ Ἀγαμήδης ἀδελφοὶ δύο γεγόνασι, μάντεις τὴν τέχνην· τούτων ὁ Τροφώνιος Χαιρωνεὺς γενόμενος Χαιρωνείας, ὖν σπηλαίῳ τινὶ ἀπέψυξεν· εἶτα οἱ θεοὶ ἐλεήσαντες, φασὶν, αὐτὸν τὸ πόνον ὖν ᾧ ἀπέψυξεν, ἐποίησαν μαντεύεσθαι· καὶ καλέσαν εἰς τὸ σπήλαιον· καὶ τινας πελετὰς ποιοῦντες ἀνῆσαν, ὡς χρησμοδοτήσοντες. λέγεται δ' ὅτι πᾶς καπελθὼν εἰς τὸ σπήλαιον ἐκεῖνο, ὖν τοῦ λοιποῦ ἀγέλαστος ἦν.

ΠΕΡΙ ΤΗΣ ΤΥΡΟΥΣ.

Τυρὼ, Σαλμωνέως θυγάτης, Κρηθέως γυνὴ υἱοῦ Αἰόλου· ἣν φησι Ὅμηρος ἐρασθῆναι ποταμοῦ Ἐνιπέως· αὐτῆς δ' αὖ πάλιν ἐρῶντα Ποσειδῶνα, ὁμοιωθῆναι τῷ ῥηθέντι ἐραστῇ ποταμῷ· καὶ ὕστερον αὐτῇ μιγῆναι· τίκτει δ', ὖν Ποσειδῶνος πεκέσθαι Πελίαν καὶ Νηλέα. ἐπωνομάσθησαν δὲ ὕστερον, ὅτι γνησίασα αὐτὸς, ὧδε τοῖς Ἐνιπέως τοῦ ποταμοῦ ῥείθροις κατέλιπε. τὸν μὲν ἓν ἔτι κύουσαν, ἀφαιρεθέντων αὐτῆς τῶν τέκνων, παρέχουσα θηλὴν, ἔτρεφε· τὸν δ' ἕτερον ἵππος κατὰ τὸ μέτωπον ἐπάτησεν. ἐπελθόντες δὲ οἱ ἱπποφορβοὶ, ἀνελόμενοί τε τὰ παιδία, ἔτρεφον· καὶ ὠνόμασαν τὸν μὲν, ἐπεὶ ὖν σιωδρομῆς αἵματος ἐπελιώθη, Πελίαν· τὸν δ' ἕτερον, ἐπεὶ κύων κατηλέησε, Νηλέα· ὧν Πελίας μὲν, ὖν Ἰωλκῷ ἐβασίλευσε, Νηλεὺς δὲ, ὖν Πύλῳ. καὶ τούτους μὲν τοὺς δύο, ὕστερον γνῶναι αὐτῇ ἐκ Ποσειδῶνός φασιν· ἀπὸ δέ γε Κρηθέως, Αἴσονα, καὶ Φέρητα, καὶ Ἀμυθάονα. ἕτεροι δὲ ὕστερον φασίν· μετὰ θάνατον Σαλμωνέως νομιζομένην Τυρὼ, ὑπ' ἐτοῦς ἐπιμελῶς ἐκτρεφομένην ὑπὸ Δηϊονεῖ τῷ θείῳ, κορεύεται ὑπὸ Ποσειδῶνος, εἶτα Κρηθεῖ τῷ τοῦ πατρὸς ἀδελφῷ δίδοται εἰς γάμον· ἐξ ἧς γεννᾶται Νηλεύς.

ΠΕΡΙ ΤΥΦΩΕΩΣ ΤΟΥ ΓΙΓΑΝΤΟΣ.

Τυφωεύς, ὃν οἱ μετ' Ὅμηρον Τυφῶνα καλοῦσι, τετραχῶς σχηματίζοντες· Τυφωεὺς γδ, ὁ Τυφάων Τυφάονος, καὶ κατὰ Κιλικίαν Τυφῶν, ὁ Τυρρῆνος, κατὰ μὲν Ἡσίοδον Γῆς υἱὸς μυθεύεται καὶ δὲ Σπιτίχορον, Ἥρας μόνης κατὰ μῆνιν ἀκούσης αὐτόν. Λυκόφρων δὲ δαίμονά φησιν αὐτὸν ἑκατοντακέφαλον, πολεμιωθέντα ὁ κεραυνωθέντα τῷ Διΐ· ὁ μὲν ἀλλὰ ὁ Πίνδαρος ἑκατοντακεφάλου Τυφῶνος ὀμβείμας λέγει. Αἰσχύλος δὲ πάλιν ὡδὶ τοῦτο φησὶ, δυναῖσι γαμφηλαῖσι συρίζων φόνον, ἐξ ὀμμάτων δ' ἤστραπτε γοργωτὸν σέλας. ἡ δὲ κατὰ τὴν Τυφωέα παραβολή, μυθικῶς μὲν ἐναλλαττομένης ἔχει τὰ Δία, ὁ τὸν Τυφωέα αὐτόν· νικῶντα δὲ τὰ Δία, κεραυνοῖς ἰμάσοντα· καὶ ταύταις πληγαῖς ὧν συμμετέχει καὶ ἡ γῆ, κατασκηπτόντων εἰς αὐτήν. ἡ δὲ μυθικὴ ἀναίδεια, ὁ ὁ κατ' αὐτὴν λῆρος, ὁ ταῦτα φησίν· ἡ γῆ ἀγανακτοῦσα ἐπὶ τῷ φόνῳ τῶν γιγάντων, διαβάλλει τὰ Δία τῇ Ἥρᾳ· ἡ δὲ τῷ Κρόνῳ τὸν Δία ἐξαιτεῖται, ὁ αὐτὸς ἔδωκεν αὐτῇ αἀ, τῷ ἰδίῳ χείρας θορῷ, ὁ κατὰ γῆς ἐκέλευσεν ἀποθέσθαι, ἀφ' ὧν ἀναδοθέσεται δαίμων, ἀποστήσων τὸν Δία τ ἀρχῆς. ἡ δὲ ὡς ἔσχεν ὀργῆς, ἔθετο αὐτὰ ὑπὸ Ἀείμαιον τῆς Κιλικίας. ἀναδοθέντος δὲ τοῦ Τυφῶνος, Ἥρα διαλλαγεῖσα τῷ Διΐ, τὸ πᾶν ἐκφαίνει. ὁ ὃ κεραυνώσας τὸν Τυφῶνα, τὸν Σικελικὸν Αἴτνην, (ὄρος ὃ αὐτὴ πυρικαές,) αὐτῷ ἐπέθηκεν. ἰστέον ὃ ὅτι οἱ μὲν φασὶ τὸν Δία ὑπὸ τῇ Σικελίᾳ τὸν Τυφῶνα καταταρταρῶσαι· οἱ δὲ, ὑπὸ Λαοδικείᾳ· ἄλλοι ὃ, ὑπὸ Κιλικίᾳ· καὶ ἕτεροι ἐν Βοιωτίᾳ· τινὲς ὃ, ὑπὸ Φρυγίᾳ, οἱ ὃ ὑπ' Αἰγύπτῳ, ὧν ὁ Ἡρόδοτος. ὁ δὲ Πίνδαρος τῷ Τυφῶνί φησιν ἐπικεῖσθαι τὸν Αἴτνην· διό φασιν ὁ ἐπὶ τοῖς κοίλοις ὁ κισσηρίσι τόποις αὐτῆς, ἡμέρας μὲν καπνὸν φαίνεσθαι, καὶ ὃ τὸν καιρὸν τ νυκτὸς, πῦρ τὰς τοῦ ὄρους πέτρας ῥηγνύον καὶ κυλίον εἰς τὴν θάλασσαν. καὶ ταῦτα μὲν, τὰ μυθικά· ἀλληγορικῶς δὲ καὶ στοιχειακῶς, Τυφῶν ἐστιν, ὁ τύφος, καὶ ἡ κενοδοξία, ἑκατὸν κεφαλὰς ἔχουσα, τυφλοῖ πολλὰς τρόπους ἐπάρσεως· κεραννύται ὃ ὁ πίμπραται ὁ καταβάλλεται τῷ Διΐ, ἤτοι τῷ σώφρονι λογισμῷ. ἢ Τυφῶν ὅτι στοιχειακῶς, ἡ μὲν τὴν τοῦ Χάους καὶ τοῦ Ἐρέβους διάλυσις, καὶ κίνησις τῶν πνευμάτων ὁ ἐκπλήρωσις· ἥτις ὑπερχέθη καὶ ἐπάυθη ὑπὸ Διός, ἤτοι τοῦ εὐκράτου ἀέρος ὁ οὐρανοῦ· μὲν γὸ εὐκρατωθῆναι καὶ συστῆναι τὸν οὐρανὸν εὔρυθμον, ἐπεχύθησαν τὰ τυφωνικὰ ὁ πυρώδη πνεύματα. καὶ ἄλλως πάλιν ἡ ἀλληγορία, Δία

μὲν

μὴ τὸν ἀέρα τοῦτο. Τυφωέα πνεῦμα ὠθούμενον ὑπόγαιον πυρόεν καὶ καυστικὸν, ὃ τῷ τύφῳ τὸ καίειν ὀνομάσθη. ὃς δὴ Τυφωεὺς τοιοῦτος ὢν, ἐναντιοῦται ποτε τῷ Διΐ, ὅτε δηλαδὴ ἑαυτὸν ἐκκάυτας, καὶ τὴν γῆν ἀναρρήξας, ἀναδράμῃ, καὶ κυκήσας τὰ ἐπὶ γῆς· εἶτα καὶ ὑπὲρ μετεώρου, τῷ ἀέρι τῷ Διΐ ἐμπεσὼν, ὑράνιον ἅρμα καὶ τροχιὸν τραγῳδίαν γένηται· ὁ καταπαλαῖ δὲ εἰς τέλος ὅμως τοῦ Διὸς, ἀλλὰ μαραίνεται, μὴ ἔχων εἰς τὸ πᾶν τὸν ψυχρὸν ἀέρα σπένειν· καὶ ὅτως ἡττᾶται τοῦ Διὸς λέγεται· ὅθεν οἱ κεραυνοὶ ἐκ τοῦ ἄρους πίπτουσι· καὶ μάλιστα ἔνθα τυφωνικὰ ἐπιχωριάζει πνεύματα, πόλεμος κινεῖται πιθανεύεται, μεταξὺ Τυφωέος καὶ Διός. τοιούτοις δὲ τόποις ἐν Ἀείμοις, καὶ τὰ Ἄειμα, ἔνθα ὁ Τυφωεὺς ἐνάζειν λέγεται, τυπῆσι διατείβειν, καὶ αὐτόθι αἰκίζειν. ὡρὸς τούτοις δὲ καὶ διάφορόν τινα δόξαν περὶ αὐτοῦ λέξομεν· φασὶ γὰρ τῶν παλαιολόγων τινὲς, τὸν Τυφῶνα περὶ τὸν Κάυκασον ἐν τῇ Τυφαωνίᾳ πέτρᾳ κεραυνωθέντα, ἰχῶράς τινας ἀποστάξαι, ἐξ ὧν ἐγένετο ὁ ὄφις ὁ τὸ δέρας φυλάσσων. Φερεκύδης δὲ ἐν τῇ Θεογονίᾳ φησὶν, ὅτι ὁ Τυφὼς καιόμενον ἀφίκετο εἰς τὸν Καύκασον, ἐκεῖθεν δὲ φυγὼν εἰς Ἰταλίαν ἀφίκετο· ἔνθα καὶ τὰ Γιθηκοῦσαν περιρυῆναι φασὶν αὐτῷ. ὁ δὲ τὰ Ἀργοναυτικὰ γράψας Ἀπολλώνιος, ἐν τῷ Καυκάσῳ φησὶν ἀφικέσθαι εἰς τὴν Σερβωνίδα λίμνην· ἔνθα βαθύχιον γεγονότα, ἅτε βυθισθέντα κεῖσθαι. ἔστι δὲ ἡ Σερβωνὶς λίμνη, περὶ τὸ Ηηλούσιον τῆς Αἰγύπτου· διήκει δὲ καὶ μέχρι Συρίας. τὰ δ' αὐτὰ περὶ τοῦ Τυφῶνος καὶ Ἡρόδωρος φησὶν, ἔνθα καὶ περὶ τῆς Νύσης ἱστορεῖ λέγων·

Ἔστι δέ τις Νύσῃ ὕπατον κέρας, ἀνθέων ὕλη,
Τηλοῦ Φοινίκης, σχεδὸν Αἰγύπτοιο ῥοάων.

ὁ δὲ Κάυκασος διήκει ἀπὸ τῶν Ἀρμενίων ὀρῶν μέχρι Κόλχων.

Υ

ΠΕΡΙ ΤΩΝ ΥΑΔΩΝ ΝΥΜΦΩΝ.

Υ Ἅδες, Νύμφαι· αἱ καλούμεναι Δωνίαι, Διονύσου τροφοί· αἷς ἡ Ἰνὼ διὰ τὴν τῆς Ἥρας φόβον ἐγκατέθετο τὸν Διόνυσον, ὅτε Λυκοῦργος αὐτὰς ἐδίωξε συμπεσούσας ἐκείνῳ, καὶ κατανεμόσας τὸ ἄμπελον. τιθέασι δέ τινες αὐταῖς ὄνομα, Ἀμβροσίαν, καὶ Εὐδώρᾳ, Αἰσύλλῳ, καὶ τοιαῦτά τινα. οἱ δὲ φασιν ὅτι Ὑάδες,

Βά-

Βάκχαι τιθῆναι τῷ Διονύσῳ· ἢ τὸν Διόνυσον, Ὕιν ἀπὸ τούτων ἀποκαλοῦντες. κεῖται δὲ αἱ Ὑάδες, ἐπὶ τῷ τοῦ ταύρου κεράτων· ἢ διὰ τὴν ἀδελφὸν Ὕαντα ὕτω κληθεῖσαι, ἢ διότι τῷ Υ στοιχείῳ παρεμφερεῖς εἰσιν· ἢ ὅτι ὑετῶν ἐπισημασίας δηλοῦσιν.

ΠΕΡΙ ΤΑΚΙΝΘΟΥ.

Υ Ἄκινθος, Ἀμυκλαῖον ἦν μειράκιον, ὡραῖον καὶ καλόν· εἰς ὃν ἐκεῖνος μὲν ὁ Ἀπόλλων, ἐκεῖνος δὲ καὶ ὁ Ζέφυρος· ἢ ἄμφω κατεῖχοντο τῇ μορφῇ· ἢ φιλότιμος ἦν ἀφ' ὧν εἶχεν ἑκάτερος. ἐτόξευε μὲν ὁ Ἀπόλλων, ἔπνει δὲ ὁ Ζέφυρος· μέλη μὲν ἦν τὰ παρ' ἐκείνου ἢ ἡδονή, φόβος δὲ τὰ παρὰ τούτου καὶ ταραχή. ῥέπει ποτὲ τὸν δαίμονα τὸ μειράκιον, καὶ Ζέφυρον ὑπὸ ζηλοτυπίας ὁπλίζει πρὸς πόλεμον. μετὰ ταῦτα ἦν γυμνασία τῷ μειρακίῳ, καὶ τιμωρία παρὰ Ζεφύρου. δίσκος ἦν ὁ ποτὲ τὴν ἀναίρεσιν ἐκείνου διακονήσας· ὑπὸ τούτου μὲν ἀφεθεὶς, ὑπ' ἐκείνου δὲ διεχθείς· καὶ ὁ μὲν, ἐπεθύμει τὴν γῆν οὐκ ἦν ἔρημον σώματος ἀφεῖναι τὴν συμφοράν, ἀλλὰ τὸ ἄνθος ἀντὶ τοῦ μειρακίου γίνεσθαι, ἢ τύπον δέχεται. ὑακυανίζει οὐ τῷ χρόῳ τὸ ἄνθος, κατάστικτον δὲ ἐνίοις. λέγουσι δ' ὅτι καὶ τὰ ποτὲ ἐπιγέγραπται τὸ ποτὲ ἰμὲ δὲ οὐ τοῦ αἵματος τοῦ Αἴαντος ἐμυθεύσαντο τὸν Ὑάκινθον ἀναφυῆναι εἰς τιμὴν τοῦ ἥρωος· ἢ τῷ ποτὲ ἐπιγέγραπται τὸ ὀνόματος κατεσίχθαι· αἱ γὰρ οὐ τοῖς φύλλοις ἐπιγέγραπται· οἱονεὶ ὀλολύζων τὸν τοῦ ἥρωος θάνατον· ὅθεν καὶ Θεόκριτος ἐν τῷ Βιώνα παρεισφέρων τὸν ὀλολυγμὸν εἶπε·

Νῦν ὑάκινθε λάλει τὰ σὰ γράμματα, καὶ πλέον αἰὲ αἰ,
Λάμβανε σοῖς πετάλοισι, καλὸς πέθανε μελικτάς.

ΠΕΡΙ ΤΗΣ ΤΑΡΑΣ.

Υ Ὄρα, θηρίον, μυθεύεται περὶ τὴν Λέρνην, πεντηκοντακέφαλον· οἱ δὲ, ἑνδεκακέφαλον· τὰς δὲ κεφαλὰς εἶναι ὄφεων· ὃ θηρίον ἐλθὼν ὁ Ἡρακλῆς μετὰ τοῦ θεράποντος αὐτοῦ Ὕλα, ἀπέκτεινε. μυθεύεται δὲ ἢ τοῦτο, ὅτι πεμνομβύθης μιᾶς κεφαλῆς, δύο ἀντ' αὐτῆς παρεφύοντο· ὡς γίνεσθαι ἑπτὰ τὸ διπλάσιον ἑκατὸν κεφαλάς. καρκίνος δέ τις τῷ τοῦ Ἡρακλέους πτέρνην δάκνων, τοῦ ἔργου ἐκώλυεν, τῇ ὕδρᾳ συμμαχόμενος, ὃ καὶ ὕστερον καταστερισθείς. ὁ δὲ Ἰόλαος, ὁ τούτου ἀδελφιδοῦς, γνοὺς, τοῦτο ἐμηχανήσατο· καὶ πῦρ ἔφερε, καὶ τὰ πεμνομβύλου κεφαλοῦ ἐνεπίμπρα· ἢ ὅτως ἴσχυσαν ἀποκτεῖναι αὐτό. οἱ δὲ τὸν μῦθον ἀλληγορήσαντες ἰσοδυναμώτερον

πε-

περὶ αὐτῆς διαλαμβάνουσι· οἱ γάρ φασιν ὅτι Λέρνος ἐν Βασιλεύσ. ᾤκουν ὃ πάντες οἱ ἄνθρωποι κατὰ κώμας τῷ τότε καιρῷ· ἦσαν δὲ οἱ Βασιλεῖς ἐφ' ἑκάστῳ τῶν χωρίων τούτων. Σθένελος ὁ τοῦ Περσέως, εἶχε τὸ μέγιστον καὶ πολυανθρωπότατον, τὴν Μυκήνην· ὁ δὲ Λέρνος, οὐκ ἤθελεν αὐτῷ ὑποτετάχθαι. ἐπολέμουν οὖν οἱ δύο διὰ τοῦτο· οὐ δὲ τῇ εἰσβολῇ τῆς χώρας, ἣν τῷ Λέρνῳ πολίχνιόν τι ἰχυρόν, καὶ ἐφρούρουν αὐτὸ πεντήκοντα τοξόται ἀνδρεῖοι, οὓς ἐπίεσαν ἐπὶ τῷ πύργῳ ἀδιαλείπτως νύκτα καὶ ἡμέραν· ὄνομα δὲ ἦν τῷ πολιχνίῳ Ὕδρα. πέμπει οὖν Εὐρυσθεὺς Ἡρακλέα, καὶ ἐκπορθεῖ αὐτὸ τὸ πολίχνιον. οἱ δὲ ἐπὶ τῶν πύργων ἐπυρπολοῦντο τοῖς ἐπὶ τῷ πύργῳ τοξόταις· ὁπότε δέ τις πληγεὶς πέσοι, ἀνέβαινον δύο τοξόται ἀνθ' ἑνός, ἕως ἀνδρεῖος ἦν ὁ προανηρημένος. ἐπειδὴ δὲ σωνείχετο ὁ Λέρνος ὑπὸ τοῦ Ἡρακλέους τῷ πολέμῳ, μισθοῦται ὀθνεῖον στρατόν· ἦλθε δὲ αὐτῷ ἄγων τὴν στρατιὰν, Καρκίνος ὄνομα τῷ ἀνδρὶ, μέγας τὴν ἰσχὺν καὶ πολεμικός· καὶ συνῆν τούτῳ ἀνπεῖχον πρὸς τὸν Ἡρακλέα. εἶτα βοηθεῖ ὁ Ἰόλεως ὁ Ἰφικλέους, ἀδελφιδοῦς ὢν, ὡς ἔιρηται, τῷ Ἡρακλεῖ, ἔχων τὴν στρατιὰν ἀπὸ Θηβῶν, καὶ τὸν πεφυκότα πύργον πρὸς τῇ Ὕδρᾳ, προσελθὼν ἐνέπρησε, καὶ συνῆλε τῇ δυνάμει ἐπόρθησεν αὐτὸς ὁ Ἡρακλῆς, καὶ τὴν Ὕδραν ἀναιρεῖ, καὶ τὴν στρατιὰν ἀπόλλυσιν· ὃ χρυσοῦν τοῦ πεντηκοντακεφάλου θηρίου ὁ μῦθος προσανεπλάσθη.

ΠΕΡΙ ΤΟΥ ΥΛΑ.

Ὕλας, Ἡρακλέους ἐρώμενος, υἱὸς Θειοδάμαντος τοῦ Δρίοπος ὕπω Μυασέως. Ἑλλάνικος δὲ, Θειομβρότα Θειοδάμαντος καλεῖ. ὁ δὲ Ἀπολλώνιος, Θειοδάμαντος τὸν Ὕλαν φησὶν υἱὸν γενέσθαι· Ἑλλάνικος δὲ, Θειομβρότου. τοῦτον τοίνυν τὸν ἐρώμενον Ὕλαν ἔχων μεθ' ἑαυτοῦ ὁ Ἡρακλῆς, πλέων μετὰ τῆς Ἀργοῦς εἰς Κόλχους σὺν Ἰάσονι, ὅτε Κίῳ τῇ πόλει κατήντησε· ὅτε ἦ ἐξελθὼν ὁ Ὕλας, ὕδωρ ἀντλῆσαι βουλόμενος, ἡρπάσθη ὑπὸ Νυμφῶν ὑδρευόμενος. μὴ ἐπανήκοντος δὲ αὐτοῦ, ὁ Ἡρακλῆς πολὺν χρόνον ἐζήτει, ἀλλ' οὐδὲν ἤυσεν· ὕστερον δὲ ὑπό τινος ἀϊθερίας φωνῆς ἤκουσεν, ποθοῦντος τὸν παρεόντα, καὶ μάτην καλοῦντος· ὃ καὶ εἰς παροιμίαν ἐλήφθη, ἐπὶ τῶν μάτην προσδοκώντων. Διοκλείδης δὲ ἐν τοῖς Δηλιακοῖς ἱστόρησεν ὅτι τὸν Ὕλαν εἰς τὴν ὑδρείαν ἐξηλευθέναι, ἀλλὰ τὸν Ὕλον τὸν Ἡρακλέους υἱὸν, καὶ ἀνδρεῖον γενέσθαι. πολλοὶ δὲ ἐρώμενοι γενέσθαι λέγονται Ἡρακλέους, Ὕλας, Φιλοκλῆς,

Δίομβ, Πενεθόας, καὶ Φρύξ· ἀφ' ἧς πόλις κατὰ Λιβύλλων. Σωκράτης δὲ ὁ ἐν τῷ περὶ Εἰδόθεον, φησὶ, τὸν Ὕλαν ἐρώμενον Πολυφήμου, καὶ οὐχ Ἡρακλέους γενέσθαι. Ὄνασος δὲ ὁ περὶ τῶν Ἀμαζονίδων ἀληθέστερον τοῦ ἱστορίαν ἐκτίθεται· οὐ γὰρ ἁρπάσαι λέγων αὐτὸν ἀπὸ Νυμφῶν, ἀλλὰ κατηνέχθαι εἰς κρήνην· καὶ ὕστερον ἀποθανεῖν.

Φ

ΠΕΡΙ ΦΑΕΘΟΥΣΗΣ.

Φαέθουσα καὶ Λαμπετίη, Ἡλίου καὶ Νεαίρας θυγατέρες μυθεύονται, ποιμένες τοῦ τοῦ Ἡλίου βοῶν ὑπ' Σικελίᾳ.

ΠΕΡΙ ΦΑΕΘΟΝΤΟΣ.

Φαέθων, ὁ υἱὸς τοῦ Ἡλίου, καὶ ὁ ἕτερος τῶν ἵππων αὐτοῦ· δύο γὰρ ἵπποι, φασὶ, τῷ ἅρματι τοῦ Ἡλίου εἰσίν· ὧν ὁ μὲν Λάμπων, ὁ δὲ Φαέθων ὀνομάζεται. τὰ δὲ τοῦ Ἡλίου παῖδα, ἐκπεσεῖν τοῦ πατρῴου ἡλιακοῦ ἅρματος μυθεύονται· ἐμπεσόντα δὲ τῷ Ἠριδανῷ ποταμῷ, ἐκεῖ τὰς ἀδελφὰς Ἡλιάδας νυκτὸς θρηνεῖν· καὶ τῶν ὀφθαλμῶν ἀποστάζειν ἄκρυον ἠλέκτρου· εἶτα εἰς αἰγείρους μεταβεβληκυίας, ἀποστάζειν καὶ εἰσέτι τοιοῦτο ἄκρυον. περὶ τούτοις δὲ καὶ τάδε φασιν, ὅτι οἱ Κελτοὶ ὑφήμνιοι ταῖς αἰγείροις, δρέπονται τὸ τοιοῦτον ἤλεκτρον. ἤλεκτρος δὲ νῦν, οὐχὶ τὸ ἐκ χρυσοῦ καὶ ἀργύρου κράμα, λίθος δέ τις χρυσοειδὴς, ἐξ οὗ καὶ λαβαὶ μαχαίραις γίνονται, ἀχύρων ἐφελκυστικαί, ὡς ἡ μαγνῆτις σιδήρου. οἱ δ' αὐτοὶ Κελτοὶ ἐφήμισαν τὸ ἤλεκτρον εἶναι μὴ τῶν Ἡλιάδων, ἀλλὰ ἄκρυον εἶναι Ἀπόλλωνος, ἡνίκα διὰ τὸν Ἀσκληπιοῦ θάνατον ἀνιαθεὶς, εἰς τοὺς Ὑπερβορέους ἀφίκετο, διὰ τὸ τοῦ πατρὸς ἐπιτίμησιν· ἢ ὅτι ἐκελεύσθη θηπεύειν ἐπὶ τῷ φόνῳ τῶν Κυκλώπων. ἰστέον δὲ καὶ τοῦτο, ὅτι τινὲς τῶν παλαιῶν οὐ λίθον τὸν ἤλεκτρον δεικνύουσιν, ἀλλὰ δένδρου ἄκρυον, πεπηγὸς εἰς σῶμα λιθοειδές.

ΠΟΘΕΝ ΚΑΙ ΠΩΣ ΟΙ ΦΑΙΑΚΕΣ ΕΓΕΝΝΗΘΗΣΑΝ.

Ἀκουσίλαος ὁ ἐν τῇ τελίτῃ φησὶν, ὅτι ὁ ἐκ τῆς ἐκτομῆς τοῦ Οὐρανοῦ ῥανίδας διεχθῆναι συμπεσε, τυτθοὶ σταγόνας κατὰ τῆς γῆς, ἐξ ὧν γενηθῆναι τοὺς Φαίακας· οἱ δὲ, τοὺς Γίγαντας.

καὶ

καὶ Ἀλκαῖος δὲ κ᾽ τὰ αὐτὰ Ἀκυσιλάῳ λέγει τὺς Φαίακας ἔχειν τὸ γένος ἀπ᾽ τ᾽ σταγόνων τ᾽ Οὐρανοῦ. Ὅμηρος δὲ οἰκείως τὺς Φαίακας τοῖς θεοῖς φησι, διὰ τὸ ἀπὸ Ποσειδῶνος γένεσιν· Φαίαξ γὰρ, Ποσειδῶνος καὶ Κερκύρας τ᾽ Ἀσωπίδος· ἀφ᾽ ἧς ἡ νῆσος Κέρκυρα ἐκλήθη, τὸ πρὶν Δρεπάνη τε καὶ Σχερία κληθεῖσα· ἐν ᾗ κεχωσμένον ἦν τὸ δρέπανον, ᾧ ὁ Ζεὺς Κρόνον ἐξέταμε.

ΠΕΡΙ ΦΑΙΔΡΑΣ.

ΦΑίδρα, Μίνωος ἦν θυγάτης, γυνὴ Θησέως· ἣ ἐρῶσα τ᾽ σώφρονος Ἱππολύτυ, καὶ ἐκπεσοῦσα ὃ ἤθελεν, αὐτή τε ἀπήγξατο, καὶ ἐκεῖνον διαβαλοῦσα τῷ τοῦ κόλπυ γράμματι, φθαρῆναι καταραθέντα πρὸς τ᾽ πατρὸς πεποίηκε· καθὰ δὲ Εὐριπίδης ἱστορεῖ, ὕτω διαλαμβάνων· Θησεὺς ὁ υἱὸς Αἴθρας δὲ Ποσειδῶνος, ὁ Ἀθηναίων βασιλεὺς, γήμας μίαν τ᾽ Ἀμαζόνων Ἱππολύτην, Ἱππόλυτον ἐγέννησε, κάλλει τε καὶ σωφροσύνῃ διαφέροντα. ἐπεὶ δὲ ἡ σωοικοῦσα τὸν βίον μετήλλαξεν, ἐπεισηγάγετο Κρητικὴν γυναῖκα, τὴν Μίνωος τ᾽ Κρητῶν βασιλέως, δὲ Πασιφάης θυγατέρα Φαίδραν. ὁ δὲ Θησεὺς Πάλλαντα ἕνα τ᾽ συγγενῶν φονεύσας, φεύγει ἐς Τροιζῆνα μετ᾽ τ᾽ γυναικός· ἔ σωέβη τ᾽ Ἱππόλυτον ὑπ᾽ αὐτ᾽ Πιτθεῖ τρέφεσθαι. θεασαμένη δὲ τ᾽ νεανίσκον ἡ Φαίδρα, εἰς ἐπιθυμίαν ὤλισθεν, οὐκ ἀκόλαστος οὖσα, πληρωθεῖσα δὲ Ἀφροδίτης μῆνιν, ἣ τ᾽ Ἱππόλυτον διὰ σωφροσύνην ἀνελεῖν κείνασα, τὴν Φαίδραν εἰς ἔρωτα παρώρμησεν. τέλος δὲ τοῖς προπεθεῖσιν ἐπέθηκε· σέργουσα γὰρ τ᾽ νόσον ἡ Φαίδρα, χρόνῳ προὸς τ᾽ τροφὸν δηλῶσαι ἠναγκάσθη. ἡ δὲ, καπηγγείλατο αὐτῇ βοηθήσειν· ἥτις καὶ ἀπ᾽ τ᾽ προαίρεσιν, λόγυς προσήνεγκε τῷ νεανίσκῳ. τραχυνόμενον δὲ αὐτὸν ἡ Φαίδρα καταμαθοῦσα, τῇ μὴ τροφῷ ἐπέπληξεν, ἑαυτὴν δὲ ἀνήρτησεν· καθ᾽ ὃν καιρὸν φανεὶς Θησεὺς, δὲ καθελεῖν θέλων τ᾽ ἀπηγχονισμένην, εὗρεν αὐτῇ προσηρτημένον δέλτον, δι᾽ ἧς Ἱππολύτυ φθορὰν κατηγόρει καὶ ἐπιβλήν. πιστεύσας δὲ τοῖς γεγραμμένοις, τὸν μὲν Ἱππόλυτον ἐπέταξε φεύγειν, αὐτὸς δὲ τῷ Ποσειδῶνι ἀρὰς ἔθετο· ὧν ἐπακύσας ὁ θεὸς, τὸν Ἱππόλυτον διέφθειρεν. Ἄρτεμις δὲ τῶν γεγενημένων ἕκαστον διασαφήσασα Θησεῖ, τὸν μὲν Φαίδραν οὐκ ἐμέμψατο· τοῦτον δὲ παρεμυθήσατο, ὡς καὶ γυναικὸς σπερθέντα· τῷ δὲ Ἱππολύτῳ τιμὰς ἔφη ἐπιχωρίους ἐγκαταστήσαθαι.

ΦΑΙΔΡΑΣ ΓΕΝΕΑΛΟΓΙΑ.

ΗΛΙΟΣ ἐκ Πέρσης τῆς Ὠκεανοῦ γεννᾷ

ΑΙΗΤΗΝ,	ΚΙΡΚΗΝ,	ΠΑΣΙΦΑΗΝ,
ἣν καὶ Εἰδυίας,	ἣν καὶ Ὀδυσσέως,	ἣν καὶ Μίνως,
ΜΗΔΕΙΑ,	ΤΗΛΕΓΟΝΟΣ,	ΑΡΙΑΔΝΗ,
ΑΨΥΡΤΟΣ.	ΠΑΣΙΦΑΗ.	ΓΛΑΥΚΟΣ,
		ΑΝΔΡΟΓΕΩΣ,
		ΦΑΙΔΡΑ.

ΠΕΡΙ ΤΟΥ ΦΑΛΑΡΙΔΟΣ.

Φάλαρις, ὁ γένει Σικελιώτης ἦν, καινοτέρων κολαστηρίων εὑρετής· ὅστις ἔγραψεν ἐπιστολὰς θαυμασίας. Διονυσίῳ δὲ τῷ τυράννῳ χαριζόμενος ὄντι ὠμοτάτῳ καὶ τιμωρητικῷ, ἐποίησε βοῦν χαλκῆν, ἐν ᾧ ἔδει βάλλειν τοὺς κολαζομένους, καὶ πῦρ ἀνακαίειν· ἵνα ἔνδον ὄντες ἀνακαιόμενοι καὶ βοῶντες, διατρεχούσης τῆς φωνῆς, τῷ τυράννῳ δόξῃ ὁ ταῦρος καιόμενος, μυκηθμὸν ἀποτελεῖν· ὅτινος τὸ ἀπάνθρωπον θεασάμενος ὁ Διονύσιος, αὐτὸν τοῦτον ἐνέβαλεν εἰς τὸν βοῦν· καὶ καύσας, ἀπέκτεινεν ἐν τοῖς ἑαυτοῦ μηχανήμασιν.

ΠΕΡΙ ΤΩΝ ΦΑΛΛΩΝ.

Περὶ τῶν φαλλῶν, καίπερ αἰσχρά τινα ἐν ἀσελγείᾳ ἐν παμμίαρα μυθεύεται, χάριν τῶν φιλομύθων, τὰ καθ' ἡμᾶς τοῖς παλαιοῖς εὑρισκόμενα, νῦν λέξομεν. ἱστέον τοίνυν ὅτι ἡ μυθικὴ ἀναίδεια, ἐν ὁ κατ' αὐτὴν λῆρος, τοιοῦτα περὶ αὐτῶν φησιν· ἐν Σεμέλης τῆς Κάδμου θυγατρός, γυναῖκα ὁ Διόνυσος. αὕτη δὲ κεραυνωθεῖσα, ἐζητεῖτο ὑπὸ τοῦ Διονύσου· περιπλανωμένῳ δὲ τούτῳ καὶ ζητοῦντι, Πολύϋπνος, ᾧ δὲ ἄλλως, Πολύσυμνος, παῖς ὢν λεγόμενος ἐμέτυχε τῷ Διονύσῳ, καὶ ὑπέσχετο δείξειν αὐτῷ τὴν μητέρα, εἰ παιδεραστήσει αὐτόν· ὁ δὲ Διόνυσος ὑπέσχετο τοῦτο. λέγει αὐτῷ ὁ Πολύϋπνος, ὅτι ἐν τῇ Λέρνῃ τῇ Ἅιδου πηγή, ἔστιν ἡ Σεμέλη, καὶ ἐσπερματίσθη ὑπ' αὐτοῦ ὁ Διόνυσος. εἶτα εἰσελθὼν ἐν τῇ θαλάσσῃ ὁ Διόνυσος, ἵνα περάσῃ ἐν τῇ Λέρνῃ, σωηκολούθησεν αὐτῷ ὁ Πολύϋπνος· καὶ ὁ μὲν Διόνυσος ὡς θεός, διεσώθη· ὁ δὲ Πολύϋπνος, πέθνηκε. ὁ δὲ Διόνυσος λυπηθεὶς ὅτι ὁ ἐραστὴς αὐτοῦ τέθνηκεν, πρὸς λιμὸν αὐτοῦ καὶ μνήμην τοῦ Πολυΰπνου, αἰδοῖον ξύλινον ἐν συκίνῃ ξύλῃ πελεκήσας καὶ καταχρήσας, κα-

πεῖ-

πῖχεν ἀεὶ ὁ Διόνυσος ὡρὸς τὸν ἑαυτῦ παραμυθίαν· ὡς πάνυ ἡδέως μεμνημένος τ̃ συμπλεσθείσης αὐτοῖς ἀθροίσεως ἡδονῆς· ἐς τύπον σκήπτρου τοῦτο ἐπεφέρετο. οἱ δέ φασιν ὅτι εἰς τ̀ ἑαυτῦ τράχηλον τοῦτο ἀφῆψε, κ̀ ὕστερον περιήει. διὰ ταύτην τ̀ αἰτίαν τοῖς φαλλοῖς τιμῶσι τ̀ Διόνυσον· φαλλὸς δέ ἐστι, ξύλον ἐπίμηκες ἔχον ἐν τῷ ἄκρῳ σκύτινον αἰδοῖον ἐξηρτημένον. ἱστορεῖται δὲ κ̀ τοῦτο, ὅτι Πήγασος ὁ ἐν τῇ Ἐλευθέρᾳ, (Ἐλευθέραι δ̀ πόλις εἰσὶ Βοιωτίας) λαβὼν τὰ Διονύσου τὰ ἀγάλματα, ἦκεν εἰς τὴν Ἀττικήν. οἱ δ̀ Ἀττικοὶ οὐκ ἐδέξαντο μ̃ λιμῆς τὸν θεόν· ἀλλ' οὐκ ἀμιθεί γε αὐτοῖς ταῦτα βυλόσαμενοις ἀπέβη· μηνίσαντος γὰρ τοῦ θεοῦ, νόσος καπέσκηψεν εἰς τὰ αἰδοῖα τῶν ἀνδρῶν· κ̀ τὸ δεινὸν ἀνήκεστον ἦν. ὡς δ' ἀπέπαυσε ὡρὸς τὴν νόσον κρείττων γνωμένη πάσης μαγγανείας κ̀ τέχνης, ἀπεστάλησαν θεωροὶ μ̃ σπουδῆς. οἱ δὴ ἐπανελθόντες, ἔφασαν ἴασιν εἶ̃ μόνην ταύτην, εἰ διὰ πάσης τιμῆς ἄγοιεν τὸν θεὸν, ὠμοίωμα ποιήσαντες τοῦ πάθους. ἴσως κ̀ ὅτι παίδων γνήσεως αἴτιος ὁ θεός· ἡδονὴ γὰρ κ̀ ἀφροδίσια. πεισθέντες οὖν τοῖς ἠγγελμένοις οἱ Ἀθηναῖοι, φαλλὸς ἰδίᾳ τε ἐς δημοσίᾳ κατεσκεύασαν, κ̀ τούτοις ἐγέραιρον τὸν θεόν· φαλλοὶ δ̃ εἰσὶν ὕστοι πάντες. ἰθύφαλλοι δὲ, οἱ εἰς τὰς μητρὸς μόνον ἐπ' εὐθείας ἐπιδεσμούμενοι· διὰ τοῦτο κ̀ φαλλητάρια καλοῦνται. κ̀ ἄλλως· ὃν τῇ ἑορτῇ τοῦ Διονύσου, φαλλὸς δερματίνους κ̀ σχηματιζομένους εἰς αἰδοῖα ἀνδρὸς ἀμφιτίθεσθαι οἱ Ἕλληνες ἑαυτοῖς, εἰς τιμὴν τοῦ θεοῦ· κ̀ τινας τ̃ φαλλῶν ἀπήρτων ἀπὸ τοῦ τραχήλου τοῦ ἑαυτῶν· ἄλλους δὲ κ̀ περὶ τὸν ὦμον τὸν ἑαυτῶν ἰθυπενῶς περιεδέσμουν, μιμούμενοι αἰδοῖον ὄρθιον, ὃς κ̀ ἰθυφάλλους ἐκάλουν· ὡς εἶ̃ τῶν φαλλῶν τοὺς μὴ ἰθυφάλλους, τοὺς δὲ πλαγιοφάλλους. λεκτέον δὲ νῦν κ̀ περὶ τοῦ ἀναιδοῦς Φάνητος.

ΠΕΡΙ ΤΟΥ ΦΑΝΗΤΟΣ ΚΑΙ ΤΟΥ ΗΡΙΚΑΠΑΙΟΥ.

Ἐν τοῖς Ὀρφικοῖς ποιήμασι συνετέθη τὰ δύο τοῦτα μ̃ ἐς ἄλλων πολλῶν· ὧν τὸν Φάνητα ἐπφέρει αἰδοῖον ἔχοντα ὀπίσω περὶ τὴν πυγήν. λέγουσι δὲ αὐτὸν ἔφορον τῆς ζωογόνου δυνάμεως· ὁμοίως κ̀ τὸν Ἡρικαπαῖον λέγουσιν ἑτέρας ἔφορον εἶ̃ δυνάμεως.

ΠΕΡΙ ΦΑΩΝΟΣ.

Τῷ Φάωνι βίος ἦν περὶ πλοῖον εἶ̃ κ̀ θάλασσαν· ἔγκλημα δὲ οὐδὲν παρ' οὐδενὸς ὁμολόγητο· ἐπεὶ κ̀ μέτριος ἦν, κ̀ ὡς

παρὰ τ̃ ἐχόντων μόνον ἐδέχετο. θαῦμα ἦν τῦ τρόπυ παρ' Λεσβίοις. ἐπαινεῖ τὸν ἄνθρωπον ἡ Ἀφροδίτη· καὶ ὑποδῦσα θέλει ἀνθρώπῳ γυναικὸς ἤδη γεγηρακύιας, τῷ Φάωνι διαλέγεται περὶ πλῦ· πορθμὸς ἦν ὁ πλῦς. ταχὺς ἦν ἐκεῖνος καὶ θεραπδῦσαι, καὶ διακομίσαι, καὶ μηδὲν ἀπαιλῆσαι, τί ἂν ἐπὶ τύτις ἡ θεός; ἀμείψαι φασι τὸν ἄνθρωπον, καὶ ἀμείβεται νεότητι καὶ κάλλει τὸν γέροντα· ὅθεν ὅταν ἀκύσεις Φάων, τ̃ εὐμόρφων νοητέον, ὕτος ὁ Φάων ὅστις ἐστὶν, ἐφ' ᾧ τὸν ἔρωτα αὐτῆς ἡ Σαπφὼ πολλάκις ἄσμα ἐποίησεν.

ΠΕΡΙ ΦΕΡΕΚΛΟΥ.

Φερεκλῆς, τέκτων υἱὸς Ἁρμονίδυ· ὃς ὑπὸ Ἀθηνᾶς ἐξοχὰ φασι φιλύμθῆναι, χερσὶν ἠπίστατο δαίδαλα πάντα πύχειν, ὃς καὶ Ἀλεξάνδρῳ πεκτήνατο νῆας εἴσας ἀρχεκάκυς, αἳ πᾶσι κακὸν ἐγένοντο Τρώεσι.

ΠΕΡΙ ΦΙΛΟΙΤΙΟΥ.

Φιλοίτιος βυκόλος, δῦλος Ὀδυσσέως.

ΠΕΡΙ ΦΙΛΟΞΕΝΟΥ ΤΟΥ ΔΟΤΡΙΧΟΔΕΙΡΟΥ.

Φιλόξενος βαρός τις ἦν, ὁ κατ' εὐχὴν δυσιχόδειρος· ὃς ὀψοφάγων πρωλάμπει, ὑ γεράνυ τράχηλον ἁπλῶς εὐξάμθῆναι εὐτυχῆσαι, ἀλλὰ τειῶν λάρυγγα πήχεων· ὅπως, φησὶ, καταπίνω πλεῖσον ὅτι χρόνον.

ΠΕΡΙ ΦΗΜΙΟΥ.

Φήμιος, υἱὸς Τερπίυ· ὅθεν Τερπιάδης παρῳνυμικὸν ὄνομα. τῦτον τὸν Φήμιον ἡ παλαιὰ ἱστορία διδάσκαλον γυμέθαι λέγει τῦ ποιητῦ, ἄνδρα σοφὸν ἐς Μύσαις κάτοχον· διὸ καὶ τὸν Ἰθακήσιον ἀοιδὸν ὁ ποιητὴς ὅτυ πλάττει καλεῖσθαι, ὡς κατατιθέμενος τῇ ποιήσει τὸ τῦ διδασκάλυ ὄνομα, ὅια κευθείῳ λαμπρῷ, εἰς κλέος ἀείμνησον.

ΠΕΡΙ ΦΙΝΕΩΣ.

Φινεὺς, καθ μὲν Ἑλλάνικον Ἀγήνορος ἐστὶν υἱός· καθ' ὁ Φινέα, Φοίνικος τῦ Ἀγήνορος καὶ Κασσιεπείας. ὁμοίως δ' τύτῳ καὶ Ἀσκληπιάδης φησὶ, καὶ Ἀντίμαχος, ἐς Φερεκύδης· ὃν δὲ Κασσιεπείας τῆς Ἀράβυ γίνεται Φοῖνιξ, ᾧ Κίλιξ ἐς Φινεὺς καὶ Δόρυκλος· ὁ δὲ Ἄτυμνος καθ μὲν ἐπίκλησιν, καὶ αὐτὸς τῦ Φοίνικος, ταῖς δὲ ἀληθείαις, τῦ Διός. ἔνιοι δ' βασιλεῦσαί φασιν ὐ Γα-

φλα-

φλαγονία τ Φινέα· αὕτη δὲ τ Ἀσίας, ὡς φησιν Ἑλλάνικος· ἕτεροι δ' ἐν Βιθυνίᾳ. ἀμφισβητεῖται δ' ἐν ποίᾳ Βιθυνίᾳ φασὶ τ Φινέα βασιλεύειν, ἀμφοτέρων ὑσῶν ἐπὶ τῶν περάτων· δοκεῖ δ' ὅτι ἐπὶ τῆς Εὐρωπαίας. φησὶ δὲ Ἀπολλώνιος, ὅτι ἐν τῇ Βιθυνίᾳ τὰ ἀπόγεια ἔδησαν, τῇ ἐπιούσῃ ἡμέρᾳ δηλονότι ἀπὸ τ Ἀσίας εἰς τὴν Εὐρώπλω. ἄλλως τε καὶ ὑπὸ πάντων ὁμολογεῖται τὸν Φινέα περὶ τὸν Σαλμυδησσὸν κατοικῆσαι. ὁ δὲ Σαλμυδησσὸς ἐπὶ τῆς Θράκης ὅθι κ τὰ ἀριστερὰ εἰσπλέοντι τὸν πόντον. προσεκτέον δὲ βέλτιον τῷ Ἀπολλωνίῳ· ὁ γάρ φησι δῆσαι τὰ ἀπόγεια τὼς Ἀργοναύτας ἐν τῇ Βιθυνίᾳ· ἀλλ' ἐν τῇ ἀντιπέραν Βιθυνίᾳ· ὡς εἰ μίαν μὲν τλὼ Βιθυνίαν, τλὼ δὲ Ξεναντίαν αὐτῇ τλὼ Θράκλω, ἐν ᾗ φησι δῆσαι τὰ ἀπόγεια τὼς Ἀργοναύτας. ἔνιοι δὲ ἀπίθανον οἴονται τοσαῦτα ἔτη ἐζηκέναι Φινέα, ὥστε τὸ Φοίνικος ὄντα υἱὸν, μέχει τῶν Ἀργοναυτῶν διαρκέσαι. ἕτερον δ' φασι τὸν τὸν Φινέα τὸ παλαιὸ Φινέως, ἕβδομον ὄντα ἀπὸ Φοίνικος τὸ Ἀγήνορος, ὡρὸς ὃν ἀπήντησαν οἱ ἥρωες. Φερεκύδης δέ φησι ἐν τῇ ς', ὅτι Φινεὺς πάντων τῶν ἐν τῇ Ἀσίᾳ Θρακῶν ἐβασίλευσε μέχει Βοσπόρυ· ἔθνοι δ' εἰσὶ Θυννοὶ κ Γαφλαγόνες. μυθεύεται δὲ ὅτι ἐπηρώθη τὰς ὄψεις ὁ Φινεύς, κ μὲν ἐνίους, ὑπὸ τὸ ἡλίυ, διὰ τὸ πολὺν χρόνον αἰτῆσαι μᾶλλον ζῆν ἢ βλέπειν· κατὰ δὲ ἐνίους, ὅτι ἐπεβύλευσε Περσεῖ· Σοφοκλῆς δ', ὅτι τὸς ἐκ Κλεοπάτρας υἱὸς ἐτύφλωσεν Ὀάρθρον (*) καὶ Κράμβλω, πειθεὶς διαβολαῖς Εἰδυίας τῆς αὐτῶν μητρυιᾶς· Φινεὺς γὰρ πρώτλω ἔσχε Κλεοπάτραν τ Ὠρειθυίας· μ τοῦτα δ' Εἰδυῖαν τλὼ Δαρδάνυ· ἥτις ἀπεχθῶς ἔχυσα πρὸς τὸς Κλεοπάτρας παῖδας, ἐπειρᾶτο τυφλῶσαι αὐτός· οἱ δέ φασιν ὅτι ὁ πατὴρ ἐβλήθη τυφλῶσαι, τ μητρυιᾶς διαβαλλύσης αὐτὸς πρὸς αὐτόν. Ὠρείθυια δὲ, κ Πρόκνις, κ Κρέυσα, θυγατέρες Κέκροπος, ἢ Ἐρεχθέως· Ὠρειθυίας δὲ κ Βορέα, Χιόνη, Χθονία, Κλεοπάτρα, Ζήτης κ Κάλαϊς. Ἀπολλώνιος δὲ ὁ τὰ Ἀργοναυτικὰ γράψας, ὁ μόνον πεπρωθῆναί φησιν αὐτὸν, ἀλλὰ κ πεπρωθέντα ὑπὸ τῶν Ἁρπυιῶν κακῶς πάσχειν, ὅτι ἀνέδλω ἅπασι περὶ πάντων, ἐμαντεύετο· φησὶ γὰρ, ὑδ' ὅσον ὀπίζετο Διὸς, ἀνὶ τὸ, ὑδὲ μικρὸν ἐπεστρέφετο τὸ Διὸς, τὰ θεῖα ἐνθυμήματα πᾶσιν ἐμφαίνων· λέγων γὰρ αὐτοῖς τὰς τῶν θεῶν βυλὰς, ἀμελεῖς αὐτὸς εἰ ὢν τὸς θεὸς ἐποίει. Ἡσίοδος μέντοι ἐν ταῖς Ἠοίαις, πε-

(*) Γράφεται, Ὄρνιθον.

πεπηρῶσθαί φησιν αὐτὸν διὰ τὸ δεῖξαι φρίξω τὴν εἰς Σκυθίαν ὁδὸν· ὃν δὴ τῷ τρίλῳ τὴν καταλόγων, διὰ τὸ ζωὸν μακρὰν ὄψεως μᾶλλον ἐλέσθαι. ἕτεροι δέ πάλιν ἱστοροῦσι τοὺς Φινέως, ὡς διεφόρουν Ἄρπυιαι τὸν νοῦν αὐτοῦ. δοκοῦσι δέ ἔνιοι, θηρία καὶ πετεινὰ ταῦτα, ἁρπάζοντα ἀπὸ τῆς τραπέζης τοῦ Φινέως τὸ δεῖπνον. ἀλλὰ ταῦτα μὲν τὰ μυθώδη· ἡ δὲ ἀλήθεια ἔχει ὅτω· Φινεὺς, βασιλεὺς ἦν Παιονίας· γέροντα δὲ αὐτὸν γεγονότα, ἡ ὄψις ἀπέλειπεν, οἵ τε ἄρρενες παῖδες ἀπέθανον· παῖδας γὰρ φησιν αὐτῷ γενέσθαι Ἡσιόδῳ δύο, Θυννὸν, καὶ Μελανθηνόν· ὧν τὸν μὲν Θυννοῦ, Θυννίδα, τὸν δὲ Μελανθηνοῦ, Μελανθίωνα φασὶ προσαγορεύεσθαι. θυγατέρες δὲ ἦσαν αὐτῷ, Πυθία καὶ Ἐρασία· αἵτινες τὸν τοῦ πατρὸς βίον διέφθειρον· ὅθεν ἀφορμὴν ἔλαβον οἱ ποιηταὶ δύστηνον τὸν Φινέα ἀποκαλεῖν, τὰς Ἅρπυιας τὸν βίον αὐτοῦ διαφθείρειν μυθολογοῦντες. Ζήθος δὲ καὶ Κάλαϊς, οἱ Βορέου παῖδες, ἀνδρὸς ὄντος ἀσήμου, βοηθήσαντες αὐτῷ, τὰς θυγατέρας ἐξήλασαν ἐκ τῆς πόλεως· καὶ τὰ χρήματα συναθροίσαντες, ἐπίτροπόν τινα κατέστησαν τῶν Θρᾳκῶν. ἱστέον δὲ καὶ ἦθος, ὅτι Διονύσιος ὁ τοῖς Ἀργοναύταις φησὶ ἀναιρεθῆναι τὸν Φινέα ὑπὸ Ἡρακλέους, ἰδόντος τὰς Φινέως παῖδας ὁ ἐρημίᾳ, καὶ μαθόντος ὅτι ὑπὸ Φίνεως ἦσαν ἐκβεβλημένοι διὰ γυναικὸς Σκυθικῆς διαβολὴν, ἣν ἐγεγαμήκει Φινεὺς παραπεμφάμενος Κλεοπάτραν. γέγονε δὲ Φινέως κατήγορος καί τις προφήτης παρ' Ἡρακλεῖ. κατανοήσας δὲ ὁ Ἡρακλῆς ἀναιτίους εἶναι τοὺς παῖδας, κατήγαγεν αὐτοὺς εἰς τὴν πατρῴαν οἰκίαν· Φινέα δὲ ἀπειθοῦντα καὶ θελήσαντα καταπονῆσαι τοὺς παῖδων τὸ ἕτερον, λακτίσας ὁ Ἡρακλῆς ἀπέκτεινεν.

ΠΕΡΙ ΦΟΙΝΟΔΑΜΑΝΤΟΣ.

Φοινοδάμας, τὶς Τρώς, ὃς λέγεται συμβουλεῦσαι τοῖς Τρωσὶν ἐκθεῖναι τὴν θυγατέρα Λαομέδοντος Ἡσιόνην τῷ κήτει, ἐυλαβούμενος δὲ τὴν θυγατέρων αὐτοῦ τὴν τριῶν, μὴ αὐτὰς ἐκθῶσιν, ἔπεισε τοῦτο πεποιηκέναι. Ποσειδὼν καὶ γὰρ σὺν Ἀπόλλωνι, ὡς ὑπὸ τοῖς προλαβοῦσιν εἴπομεν, ὀργῇ Διὸς θητεύσας τῷ Λαομέδοντι, καὶ προπυργώσας τὴν Ἴλιον, ἐπεὶ μὴ τελεσθέντος χρόνου, τῆς λατρείας μισθὸν οὐκ ἐδέξαντο, ἀγανακτῶν κατὰ Λαομέδοντος ἔπεμψε κῆτος δεινότατον, ὅπερ τὴν χώραν κατέκλυζεν, ἀποπτύον τὴν θάλασσαν. Λαομέδων δὲ ἀναγκασθεὶς ὑπὸ χρησμοῦ, κατά τινας, Ἡσιόνην τὴν θυγατέρα κοσμήσας βασιλικῶς, ὡς προὸς βορὰν τῷ κήτει ἐξέθετο. διερχόμενος δὲ ὁ Ἡρακλῆς μετὰ Ἰάσονος

μέλ-

μέλλοντος πλεῖν ἐπὶ τὴν Κολχίδα γῆν, μέλλων λαβεῖν τὸ χρυσόμαλλον δέρας ὃ ὁ δράκων ἐφύλαττε, μὴ ἦς καλυμβήνης Ἀργοῦς νηός, ἀφ' ἧς Ἀργοναῦται προσωρμήθησαν τῇ Ἰλίῳ, ἰδόντες τὴν Ἡσιόνην ἐν τῷ αἰγιαλῷ δεδεμένην, καὶ μαθόντες τὴν αἰτίαν, ὁ Ἡρακλῆς εἶπε δωρατῶς ἔχειν ῥύσασθαι ταύτην. χωστὸν δὴ τεῖχος ποιήσας, καὶ στὰς ἐπλισμένος ἐφ' τὸ σόμιον, ὡς κεχηνὸς ἐποίει τὸ κῆτος ἀθρόως, τῷ τότε ἐμπεπήδηκε στόματι. τρισὶ δὲ ἡμέραις καταθέμενος αὐτῷ ἐξῆλθεν ἀποβεβληκὼς καὶ τὴν ἑαυτοῦ τρίχα· καὶ ὅπως ἐσώθη ἡ Ἡσιόνη. ἀλλ' ὁ Λαομέδων μηνίων τῷ Φοινοδάμαντι, ἔδωκε τὰς θυγατέρας ἐκείνῳ ναύταις ἐν Σικελίᾳ, θηελοις βοράν· ἃ χθονοβοῦς, καὶ γνώμῃ Ἀφροδίτης ἐσώθησαν· ὧν τὴν μιᾶ ἐν μορφῇ κυνὸς ὁ Κειμισὸς ποταμὸς ἐμίγη, ἐξ ἐγέννησε τὸν Ἐγέστην, ὃς ἔκτισε τρεῖς πόλεις ἐν Σικελίᾳ, τὴν ἀφ' ἑαυτοῦ Ἔγεσαν, ἐξ Ἔρυκα, καὶ Ἔντυλλαν, ἢ ἐξ Ἄταλλαν, ἀπὸ τοῦ γυναικὸς ἧς ἔγημε.

ΠΕΡΙ ΦΟΡΚΥΝΟΣ ΚΑΙ ΤΩΝ ΘΥΓΑΤΕΡΩΝ ΑΥΤΟΥ.

ΦΟρκυν, δαίμονα θάλασσιον, ἀφ' οὗ τὸ φέρεσθαι οἰκέως, πατρὸς Σκύλλης, ἀφ' οὗ ταῦτα λέγεται. Ἡρακλῆς σοφὸς ὢν καὶ στρατηγὸς, ἐξ ἀφαπλέων τὰς τόπους τῆς Σκύλλης μετὰ τῶν Γηρυόνου βοῶν, ἀπώλεσεν αὐτόθι τινὰς ἐξ αὐτῶν, ἐξ ἀνακαθαίρει τὸν τόπον τισὶ μηχαναῖς· ἀκρωτήριον γάρ ἐστιν ἡ Σκύλλα ἀφ' οὗ τὸ Ῥήγιον, ἀντικρὺ Σικελίας, ἔχον εἰς θάλασσαν, ἃ κάτωθεν πέτραι πολλαὶ καὶ μεγάλαι, ἔχουσαι κοίλας τόπους ἐξ σπήλαια, τοῖς πλέουσιν ἐπικίνδυνοι· ὅθεν ἐξ ἐμυθεύσαντο τὴν Σκύλλαν τῆς Ἡρακλῆ ἀνελεῖν. Φόρκυς δὲ, ἤτοι ἡ θάλασσα, ὁ τούτης τατὴρ, (ἡ γὰρ θάλασσα δυσχερῆ τούτῃ ἐποίει,) λαμπάσιν αὐτὴν πάλιν ἀνεζώωσεν, ἢ κινήσεσι· ἐξ χρόνοις πάλιν τὸν ὑφ' Ἡρακλέους ἀνακάθαρσιν, καὶ τὸ μηχάνημα ἡ θάλασσα χέασα, μετέστρεψεν εἰς τὸν ἀρχαίαν δυσχέρειαν. φέρονται ὃ' προσέτι τῷ Φόρκυσι θυγατέρες τρεῖς, Σθενὼ, Εὐρυάλη, καὶ Μέδουσα, αἵτινες ἕνα ὀφθαλμὸν ἔχουσαι, ἀνὰ μέρος ἐχρῶντο· τούτῳ ὃ' ἡ χρωμένη, ἐνετίθει αὐτὸν εἰς τὸν κεφαλὴν, ἐξ ἕως ἔβλεπεν, καὶ μιᾶς αὐτῶν τῇ ἑτέρᾳ ἀποδιδούσης τὸν ὀφθαλμὸν, ἔβλεπον πᾶσαι. ἐλθὼν δ' ὁ Περσεὺς ὀπίσω αὐτῶν ἐν ἠρεμαίῳ βαδίσματι, κρατήσας τὸν κατέχουσαν τὸν ὀφθαλμὸν, ἐξ τὸ ξίφος γυμνώσας, φησὶ δεῖξαι αὐτῷ τὴν Γοργόνα· ἐὰν ὃ' μὴ φράσωσιν, ἀποκτεῖναι αὐτὰς, αἳ φοβούμεναι, φράζουσιν. ὁ δὲ ἀποπεμὼν τὸν κεφαλὸν τῆς Γοργόνος, εἰς ἀέρα ἦλθε, ἐξ δείξας

τάυτῃ τῇ Πολυέκτῃ, λίθινον τοῦτον ἐποίησεν. ὃ ταῦτα μὲν τὰ μυθώδη· ἡ δὲ ἱστορία ὧδε πως ἔχει· Φόρκυν ἦν ἀνὴρ Κυρηναῖος· οἱ δὲ Κυρηναῖοι, καὶ γένος μέν εἰσιν Αἰθίοπες· οἰκοῦσι δὲ νῆσον τὴν Κυρήνῃ, ἔξω οὖσαν τῶν Ἡρακλείων στηλῶν, ἀρξαμένους δὲ Λιβύης, περὶ τὸν Ἄυνον ποταμὸν καὶ Καρχήδονα· εἰσὶ δὲ σφόδρα χρυσοῖ. ὃς Φόρκυς ἐβασίλευσε τῶν Ἡρακλείων στηλῶν· εἰσὶ δὲ τρεῖς· καὶ ποιᾷ πετράπηχυ ἄγαλμα Ἀθηνᾶς χρυσοῦν. καλοῦσι δὲ τὴν Ἀθηνᾶν Κυρηναῖοι Γοργόνην· ὥσπερ τὴν Ἄρτεμιν Θρᾷκες, Βένδειαν, Κρῆτες δὲ, Δίκτυνναν, Λακεδαιμόνιοι δὲ, Οὖπιν. ὁ μὲν οὖν Φόρκυς ἀποθνήσκει, πρὶν εἰς τὸ ἱερὸν ἀναθεῖναι τὸ ἄγαλμα· καταλιπὼν δὲ τὰς προλεχθείσας τρεῖς κόρας, Σθενὼ, Εὐρυάλην, καὶ Μέδουσαν. αὗται μὲν γήμασθαι οὐδενὶ ἠβουλήθησαν. διελόμεναι δὲ τὴν ἀρχὴν, ἑκάστη μιᾶς ἦρχε νήσου· τῇ δὲ Γοργόνῃ ὅπως ἀναθῆναι τὸ ἱερὸν αὐταῖς ἐδόκει, ὅπως διελεῖν, ἀλλ' ὂν μέρος καταθέντο ἑναλλὰξ θησαυρὸν ἑαυταῖς. ἦν δὲ τῷ Φόρκυνι ἐπίκληρος, καλὸς δὲ ἀγαθὸς ἀνὴρ, καὶ αὐτῷ ὂν παντὶ πράγματι ἐχρῶντο ὥσπερ ὀφθαλμῷ. Περσεὺς δὲ ἀνὴρ φυγὰς Ἄργόθεν, ἐλήϊζετο τὰ κατὰ θάλατταν, ἔχων πλοῖα καὶ ἰσχύν τινα περὶ αὐτόν. πυθόμενος δὲ ταύτην τὴν Γοργόνα βασίλισσαν εἶναι γυναικῶν, καὶ πολύχρυσον μὲν, ὀλίγανδρον δὲ, πρῶτα μὲν ναυλοχεῖ ἐν τῷ πορθμῷ, ὃς μεταξὺ τῆς Κυρήνης καὶ τῆς Σάρδεως διαπλέων, τὰ πρὸς τὴν ἑτέρας εἰς τὴν ἑτέραν τὸ ὀφθαλμὸν λαμβάνει· ὧν μία φράζει αὐτῷ, ὅτι ἄλλο μὲν οὐδὲν ἔχει λαβεῖν παρ' αὐτῶν, εἰ μὴ τὴν Γοργόνα, μηνύει τε αὐτῷ τὸ πλῆθος τοῦ χρυσοῦ. αὗται δὲ αἱ κόραι, ἐπεὶ οὐκ εἶχον τὸ ὀφθαλμὸν ἐν τῷ μέρει καθ' ὃ εἰρημένον λόγον, σωθήσεσθαι ὀμόσαι, καὶ ἠτιάτο ἑτέραν τὴν ἑτέραν. ὁπότε δὲ ἐπενοοῦντο μὴ ἔχειν, ἐθαύμαζον τί ἂν εἴη τὸ γεγονός· ἐν τούτῳ προσπλεῖ αὐλοῖς ὁ Περσεύς, καὶ φράζει ὡς αὐτὸς ἔχει τὸ ὀφθαλμὸν, καὶ φησὶ μὴ ἀποδοῦναι αὐταῖς, ἐὰν μὴ φράσωσιν ὅποι εἰσὶν αἱ Γόργω· ἐπηπείλει δὲ καὶ προσκαταπενεῖν μὴ εἰπούσαις. ἡ μὲν οὖν Μέδουσα οὐ φράζει δεῖξαι· ἡ δὲ Σθενὼ, καὶ Εὐρυάλη, ἔδειξαν· τὸ μὲν οὖν Μέδουσαν ἀποκτεῖναι, ταῖς δὲ ἄλλαις τὸν ὀφθαλμὸν ἀποδίδωσι. λαβὼν δὲ τὴν Γοργόνα, κατέκοψεν· ἀπαιτήσας δὲ τελήρη, ἀπέθηκε τῆς Γοργόνος τὴν κεφαλὴν ἐπ' αὐτῷ, καὶ τῇ νηὶ ὄνομα ἔθετο Γοργών. ἐν ταύτῃ δὲ πλέων, χρήματα πολλὰ τῶν νησιωτῶν εἰσεφοράττετο, καὶ τοὺς μὴ διδόντας ἀνῄρει. ὕστερον δὲ καὶ τοὺς Σεριφίους ἦλθεν, προσπλεύσας ἐκείνοις, χρήματα· καὶ συναγαγόντων αὐτῶν, ὁ Περσεὺς ἦλθε πάλιν εἰς τὴν ἀγοράν· οἱ δὲ ἐκλιπόντες τὸν Σέρι-

φον,

φον, ὤγοντο. προπλέυσας ὧν πάλιν ὁ Περσεὺς ἐπὶ τὴν ἀπαίτησιν τῶν χρημάτων, καὶ ἐλθὼν εἰς τὴν ἀγορὰν, ἀνθρώπων μὲν ὐδένα εὗρε, λίθους δὲ ἀνδρομήκεις. τοῖς δὲ λοιποῖς τῶν νησιωτῶν ἔλεγεν ὁ Περσεὺς, ἐπειδὰν μὴ παρέχωσι τὰ χρήματα, ὁρᾶτε μὴ ὡς Σερίφιοι, τῆς Γοργόνος θεασάμενοι τὴν κεφαλὴν ἀπελιθώθησαν, τοῦτο πάθητε καὶ ὑμεῖς. δεῖ δὲ εἰδέναι ὅτι τὸ Φόρκυν ἡρῶες κλίσεις ἐπιδέχεται· Φόρκυν καὶ τὸ Φόρκυνος, καὶ Φόρκυς Φόρκυος· καὶ ὁ Φόρκυς, τοῦ Φόρκυ, τῷ Φόρκυ. σημαίνει δὲ δύο, τὸ λιμένα, ὅθεν τὸ φέρειν καὶ ὁρμᾶν τὰς ὁλκάδας ἐν αὐτῷ, ἤγουν τὰς ναῦς ἐν τῷ λιμένι, καὶ ὄνομα κύριον, ὡς ἐνταῦθα.

ΠΕΡΙ ΦΟΡΜΙΩΝΟΣ ΤΟΥ ΣΤΡΑΤΗΓΟΥ.

ΦΟρμίων, στρατηγὸς Ἀθηναίων ναυτικώτατος· ὃς πολλάκις δυτυχήσας ἐν ναυμαχίαις, καὶ ἐν τῇ πρὸς Λακεδαιμονίους μάχῃ κατορθώσας, πεντήκοντα καὶ ἑπτὰ νεῶν διέφθειρεν.

ΠΕΡΙ ΤΟΥ ΦΡΙΞΟΥ.

ΦΡίξος, υἱὸς Ἀθάμαντος· ὅτος καὶ γὰρ ποιεῖ ἐκ Νεφέλης Φρίξον καὶ Ἕλλην· ἀφεὶς δὲ τὴν Νεφέλην θεὰν οὖσαν, τῇ Ἰνοῖ θνητῇ γυναικὶ ἐμίγη. ζηλοτυπήσασα οὖν ἡ Νεφέλη, ἀπέπτη εἰς οὐρανὸν, καὶ λιὼ τοῦ ἀνδρὸς (*) χώραν ἀυχμῷ ἐκόλασεν. ἡ δὲ Ἰνὼ, ὡς μητρυιὰ, ἐπεβούλευε τοῖς παισὶ τοῖς ἐκ τῆς Νεφέλης, καὶ φρύττουσα τὰ σπέρματα, παρεῖχε τοῖς γεωργοῖς φῶς σπόρον. οἱ δὲ, ἔσπειρον μὲν ἐν τῇ γῇ· ἡ δὲ γῆ λαβοῦσα, οὐκ ἔφερε τοὺς καρποὺς τοὺς ἐπισίους, διὰ τὸ πεφρύχθαι τὸν σπόρον. Ἀθάμας οὖν ὡς βασιλεὺς, συναγαγὼν τοὺς μάντεις, ἠρώτα αὐτοὺς, μαθεῖν βουλόμενος τὴν αἰτίαν τῆς ἀφορίας. ἡ δὲ Ἰνὼ πέμπει πρὸς αὐτοὺς, δῶρα ἐπαγγελλομένη δώσειν, ἐὰν φήσειαν τὸν Ἀθάμαντα, ὡς εἰ μὴ ἀναιρεθείη τὰ τέκνα τὰ ἐκ τῆς προτέρας γυναικὸς αὐτῷ γεγονότα, Φρίξος καὶ Ἕλλη, οὐκ ἂν ἐκφύσειεν ἡ γῆ τοὺς καρπούς. πεισθέντες δὲ οἱ μάντεις λέγουσι ταῦτα τροτρέψαντες τὸν Ἀθάμαντα. ὁ δὲ ἀκούσας, μεταπέμπεται τοὺς παῖδας ἐκ τῶν ποιμνίων· εἷς οὖν κριὸς, κατὰ τὸν μῦθον, ἀνθρωπίνῃ φωνῇ χρησάμενος, λέγει Φρίξῳ καὶ Ἕλλῃ φονευθησομένοις τὸν περὶ τὸ σφαγῆς. οἱ δὲ φοβηθέντες τὴν μητρυιᾶς ἐπιβουλὴν, εἰς φυγὴν ἐτράπησαν· ὃς καὶ ἐπὶ

(*) Ἰστέον δὲ ὅτι τὸ δίχρονον τοῦ Φρίξου καὶ τῷ γραφὴν διφορεῖται· ἡ γὰρ Φρυγία διὰ τοῦ Υ γράφεται, ἡ ἀπ' αὐτοῦ κλιθεῖσα κατά τινας.

νώτων λαβὼν ὁ κριὸς, εἰσπετὴς εἰς τὸν θάλασσαν, καὶ νηχόμενος ἔφερεν αὐτούς. ἐλθὼν δ' εἰς τὸ Τρωϊκὸν πέλαγος, ἡ μὲν Ἕλλη, ὑπὸ τῷ περαιοῦσθαι τὸ ἐν Ἀβύδῳ πορθμὸν, ἀπεπήδησε ἀπὸ τοῦ κριοῦ· ὅθεν καὶ ἀπ' αὐτῆς Ἑλλήσποντος ὠνομάσθη ὁ πρὸ τοῖς Βασιλείοις διαπλοκιζόμενος πορθμός. Φρίξος δὲ, ἐποχούμενος τῷ κριῷ, ἐπὶ τὴν Σκυθίαν διακομίζεται· ἔνθα αὐτὸς σφάζει μὲν τὸν κριὸν, ὃς ὑπὸ τῶν θεῶν χρυσόμαλλος γέγονε, καὶ θύει Φυξίῳ (*) Διΐ, ὅτι ἐξέφυγε τὴν τῆ μητρυιᾶς ὀργὴν, καὶ δέ τινας, τῷ Ἑρμῇ· κατ' ἄλλους δὲ πάλιν, τῷ Ἄρει· ἀλλὰ τοῦτο μὲν περίεργον. κατοικήσας δὲ αὐτόθι, τοῦνομα κατέλιπε τῷ τόπῳ· ὃν τότε δὴ ἡ Φρυγία ὕστερον ἐκλήθη. καὶ Χαλκιόπην, τὴν θυγατέρα Αἰήτου τοῦ Κόλχων βασιλέως, γαμεῖ· καὶ ποιεῖ ἐξ αὐτῆς παῖδας τέσσαρας, Ἄργον, Κύτισωρον, Μέλανα, καὶ Φρόντιν, καὶ ὕστερον ἐκεῖ τελευτᾷ. ἡ δὲ ἀκριβὴς ἱστορία πλοιάριόν τι φησὶν εἶναι τὸ κριὸν, ἐκτύπωμα φέρον κριοῦ ἐπ' ἄκρῳ, οἱονόν τι καὶ τῷ πρὸ Λυκόφρονι, τὸ ταυρόμορφον τύπωμα, τὸ τοῦ Εὐρώπην ἁρπάσαν· καὶ οἵα πλοῖα καὶ σοὶ ἕτεροι γλύμμασι, καὶ χιτωνίσκους ἐν τοῖς ἄκροις ἔχοντα, ἦγον τύπους χηνῶν· καὶ βάλεται διὰ τοιούτου κριοῦ σοὶ τῷ ἀδελφῷ πλέουσαν τὴν Ἕλλην ἐκπεσεῖν καὶ κινδυνεῦσαι. ἕτερα δέ τις ἱστορία ἔυνυν ὑπηρέτην φησὶ τοῦ Κριοῦ, ὃς τὸ τῆς μητρυᾶς ἐπιβυλὴν ἀνακαλύψας, καὶ πεισώσασθαι τοὺς δεσπότας παῖδας προθέμενος, ἐδυστύχησε καὶ τὸν Ἑλλήσποντον· λέμβῳ γὰρ βραχυτάτῳ πιστεύσας αὐτοὺς, οὐκ ἔσχεν ἀμφοτέρους πεῖσαι· ἀλλὰ ὁ μὲν Φρίξος ἐσώθη γενόμενος· ἡ δ' Ἕλλη καὶ πάθος ἰλίγγου, ἢ ἄλλου τινὸς τοιούτου καταπεσοῦσα, μόνον αὐτῆς ἄνω ἀφῆκε τοῦνομα φέρεσθαι, αὐτὴ δὲ καταδῦσα εἰς τὸν Βυθόν.

ΠΕΡΙ ΦΡΥΝΙΔΟΣ ΤΟΥ ΚΙΘΑΡΩΙΔΟΥ.

Φρύνις, κιθαρῳδὸς Μιτυληναῖος· οὗτος δὲ δοκεῖ πρῶτος σὺν Ἀθηναίοις κιθαρῳδικὴν νικῆσαι παναθηναΐα, ἐπὶ Καλλίου ἄρχοντος. ἦν Ἀγησοκλείτου μαθητής· ὁ δὲ Ἀγησόκλειτος τὸ γένος ἦν ἀπὸ Θερσάνδρου· ἤκμασε δ' ἐν τῇ Ἑλλάδι καὶ τὰ Μηδικά. σὺν Λαβὼν δὲ τὸν Φρύνιν αὐλῳδοῦντα, κιθαρίζειν ἐδίδαξε. καὶ ἄλλα σὺν τούτου λέγουσιν, ἅτινα ὡς μὴ ἀναγκαῖα ἐῶμεν.

(*) Φύξιος μὲν Ζεὺς, ὁ βοηθῶν τοῖς φυγάσι, καὶ πρὸς ὃν καταφεύγουσι.

ΠΕ-

ΠΕΡΙ ΦΡΥΝΩΝΔΟΥ.

ΦΡυνώνδας, ὠνείβόητος ἐπὶ πονηρίᾳ, οὐδὲν ἧττον Εὐρυβάτου· ὧν τούτου τοὺς πονηροὺς Φρυνώνδας καλοῦμεν.

ΠΕΡΙ ΤΗΣ ΤΩΝ ΦΡΥΓΩΝ ΕΚΤΟΜΗΣ.

ΠΑρὰ τοῖς Φρυξὶν ἐσέβετο ἡ Ῥέα ἡ μήτηρ τῶν θεῶν, ὑπὲρ πάντα θεόν. τούτῳ πανηγυρίζοντες, καθότι ἀπετμήθη ὑπὸ τῶν Κορυβάντων ἢ ὑπὸ κύστιν διὰ τὰς πολλὰς αὐτῆς πορνείας· θεραπεύοντες δὴ τοὺς ἑαυτῶν θεὰν, τὰς πέλετας ἐποίουν, ἐκ καπέπεμνον ἑαυτῶν τοὺς μηροὺς ἐκ τοὺς ὤμους μαχαίραις· οὐκ ἀποκτεῖναι ἐθέλοντες, ἀλλὰ μόνον αἱμάξαι. τοῦτο δὲ ἐποίουν κινούμενοι αὐλοῖς, ἵνα ἀπόνως φέρωσι πληττόμενοι. ἄλλοι δὲ πάλιν ὕλην τῆς ἐρασθὴν ταύτης τιμῶντες Ἄττιν. μετὰ δὲ τὰς πληγὰς, ὡρὸς ἀκαθάρτους ἐχώρουν μίξεις, γυναικῶν δὴ λέγω, οὐκ ἀνδρῶν.

ΠΕΡΙ ΦΥΛΕΩΣ.

ΦΥλεὺς, Αὐγείου υἱὸς, ὅστις ἐξ Ἠλίδος εἰς τὸ Δυλίχιον ἔφυγε, διὰ τὸ μαρτυρῆσαι Ἡρακλεῖ περὶ τῆς ἀφαιρέσεως τῶν βοκολίων, ὅπερ πάντως ἐλύπει τὸν Αὐγείαν. γέγονε δὲ τοῦτο, ἡνίκα Ἡρακλῆς τὴν Αὐγείου ἐξεκάθηρε. οἱ δὲ ὕστερον φασὶν, ὅτι Φυλεὺς μοιχεύσας Τιμάνδραν, ἀδελφὴν Ἑλένης καὶ Κλυταιμνήστρας, ἀπήγαγεν εἰς τὸ Δυλίχιον.

ΠΕΡΙ ΦΥΛΑΚΟΥ.

ΦΥλακος, Δηϊονέως υἱὸς, ἀδελφὸς Κεφάλου, πατὴρ δὲ Ἰφίκλου, ὅστις ποδώκης ἐξοχώτατος ἱστορεῖται.

ΙΣΤΟΡΙΚΟΙ.

ΠΕΡΙ ΦΕΡΕΚΥΔΟΥ.

ΦΕρεκύδης, κατά τινας, πρεσβύτερος τοῦ Συρίου τοῦ Πυθαγόρου διδασκάλου, ὃς λέγεται ὅτι σωτήραγε τὰ Ὀρφέως. ἔγραψεν αὐτόχθονας· ἔστι δὲ περὶ τῆς Ἀττικῆς ἀρχαιολογίας ἐν βιβλίοις δέκα· θεογονίσεις δι' ἐπῶν. ἔστι δὲ καὶ ἕτερος Λέριος ἱστορικὸς, γεγονὼς πρὸ ὀλίγου τῆς ογ' Ὀλυμπιάδος· ἔγραψε περὶ Λέρου, περὶ Ἰφιγενείας, περὶ τῶν Διονύσου ἑορτῶν, καὶ ἄλλα.

ΠΕ-

ΠΕΡΙ ΦΙΛΙΠΠΟΥ ΤΟΥ ΙΣΤΟΡΙΚΟΥ.

Φίλιππος Ἀμφιπολίτης, ἱστορικός· ἔγραψε Ῥοδιακά, βιβλία ιθ'· ἔστι δὲ τῶν πάνυ αἰσχρῶν· Κωακά, βιβλία ϛ', Θυτιακά, βιβλία β', καὶ ἄλλα τινά.

ΠΕΡΙ ΦΙΛΙΣΚΟΥ ΤΟΥ ΣΥΡΑΚΟΣΙΟΥ.

Φίλισκος, Συρακόσιος ἱστορικός· ἦν δὲ συγγενὴς Διονυσίῳ τῷ τυράννῳ Σικελίας, καὶ ἐν τῇ πρὸς Καρχηδονίους ναυμαχίᾳ ἐπλεύσησε· μαθητὴς Εὐήνου τοῦ ἐλεγειοποιοῦ. ἔγραψε Σικελικά· ἔστι δὲ τὰ πρὸς Ἕλληνας αὐτοῖς πραχθέντα διαφόρως· καὶ χρεολογίαν περὶ Φοινίκης· καὶ ἄλλα τινὰ περὶ τῆς Σικελίας.

ΠΕΡΙ ΦΛΕΓΩΝΟΣ ΤΟΥ ΤΡΑΛΛΙΑΝΟΥ.

Φλέγων Τραλλιανὸς, ἀπελεύθερος τοῦ Σεβαστοῦ Καίσαρος. ἔγραψεν Ὀλυμπιάδας ἐν βιβλίοις ις'· ἔστι δὲ μέχρι τῆς σκθ' Ὀλυμπιάδος, τὰ πραχθέντα παντα χοῦ· τὰ δὲ αὐτὰ ἐν βιβλίοις ἡ ἔκφρασιν Σικελίας, περὶ μακροβίων καὶ θαυμασίων, περὶ τῶν παρὰ Ῥωμαίοις ἑορτῶν βιβλία γ'· περὶ τῶν ἐν Ῥώμῃ τόπων, καὶ ὧν ἐπικέκληνται ὀνομάτων· ἐπιτομὴ Ὀλυμπιονικῶν ἐν βιβλίοις β'.

ΠΕΡΙ ΦΥΛΑΡΧΟΥ ΤΟΥ ΙΣΤΟΡΙΚΟΥ.

Φύλαρχος Ἀθηναῖος, κατὰ δέ τινας, Ναυκρατίτης· οἱ δὲ Αἰγύπτιον ἔγραψαν, ἱστορικός. ἔγραψε τὰ ἐπὶ Πτολεμαίου τοῦ Φιλοπάτορος τοῦ Ἠπειρότου στρατιὰν ἐν βιβλίοις κή. κατάγει δὲ καὶ μέχρι Πτολεμαίου τοῦ Εὐεργέτου, καὶ τῆς Βερενίκης τελευτῆς, καὶ ἕως τοῦ θανάτου Κλεωνύμου τοῦ Λακεδαιμονίου, ἐπιστρατεύσαντος αὐτῷ Ἀντιγόνου· τὰ κατὰ τὸν Ἀντίοχον καὶ τὸν Περγαμηνὸν Εὐμενῆ· ἐπιτομὴ μυθικὴ περὶ τῆς τοῦ Διὸς ἐπιφανείας· καὶ εὑρημάτων παρεμβάσεων βιβλία θ'· καὶ ἄλλα τινά.

ΡΗΤΟΡΕΣ.

ΠΕΡΙ ΦΙΛΙΠΠΟΥ ΤΟΥ ΡΗΤΟΡΟΣ.

Φίλιππος ῥήτωρ καὶ σοφιστής. ἔγραψε περὶ πνευμάτων ἐν τῷ Ἡρωδιανοῦ κατὰ στοιχεῖον, καὶ περὶ σωκαλοιφῆς.

ΠΕ-

ΠΕΡΙ ΦΙΛΙΣΚΟΥ ΤΟΥ ΜΙΛΗΣΙΟΥ.

ΦΙλίσκος Μιλήσιος ῥήτωρ, Ἰσοκράτους ἀκροατὴς τοῦ ῥήτορος. ἐγίνετο δὲ αὐλητὴς εὐδοξότατος, διὸ καὶ αὐλοτρύπλου Ἰσοκράτης αὐτὸν ἐκάλει. γέγραπται δὲ αὐτῷ τάδε· Μιλησιακός, Ἀμφικτυονικός, τέχνη ῥητορικὴ ἐν βιβλίοις δύο, Ἰσοκράτους ἀπόφασις.

ΠΕΡΙ ΦΙΛΟΣΤΡΑΤΟΥ ΤΟΥ ΣΟΦΙΣΤΟΥ.

ΦΙλόστρατος Φιλοστράτου τοῦ υἱοῦ Βήρου, Λημνίου σοφιστοῦ, καὶ αὐτὸς δεύτερος σοφιστὴς, σοφιστεύσας Ἀθήνησι, εἶτα ἐν Ῥώμῃ, ἐπὶ Σεβήρου τοῦ βασιλέως, καὶ ἕως Φιλίππου. ἔγραψε μελέτας, ἐπιστολὰς ἐρωτικὰς, εἰκόνας, ἤτοι ἐκφράσεις ἐν βιβλίοις δ'· διαλέξεις, ᾠδὰς, ἢ περὶ αὐλοῦ, Ἀπολλωνίου βίον τοῦ Τυανέως ἐν βιβλίοις ἡ· ἀγοράν, Ἡρωϊκὸν, βίους σοφιστῶν ἐν βιβλίοις δ', ἐπιγράμματα. ὁ δὲ πατὴρ αὐτοῦ, σοφιστὴς καὶ αὐτὸς, σοφιστεύσας Ἀθήνησιν, γεγονὼς ἐπὶ Νέρωνος. ἔγραψε λόγους πανηγυρικοὺς πλείους, καὶ λόγους Ἐλευσινιακοὺς δ', μελέτας, ζητήματα πρὸς τοῖς ῥήτορσι, ῥητορικὰς ἀφορμὰς, περὶ τοῦ ὀνόματος· ἔτι δὲ περὶ τοῦ σοφιστοῦ Ἀντιπάτρου· περὶ τραγῳδίας βιβλία τρία, γυμναστικὸν, (ἔστι δὲ περὶ τῶν ἐν Ὀλυμπίᾳ ἐπιπεπλεγμένων,) λιθογνωμικὸν, Πρωτέα, κύνα, ἢ σοφιστὴν, Νέρωνα, θεατὴν, τραγῳδίας μγ', καὶ κωμῳδίας ιδ'· καὶ ἕτερα λόγου ἄξια οὐκ ὀλίγα. ἔστι δὲ καὶ ἄλλος Φιλόστρατος Νερβιανοῦ ἀδελφοπαίδος τοῦ υἱοῦ Φιλοστράτου, Λήμνιος καὶ αὐτὸς σοφιστής. ἐπαίδευσε δὲ Ἀθήνησι, καὶ πεπλουτήκας ἐτάφη ἐν Λήμνῳ, ἀκροατής τε καὶ γαμβρὸς γεγονὼς τοῦ δευτέρου Φιλοστράτου. ἔγραψεν εἰκόνας, Παναθηναϊκὸν, Τρωϊκὸν, ἔκφρασιν τῆς Ὁμήρου ἀσπίδος, μελέτας, κατὰ δέ τινας, καὶ τοὺς τῶν Σοφιστῶν βίους.

ΠΕΡΙ ΦΙΛΙΣΤΟΥ ΤΟΥ ΝΑΥΚΡΑΤΙΤΟΥ.

ΦΙλιστος, Ναυκρατίτης, κατὰ δέ τινας, Συρακούσιος, Ἀρχενίδου υἱὸς, μαθητὴς Εὐήνου τοῦ ἐλεγειοποιοῦ, ὃς ὡρῶτον κατὰ ῥητορικὸν τέχνην ἰσοείαν ἔγραψε. συνέταξε δὲ τέχνην ῥητορικὴν, Αἰγυπτιακὰ ἐν βιβλίοις ιβ', Σικελικὰ, ἐν βιβλίοις ιά, ὡρὸς τὸ τελικάρνειον λόγον, περὶ Ναυκράτεως, περὶ Διονυσίου τοῦ Τυράννου, βιβλία ς', περὶ τῶν Αἰγυπτίων θεολογίας βιβλία γ', δημηγορίας, καὶ ἄλλα τινὰ, περὶ Λιβύης καὶ Συρίας.

ΓΕ-

ΠΕΡΙ ΦΡΥΝΙΧΟΥ ΤΟΥ ΒΙΘΥΝΟΥ.

ΦΡυνίχος Βιθυνὸς Σοφιστὴς, ἔγραψε περὶ Ἀττικῶν ὀνομάτων βιβλία ϛ', τιθεμένων συναγωγὴν, σοφιστικῆς ἀσκευῆς βιβλία οδ'.

ΓΡΑΜΜΑΤΙΚΟΙ'.

ΠΕΡΙ ΦΙΛΗΤΟΥ ΤΟΥ ΓΡΑΜΜΑΤΙΚΟΥ.

ΦΙλῆτας, Κῷος, υἱὸς Τηλέφου, ἐπὶ Φιλίππου καὶ Ἀλεξάνδρου, γραμματικὸς κριτικὸς, ὃς ἰσχνωθεὶς ὑπὸ τοῦ ζητεῖν τὸ καλούμενον ψευδόμενον λόγον, ἀπέθανεν. ἐγένετο δὲ διδάσκαλος τοῦ δευτέρου Πτολεμαίου· ἔγραψεν ἐπιγράμματα, καὶ ἐλεγείας, καὶ ἄλλα, καὶ τὰ καλούμενα Ναξιακά.

ΠΕΡΙ ΦΙΛΙΣΚΟΥ ΤΟΥ ΓΡΑΜΜΑΤΙΚΟΥ.

ΦΙλίσκος Αἰγινήτης, ὁ διδάξας γράμματα Ἀλέξανδρον τὸν Μακεδόνα, αὐτὸς δὲ ἀκουσὴς ἐγένετο τοῦ κυνὸς Διογένους, κατὰ δὲ Ἕρμιππον, Στίλπωνος· ἔγραψε διαλόγους, ὧν ἔστι Κόδρος.

ΠΕΡΙ ΦΙΛΟΞΕΝΟΥ ΤΟΥ ΓΡΑΜΜΑΤΙΚΟΥ.

ΦΙλόξενος Ἀλεξανδρεὺς γραμματικὸς, ὃς ἐσοφίσευσεν ἐν Ῥώμῃ. ἔγραψε περὶ μονοσυλλαβῶν ῥημάτων, περὶ σημείων τῶν ἐν τῇ Ἰλιάδι, περὶ τῶν εἰς ΜΙ ληγόντων ῥημάτων, περὶ διπλασιασμοῦ, περὶ μέτρων, περὶ τῆς τῶν Συρακουσίων διαλέκτου, περὶ ἑλληνισμοῦ ς', περὶ συζυγιῶν, περὶ γλωσσῶν έ, περὶ τῶν παρ' Ὁμήρῳ γλωσσῶν, περὶ τῆς Λακώνων διαλέκτου, καὶ τῶν λοιπῶν.

ΠΕΡΙ ΦΙΛΩΝΟΣ ΤΟΥ ΓΡΑΜΜΑΤΙΚΟΥ.

ΦΙλων, Βύβλιος γραμματικός. οὗτος γέγονεν ἐπὶ τῶν χρόνων ἐγγὺς Νέρωνος, καὶ παρέτεινεν εἰς μακρόν. ἔγραψεν ἐπιγράμματα, βιβλία δ'· περὶ κτήσεως ἐκλογῆς βιβλία ιβ', περὶ πόλεων, ἐξ ὧν ἑκάστη αὐτῶν ἐνδόξους ἤνεγκε, βιβλία λ', περὶ τῆς Βασιλείας Ἀδριανοῦ, ἐφ' οὗ ἐπ ἦν ὁ Φίλων· γέγονε δὲ ἐπ ὕπατος παρ' αὐτῷ.

ΠΕΡΙ ΦΙΛΑΓΡΙΟΥ ΤΟΥ ΙΑΤΡΟΥ.

ΦΙλάγριος, Ἠπειρώτης ἰατρὸς, μαθητὴς Νουμαχίου τοῖς χρόνοις μετὰ Γαληνὸν, ἰατρεύσας τὰ πλεῖστα ἐν Θεσσαλονίκῃ.

συ-

συνέταξε δὲ βιβλία ἰατρικὰ μονόβιβλα μβ΄ ὁ, συντάγματα δὲ ἕτερα ὀκ ὀλίγα· ὑπομνηματικὸν εἰς Ἱπποκράτην. Εὐηλυάτωρ δὲ Λύκιον αὐτόν φησιν ἀπὸ Μάκρης.

ΠΕΡΙ ΦΑΙΔΩΝΟΣ ΤΟΥ ΦΙΛΟΣΟΦΟΥ.

ΦΑίδων Ἠλεῖος φιλόσοφος, Σωκράτους ἀκουστής. φέρονται αὐτοῦ διάλογοι, Ζώπυρος, Μήδιος, Σίμων, Ἀντίμαχος, ἢ Γρεσβύτης, Νικίας, Σκαμίας, Ἀλκιβιάδης, Κεπάλαος, καὶ ἄλλα.

ΠΕΡΙ ΦΕΡΕΚΥΔΟΥ ΤΟΥ ΦΙΛΟΣΟΦΟΥ.

ΦΕρεκύδης, ὁ τοῖς ἑπτὰ συγχρονίσας σοφοῖς, Σύριος καθ' ἱστορίαν λέγεται· ἔστι δὲ ἡ Σύρα νῆσος τῶν Κυκλάδων. γέγονε κατὰ τὰ τῶν Λυδῶν βασιλέα Ἀλυάττην. ἐδίδαξε Πυθαγόραν. οὗτος δὲ οὐκ ἔσχηκε καθηγητήν, ἀπεσάμβος τὰ τῶν Φοινίκων ἀπόκρυφα βιβλία. ἔγραψε δ' ἑπτάμυχον, ἤτοι θεοκρασίαν, ἢ θεογονίαν· ἔστι δὲ θεολογία ἐν βιβλίοις δέκα, ἔχουσα θεῶν γένεσιν καὶ διαδόχους, καὶ ἄλλα πολλά.

ΠΕΡΙ ΦΙΛΟΣΟΦΟΥ.

ΦΙλόσοφος, ὃς τοὺς τοῦ Πλάτωνος νόμους διεῖλεν εἰς βιβλία ιϛ΄, τὸ γδ΄ αὐτὸς προσθεῖναι λέγεται· ὃς ἦν Σωκράτους καὶ αὐτοῦ Πλάτωνος ἀκουστής, χολάσας τοὺς μετεώρους. ὧν δ' κατὰ Φίλιππον τὸν Μακεδόνα, συνεγράψατο τάδε· περὶ τῆς ἀποστάσεως ἡλίου καὶ σελήνης, περὶ θεῶν βιβλία δύο, περὶ χρόνου ά, περὶ μύθων ἓν, περὶ ἐλευθερίας ά, περὶ ὀργῆς ά, περὶ ἀνταποδόσεως ἓν, περὶ Λοκρῶν τῶν Ὀπουντίων, περὶ ἡδονῆς ἓν, περὶ ἔρωτος ά, περὶ φίλων καὶ φιλίας ἕν, περὶ τοῦ γράφειν, περὶ τοῦ Πλάτωνος, περὶ ἐκλείψεως, καὶ περὶ μεγέθους ἡλίου καὶ σελήνης καὶ γῆς ἕν, περὶ ἀστρατῶν, περὶ πλανήτων, ἀριθμητικά, περὶ πολυγώνων ἀριθμῶν, ὀπτικῶν βιβλία δύο, ἐνοπτικῶν ϛ΄, κυκλικά, μεσότητας, καὶ ἄλλα.

ΠΕΡΙ ΤΟΥ ΦΙΛΩΝΟΣ.

ΦΙλων Ἰουδαῖος, πεχθεὶς ὁ Ἀλεξανδρεύς, γένους τῶν ἱερέων· φιλοσοφήσας δὲ τὰ Ἑλλήνων, εἰς μέγα προῆλθε παιδείας, ὡς μεταλαβεῖν πᾶσαν Ἑλληνικὴν παίδευσιν, τήν τε τῶν ἐγκυκλίων καλουμένων, καὶ τὰς λοιπὰς ἐπιστήμας σὺν ἀκριβεῖ καταλήψει, ἐπλήτισέ τε λόγον παρόμοιον Πλάτωνι, ὡς καὶ εἰς παροιμίαν παρ-

κὸν, ἀναγνωσικὸν, ἐξηγητικὸν, κριτικόν. καὶ τέσσαρα τὸ πάλαι παρεδίδοσαν τοῖς νέοις ἔχειν τὴν Γραμματικήν. πρὸ μὲν γὰρ τῆς ἄρξασθαι ἀναγινώσκειν, ὁ διορθώτης λαμβάνων τὸ βιβλίον, διορθοῦτο αὐτὸ, ἵνα μὴ ἀναγνῷ ὁ νέος ἐπταισμένον, εἰς κακὴν ἕξιν ἐμπέσῃ. μετὰ δὲ ταῦτα λαβὼν ὁ νέος τὸ βιβλίον διορθωθὲν, ἀπῄει πρὸς τὸν ἀναγνωστικὸν, τὸν ὀφείλοντα αὐτὸν διδάσκειν, ὡς δεῖ ἀναγινώσκειν κατὰ τὴν διόρθωσιν τοῦ διορθωτοῦ. τρίτον ἀπῄει πρὸς τὸν ἐξηγητικὸν, τὸν ὀφείλοντα παραδιδόναι αὐτῷ τὴν ἐγκειμένην ἑρμηνείαν. τέταρτον ἀπῄει πρὸς τὸν κριτικὸν, ὃς δοκεῖ μὲν μηδὲν σωφισαγεῖν τῷ νέῳ, τῶν προλαβόντων δ' ἦν ὑπέρτερος. ἀνάγκην γὰρ εἶχεν ὁ κριτικὸς τὴν τοῦ διορθωτικοῦ εἰδέναι, καὶ ἀναγνωστικοῦ, καὶ ἐξηγητικοῦ· ἐκ ἐκείνου γὰρ τὰ τοῦ κριτικοῦ. ὥσπερ γὰρ ὁ πολιτικὸς κριτὴς, ὅπερ ἐστὶ δικάστης, ἐ φρότερον γίνεται, ἐὰ μὴ ἀναγνῷ νόμους, ἔπειτα σωφρονίσει ἐπὶ πλέονα χρόνον· ὅτω καὶ ἐν τῇ Γραμματικῇ ὁ κριτικὸς, ἐὰ μὴ τὰ τῶν προηριμένων ἀκριβῶς ἠπίστατο, ἐκ ἠδύνατο εἶναι κριτής. ἔστος ἦν ὁ κριτικὸς τὴν τῶν ποιητῶν καλῶς, ἢ κακῶς, ἢ ἐν δέοντι, ἢ ἐν μὴ δέοντι, ἢ ἐυκαίρως, ἢ ἀκαίρως λεχθεῖσαν ἔννοιαν παρεδίδου τῷ νέῳ, καὶ τὴν τούτων αἰτίαν ἐδίδασκεν· ὥσπερ παρὰ τῷ Ποιητῇ τὸν στίχον τοῦτον δεῖ ὀβελίζειν, τοῦτον ἐκβαλεῖν καὶ ἀποδοκιμάζειν, ὡς μὴ ὄντα ἄξιον τοῦ Ποιητοῦ· "ἄξω ἑλών· ὁ δέ κεν κεχολώσεται.„ (1) πῶς γὰρ ἐκ ἔμελλε χολᾶσθαι; καὶ πάλιν ἀμαχεῖ· "μέλποντες ἑκάεργον,„ (II. A, 474.) δεῖ τὸν στίχον τοῦτον ὀβελίζειν· μενόντα (2) γὰρ αὐτὸν, γίνεται ἄκυρος διανοολογία. προήρηται γὰρ, "οἱ δ' παυημέριοι μολπῇ θεὸν ἱλάσκοντο.„ (II. A, 472.) καὶ πολεμαχεῖ δεῖ τοὺς στίχους ὀβελίζειν. "τῇ δ' ἄρα δίφρον ἑλοῦσα, φιλομμειδὴς Ἀφροδίτη,„ (II. Γ, 424.) καὶ τὰ ἑξῆς· ἐκ ἂν γὰρ ὁ Ποιητὴς τὴν θεὸν εἰσήγαγεν ὑπηρετοῦσαν τῇ γυναικὶ, καὶ τὴν τοιαύτην εὐτελῆ ὑπηρεσίαν· εἰ μὴ ἄρα εἴποι τις, ὅτι τῇ μορφῇ τῆς γραὸς τὰ προσήκοντα ἐπεσήμανε. πάλιν δ' ἀμαχεῖ· "ἔχθιστος δέ μοί ἐσσι διοτρεφέων βασιλήων,„ (II. A, 176.) τὸν ἑξῆς δεῖ ὀβελίζειν ἔξωθεν ἀποστερίσκω (3) σημειώσασθαι· ὡς ἐνταῦθα μὲν ἐκ ὀρθῶς ἐγκειμένῃ τοῦ στίχου, ἀμαχεῖ δ' ἐπιτηδείως. ἐκ ἂν γὰρ αὐτὸν Ἀγαμέμνων διὰ τοῦτο ἐβδελύσσετο, ὡς φιλοῦντα τοὺς πολέμους. εἰ γὰρ τότε ἐπιτηδειότερον ἔργον τῷ στρατηγῷ, ἢ πόλεμος; τὰ γοῦν τοιαῦτα ὁ κριτικὸς, ὡς προήρηται, παρεδίδου τῷ νέῳ.

Scho-

δὲ Κριτικὴ ἐλέγετο· καὶ οἱ τούτων μετέχοντες, κριτικοί. Ἀντίδωρος δέ τις Κόμμεως συγγραψάμβος λέξιν, ἐπέγραψεν, Ἀντιδώρου Γραμματικὴ λέξις· ἐξ ἐκ τούτου ἡ τοῦ κριτικὴ, Γραμματικὴ λέγεται· καὶ Γραμματικοὶ, οἱ τούτων μετέχοντες. In hoc autem loco pro Ἀντίδωρος δέ τις Κόμμεως, lege, Ἀντίδωρος δέ τις Κυμαῖος, vel etiam, quod mallem, Αὐτίδωρος, pro Ἀντίδωρος. Fabricius Bibliothec. Græc. L. v. c. 7. T. 7. p. 54. "Autodorus Cumanus. In Ms. Theodosii ad Dionysium Thracem commentario: Αὐτόδωρος δέ τις Κυμαῖος συγγραψάμβος λέξιν, ἐπεγράψεν, Αὐτοδώρου Γραμματικὴ λέξις. „ Unde constat hanc egregiam observationem deberi Theodosio Alexandrino, celeberrimo Grammatico, cujus Epitome magnæ Prosodiæ Herodiani latet in Bibliothec. Bodleian. in Codice Barocciano 179. Enimvero in altero Codice S. Marci, ubi eadem Scholia in Dionysium, diserte legitur Αὐτόδωρος δέ τις Κυμαῖος, & infra Αὐτοδώρου; eaque observatio, ut & apud Fabricium, Theodosio tribuitur.

(1) Cod. 489. in quo idem Scholion p. 9. & 10., addit, καὶ ὅτι εὐήθες τὸ προκείμενον "ἐ δέ κεν κεχολώσεται.„ (II. A, 139.) πῶς γὰρ κ. τ. λ.

(2) Cod. 489. hic absolutum genitivum, μολόντος γὰρ αὐτοῦ, pro accusativo absoluto, μολόντα γὰρ αὐτὸν, posuit.

(3) Lege cum Cod. 489. δεῖ μετ' ἀστερίσκου ἔξωθεν σημειώσασθαι.

Scholia inedita in eumdem Dionyſ. Thrac. p. 7. rect. Cod. 489. δεῖ ὁ ἀναγκαίως προ τῆς καθόλε εἰσβολῆς βιβλίε παντὸς, τὰ ἐξ κεφάλαια ζητεῖν τοῦτα, γὰ αὐτὰ ἀναγκαῖα ὄντα· πρῶτον, ἐπιγραφήν· δεύτερον, συγγραφέα· τρίτον, σκοπόν· τέταρτον, χρήσιμον· πέμπτον, τάξιν· ἕκτον, τέλος. ἐπιγραφὴν μὲν, ἵνα εὑρόντες περὶ ὀνομάτων, μὴ ζητῶμεν περὶ ῥημάτων· συγγραφέα, ἵν' εἴτε ἀξιόπιστος ᾖ, εἴτε μὴ, τὰ συγγραφόμενα τῷ ὁρμὴν (1) καταλάβωμεν. τοῦτο ὁ, διὰ τὰ ψευδεπίγραφα τῶν βιβλίων, ὡς ἔχει ἡ Ἀσπὶς τὰ Ἡσιόδε· ἑτέρα γάρ ἐστιν, ἐπιγραφὴ ὁ ὀνομασία ἐχρήσατο τῇ τὰ Ἡσιόδε, ἵνα διὰ τῆς ἀξιοπιστίας τὰ Ποιητὰ, ἄξιον κερδῇ ἀναγνώσεως. σκοπὸν, ἵνα τῷ ὁρμῷ τὰ συγγραφόμενα καταλάβωμεν. ἔστι ὁ σκοπὸς, προκατάληψις ψυχῆς προτυπώσης τὸ προτεθέν· ἐκ μεταφορᾶς τῶν τοξοτῶν, τῶν πρότερον μὲν στοχαζομένων τὸν τόπον, εἶθ' ὕστερον τὸ βέλος ἐπιπεμπόντων. χρήσιμον, ἵνα ἡ βιωφελὴς ἐστὶν ἡ συγγραφὴ, μάθωμεν. τάξιν, εἰ εὐτάκτως σύγκειται τὰ τῆς συγγράμματος. τέλος, εἰ μέχρι τέλους τὰ τῆς σκοπῆς προηνέγκατο· πολλοὶ γὰρ ὁρμήσαντες τῆς συγγράφε, μὴ ἐφικνέμενοι, ἀλλ' ἐν μέσῳ γενόμενοι, ὥσπερ ἐπὶ κλυδῶνος, τῷ μεγέθει τῆς ἐγχειρήματος, ἀπεπνίγησαν.

Eadem Scholia Cod. 489. in Dionyſ. p. 9. rect. Πόσα θεωρέμενα περὶ τὴν Γραμματικήν; ὀκτώ· εἶπον, ἀρχὴ, ἔννοια, ὕλην, σκοπὸς, μέρη, ὄργανα, ἔργα, τέλη. τί τὸ εἶπον; ἡ τῶν ὀνομάτων καὶ ῥημάτων εὐπορία. εἶπον γὰρ λέγεται, ὅτι κατὰ πᾶσαν λέξιν εἶπον ὁρᾶται, καὶ εἰπεῖν. ἀρχὴ, ὅτι ἀρχὴν ἔχει ὥσπερ καὶ τέλος· ἀρχὴν γὰρ ἔχει τὰ στοιχεῖα. ἔννοιαν, ἤγουν, σκοπὸν, τὸν τῶν ὀνομάτων ἑλληνισμόν· σκοπὸς γὰρ ὁρᾶται καὶ περὶ τὴν Γραμματικὴν, ὥσπερ καὶ περὶ τὴν Διαλεκτικὴν, καὶ τὰς λοιπὰς τέχνας καὶ ἐπιστήμας. ὕλην ὁ ἔχει, πᾶσαν Ἑλληνίδα φωνήν. μέρη ὁ λέγω, ἢ ὅτι πᾶσα Ἑλληνικὴ φωνὴ εἰς ὀκτὼ μέρη διαιρεῖται· ἢ ὅτι Γραμματικῆς μέρη κυρίως, διορθωτικὸν, ἀναγνωστικὸν, ἐξηγητικὸν, κριτικόν. ὄργανα ὁ τέσσαρα, τὰ περὶ τὴν Γραμματικὴν ὄντα, γλωσσηματικὸν, μετρικὸν, τεχνικὸν, ἱστορικόν. ἔργα, τὸ τὸν ἔμμετρον καὶ πεζὸν λόγον τεχνᾶσθαι. τέλη, τὸ μηδέποτε ἁμαρτάνειν, μήτε περὶ μίαν λέξιν, μήτε περὶ πλείονας· τὸ γὰρ ἁμαρτάνειν περὶ μίαν λέξιν, βαρβαρισμός ἐστι· τὸ ὁ περὶ πλείονας, σολοικισμὸς, ἤτοι περὶ σύνταξιν καὶ φράσιν.

Πόσα μέρη τῆ Γραμματικῆς; ἓξ· πρῶτον, ἀνάγνωσις ἐντελὴς καὶ προσῳδίαν· δεύτερον, ἐξήγησις κατὰ τὰς ἐνυπαρχούσας ποιητικὰς τρόπους· τρίτον, γλωσσῶν τε καὶ ἱστοριῶν πρόχειρος ἀπόδοσις· τέταρτον, ἐτυμολογίας εὕρεσις· πέμπτον, ἀναλογίας ἐκλογισμός· ἕκτον, κρίσις ποιημάτων, ὃ δὴ κάλλιστόν ἐστι πάντων τῶν ἐν τῇ τέχνῃ. Nam, exempli gratia, ut habent eadem Scholia fol. 9. verſ. πρῶτον ὁ εἰσαγόμενος, μανθάνει, ὅτι μῆνιν δεῖ βαρυτόνως ἀναγινώσκειν. διδαχθεὶς ὁ, καὶ ἀναγνωσθέντος ἀπαιτεῖ τὴν ἐξήγησιν, ὅ ἐστι

(1) Alter Codex S. Marci, ex quo Porphyrii de proſodia libellum excerpſimus, idem Scholion ad verbum habet, Theodoſioque Alexandrino tribuit, & hic legit: ἵνα τὸ ἀξιόπιστον, ἢ τὸ μὴ, τῷ συγγραψαμένῳ καταλάβωμεν; quod præferrem: nam infra legitur: σκοπὸν, ἵνα τὸν ἐρμῶ τῷ συγγραφαμένῳ καταλάβωμεν; quod librarium, ut hic erraret loci ſimilitudine deceptus, induxit.

ὃ ἐστι τῷ ἑρμηνέαν. μαθὼν ὃ ὅτι ὀργὴν ἐπίμονον σημαίνει, ἁπαντᾷ τῷ διάλεκτον, πῶς λέγουσι μῆνιν τὴν ὀργήν; καὶ ἀκούει ὅτι οἱ Ἴωνες· μαθὼν ὃ τῷ διάλεκτον, ζητᾷ καὶ τῷ τῆς ἐτυμολογίας εὕρεσιν. . . . μαθὼν ὁ εἰσαγόμενος τὰ προηρημένα, καὶ ἐμφρων γενόμενος, ἄρχεται καὶ περὶ τεχνικὰ παραγίνεσθαι, καὶ πιθάνεσθαι τί δή ποτε μῆνιν λέγομεν, καὶ οὐχὶ μήνιδα; τὸ γὰρ πέμπτον μέρος τῆς Γραμματικῆς, ἡ ἀναλογία, ἐστὶν ἡ ἀκριβὴς τῶν ὁμοίων παράθεσις, δι' ἧς σωίσπανται οἱ κανόνες τῆς Γραμματικῶν, ὥσπερ ὅτε ζητοῦμεν τίνος ἕνεκεν ὁ Ὅμηρος, τὰ Ὀμήρ κ. τ. λ. τὸ βέλος ὃ, τὰ βέλεα κ. τ. λ. ἄπως· ἀναλογία ἐστὶ λόγος ἀποδεικτικὸς κατ' ὁμοίαν παράθεσιν τῆς κατ' ἕκαστον μέρος φυσικῆς ἀκολουθίας, ὁμοίᾳ ὃ κῆ τύπον, ὡς ὅμοιόν φαμεν εἶναι τὸ Δημοφῶν τῷ Ξενοφῶν. . . . τὸ ἕκτον μέρος τῆς Γραμματικῆς ἐστιν, ἡ κρίσις, τουτέστι ἡ βάσανος καὶ ἡ ἐξέτασις τῶν ποιημάτων. διαφέρει ὃ κρίσις συγκρίσεως· καὶ πρῶτον μὲν, κρίσις· δεύτερον ὃ σύγκρισις. κρίνει μὲν γάρ τις ἕκαστον ἐκ τῶν ἰδίων· συγκρίνει ὃ ἕτερον ἐφ' ἑτέρῳ· ὥστε ἡ σύγκρισις ἐν αὐτῇ πρότερον τῆς σύγκρισιν ἔχει. ζητητέον ὃ ἄρα ὁ Γραμματικὸς, καλλίων ὢν τῶν Ποιητῶν, κρίνει αὐτῶν τὰ ποιήματα, ἢ ἥττων; καὶ εἰ μὲν καλλίων, δῶμεν καὶ αὐτὸν εἶναι ποιητὴν, ὅπερ ἀλλότριον Γραμματικῆς· ἔστι γὰρ μέρος, ἔστι ὄργανον τῆς Γραμματικῆς τὸ ποιητικόν· εἰ ὃ ἥττων ὢν κρίνει, οὐχ ὡς ποιητὴς, ἀλλ' ὡς τεχνίτης τῆς ἐκείνων ὕλης ὁ Γραμματικός· ὕλη γὰρ ποιηματικῆς, μῦθος, μέτρον, λέξις, ἱστορία, γλῶσσα· καὶ τούτων τεχνίτης ὁ Γραμματικός. κρίνει ὃ, ὡς εἰ πότερον αὐτοῖς καλῶς γέγραπται, ἢ εἰ· ἀλλὰ ποῖα ἀνόμοια, καὶ ποῖα ὅμοια, καὶ ποῖα νόθα τῶν Ποιητῶν, καὶ ποῖα γνήσια. κρίνεται ὃ ἡ ποίησις, χρόνῳ, λέξει, ἱστορίᾳ, πλάσματι, σωθέσει, κυριολογίᾳ, οἰκονομίᾳ, πάθει, ἤθει, προσώπῳ. κάλλιστον τοῦτο τὸ μέρος τῆς Γραμματικῆς ἔφη ὁ Διονύσιος, παρόσον ἤδη τελειωσάντων τὴν τέχνην ἔργον κρίνειν. . . .

Ἄλλως· ὅταν τις ἀκριβῶς κῆ προσῳδίαν ἀναγινώσκειν, καὶ κῆ ποιητικὰς τρόπους ἐξηγᾶσθαι κατορθώσειε, γλωσσῶν τε καὶ ἱστοριῶν πρόχειρον ἀπόδοσιν καὶ ἐτυμολογίας ἐκλογισμὸν (adde γινώσκειε, vel ἀδῆ, vel quid simile) ἱκανός ἐστιν ὁ τοιοῦτος κρίνειν· κρίνει ὃ τὰ ποιήματα, οὐχ ὅτι καλά ἐστιν, ἢ κακά· ποιητὴ γὰρ τοιοῦτον· ἀλλ' ἐπειδὴ πᾶν μέτρον ὑπὸ τέχνην ἐστὶν, ἀνάγκη τὸν Γραμματικὸν πάντα πάντα ἐξακρίνειν, εἰ τὸ αὐτὸ ἐστι ποιητὴ, ἢ ἕ.

Κάλλιστον ἅπερ τοῦτο τὸ μέρος ὁ Διονύσιος, οὐχ ὅτι τὰ ἄλλα ἀσθενέστερά εἰσιν, ἀλλ' ἐπειδὴ σωπέρασμά ἐστι πάσης τέχνης τὸ κριτικὸν, καὶ, τρόπον τινὰ, στέφανος· καὶ ὅπου μὴ προῃδέτις τὰ λεχθέντα μέρη τῆς Γραμματικῆς, τὸ κρίνειν ποιῶν τὸ ἔργον οὐ δύναται.

Inter eadem Scholia Cod. 489. fol. 13. verſ. habentur libelli περὶ βαρβαρισμοῦ καὶ σολοικισμοῦ κῆ πλάτος, a ſummo Valckenærio ſubjecti Ammonio, quorumque verus auctor huc uſque ignorabatur. Sunt autem Ἡρωδιανοῦ Ἀλικαρνασσέως ſcilicet celeberrimi illius Grammatici, ut diſcimus e Cod. Marciano 512. Variantes ex hiſce Codd. excerptas hic dabimus:

P. 193. Ed. Cl. Valckenærii, κυριολογία. Cod. 489. κυριολεξία.

P. 194. Ed. ἀδιάστροφος λόγου μερῶν συμπλοκὴ μεπάπηλος. Duo Codd. Veneti, καπάπηλος.

Ibid.

Ibid. p. 194. Ed. διαφέρει ὁ βαρβαρισμὸς σολοικίας, ὅτι ἡ μὲν σολοικία τῷ τάξιν βλάπτει τὸ λόγου· ὁ ὁ βαρβαρισμὸς τὰ ἐπὶ τῆς λέξεως. Ubi Cl. Valckenær. "Quid sint τὰ ἐπὶ τῆς λέξεως fateor me ignorare. Quid si ἐδὴ scripserit! neque id placet". Rescribe cum duobus Codd. Marcianis, τὰ ἐπὶ τῆς λέξεως.

Ibid. p. 194. Ed. γίνεται ὁ βαρβαρισμὸς κατὰ τρόπους ἑννέα· προσθέσει, ἀφαιρέσει κ. τ. λ. Melius in Cod. 489. κατὰ πρόσθεσιν, ἀφαίρεσιν κ. τ. λ.

Ibid. p. 194. Ed. τὰ γὰρ εἰς ης λήγοντα σύνδετα. In duobus Codd. Marcianis, εἰς η, ut in Cod. Cl. Valckenær. & infra ibid. in Cod. 512. ὅταν ᾖ παρ' ἑδέτερα, pro παρ' ἑδετέρων, & in Cod. 489. ἢ ῥῆμα μὴ ἐπὶ τέλους ἐπιφάνηται, pro ἢ ῥῆμα ἐπὶ τέλει ἐμφάνηται.

P. 195. Ed. κατὰ δὲ προσθέσιν, λέγοντες τὸν δίφρον, δρίφον: Recte in Cod. Marciano 489. κατὰ δὲ μετάθεσιν, ut, secundum Indicem supra positum, legendum viderat Cl. Valckenær.

P. 195. Ed. ἀπὸ γὰρ τοῦ Μύτωνος τὸ κτίστου, Μυτιλήνη καλεῖται. Cod. Marcianus 489. ἀπὸ Μίτωνος γὰρ, ᾧ λαῶν ὁ κτισῶν, λέγεται Μυτιλήνη. Stephan. Byzant. Μυτιλήνη . . . . ἀπὸ Μυτιλήνης, τῆς Μάκαρος θυγατρός. οἱ δὲ, ὅτι Μυτίλης ἦν ὁ οἰκιστής. οἱ δὲ, ἀπὸ Μύτωνος τοῦ Ποσειδῶνος, ᾧ Μυτιλήνης· ὅθεν Μυτανίδα καλεῖ τὴν Λέσβον Καλλίμαχος ἐν τετάρτῳ. Παρθένιος δὲ Μυτωνίδας, τὰς Λεσβικάς φησι· λέγονται δὲ Μύτωνες, ᾧ Μυτωναῖοι, ᾧ Μυτιληναῖος. Sic, ut in meis ad Longum Animadversionibus fusius declaravi, omnia quidem numismata habent Μυτιλήνη, quod rectum esse hinc demonstratur; omnes vero Auctores editi, si a paucis discesseris, ut a Stephano Byzant., vitiose legunt Μιτυλήνη, quod corrigendum esse declarant hæc Herodiani verba, quæ Isaac Vossius ad hunc locum laudatus a Cl. Valckenær. immerito tribuerat Stephano Grammatico Byzantio, quem hujusce libelli auctorem falso opinabatur (1).

P. 196. Ed. αἱ γὰρ εἰς α λήγουσαι αἰτιατικαὶ, διαιροῦνται. Codd. Marciani, αἱ γὰρ εἰς η λήγουσαι.

P. 196. Ed. ὁμοίως ᾧ περὶ τοὺς τόνους βαρβαρίζουσιν. Cod. 512. περὶ τόνους. Cod. 489. παρατόνως.

P. 196. Ed. οἱ λέγοντες πινακωῖς, ἐκτεταμένως. Omnes Marciani Codd. πινακίς.

P. 197. Ed. ὅμα ψιλὰ τὰ στοιχεῖα συναλείφεται. Cod. 489. ὅμα ψιλὰ τὰ ἀντιστοίχα.

P. 199. Ed. Ἁπλᾶν ἀναὶ συγκριτικὰ τάξιεν. Codd. Marciani recte addunt, ἢ ἔμπαλιν καθέλοι τι ἐξ τοιούτων ἀλλάξιεν. Quædam in hoc articulo deesse pro sua sagacitate subodoratus fuerat summus Valckenær.

P. 199. Ed. Ναιεπάσοι πόλιες. Sic in Codd. Marcianis, quemadmodum emendavit Cl. Valckenær.

P. 200.

(1) Apud Fabricium Bibliothec. Græc. Vol. 7. p. 8. Herodiani libellus περὶ βαρβαρισμοῦ καὶ σολοικισμοῦ in Bibliotheca Regia manuscriptus dicitur exstare, qui ab hoc diversus esse non potest.

P. 200. Ἔπαυσεν ἐς πέδον. Codd. Marciani, εἰς πεδίον.

P. 200. Ed. ὡς εἴ τις ἐναλάττει. Melius in Codd. Marcianis, ἐναλλάττοι.

P. 201. Ed. πρὸς ἐὸς ἀντὶ τῶ σοι σύναρθρος. In Codd. Marcianis recte, ut Cl. Valckenær. emendaverat, πατρὸς σέο, ἀντὶ τεῦ σοῖο, συνάρθρε. Scilicet in omnibus Codd. πρῦς pro πατρὸς, semper scriptum est, quod compendium Isaaco Vossio fraudi fuit (1).

P. 201. Ed. λέγοντος ὑμεῖς. In Codd. Marcianis, λέγων ὑμεῖς. Recte, ut semper, Cl. Valckenær. emendavit, λέγων τὸ ὑμεῖς.

P. 202. Ed. ἀντὶ τῦ ἐλάτλω. Forte omissum ἐπ', ut sit ἐπ' ἐλάτλω; in Codd. Marcianis, ἐπ' ἐλάσης.

Ibid. p. 202. Ed. ἀντὶ τῦ, ἐς Λῆμνον. Codd. Marciani, ἀντὶ τῶ ἐπὶ τῆς Λήμνε.

Ibid. p. 202. Ed. μὴ δι' ἐμὴν ἰόπτα; pro quo in Marciano, ut & in Leidensi Codice, μὴ δι' ἐμὼ νεόπτα.

P. 203. Ed. δύο, ἢ πλείονα εἴδη ἃ ἀρμένων ἐμπεριέχυται. Codd. Marc. ἃ ἐιρυμένω.

Ibid. p. 203. Ed. ἕνα λίθον πένδ' ὑπῆσαν σκόρπιοι. Lege cum Codd. Marc. ἕνα λίθον ΑΡΑΣ, πένθ' ὑπῆσαν σκόρπιοι.

P. 203. Ed. ναιετάσσι πόλιν. Recte in Codd. Marc. ναιετάσσι πόλιες, quemadmodum emendavit Cl. Valckenær.

P. 203. Ed. ὅτι τῶ σώφρονος αἰμία. Codd. Marc. addunt, ἢ ὕβρις ἐστίν.

P. 204. Ed. Σολοίκους ἐκάλεν τὲς βαρβάρες. Cod. 489. hæc addit, quæ supra p. 193. apud Cl. Valckenær. leguntur: ὡς ἢ Ἀναμρέων φησί· "μισῶ Ζεῦ σόλοικον λόγον." ,, ἢ ὁ Ἱππώναξ· " ἢ τὲς σολοίκους ἦν λάβωσι Παρνασοὶ, τὲς Φρύγας ἐς Μίλητον ἀλφιτεύσοντας. ,, Pro μισῶ Ζεῦ σόλοικον λόγον, alter Codex Marcianus minus bene habet, Κόμισον Ζεῦ σόλοικον λόγον, quemadmodum Apographum Vossianum. Idem Codex: ἢ Ἱππώναξ· " ἢ τὲς σολοίκους ἦν λάβωσι, περνῶσι Φρύγας μὲν ἐς Μίλητον ἀλφεστεύοντας. ,,

(1) Sic idem Cl. Vossius non assecutus est illud compendium, quo nihil frequentius, ἀνὰ pro ἀραῖᾶ, & infra p. 202. observante Cl. Valckenær. perperam legit ἂν ἀτ' ἔσω, pro ἀραῖᾶ τ' ἔσω. Quos quidem errores cum commiserit summus ille Vossius, hinc facile intelligi potest, quot & quanta menda in primas Editiones e Codicibus male lectis, imo & in posteriores Editiones e primarum compendiis male explicatis irrepserint. In veteribus Codicibus legendis & describendis quantum hæsitaverint & titubaverint multi e primis illis Editoribus & eruditis viris, qui paullo ante & post renatas literas prodierunt, vel hæc demonstrant Blondi Flavii in Italia illustrata p. 346. "Id maxime adjumentum studiis eloquentiæ attulit, quod repertus Laudæ a summo viro Gerardo Landriano, tunc ibi Episcopo, multis maximisque in ruderibus, Codex Ciceronis pervetustus, & cujus *literas vetustiores pauciſſimi scirent legere*, ad eius perveniens manus, interitum evasit. Continebat is Codex præter *Rhetoricorum novos & veteres*, qui habebantur, tres quoque de *Oratore* integerrimos, *Brutum de Oratoribus claris*, & *Oratorem ad Brutum M. Tullii Ciceronis* . . . *& quum nullus Mediolani esset repertus, qui ejus vetusti Codicis literam sciret legere*, Cosmus quidam egregii ingenii, Cremonensis, tres de *Oratore* libros primus *transcripsit*; multiplicatque inde exempla omnem Italiam desideratissimo Codice repleverunt. Nos vero cum publicis patriæ tractandis negotiis adolescentes Mediolanum adiissemus, *Brutum de Claris Oratoribus* primi omnium mirabili ardore ac celeritate transcripsimus; ex quo primum Veronam Guarino, post Leonardo Justiniano, Venetias misso, omnis Italia exemplis pariter est repleta ,, . In Plotini Editione, quæ cum Marsilii Ficini Versione Basileæ prodiit ann. MDXXC., legitur Ennead. V. libr. sec. p. 494. B. ὅταν δὲ εἰς ἄνον, ubi ἄνον, sine ullo compendii [illegible] positum est pro ἀνὸν, ὅταν.

P. 204. Ed. ὥστε τῷ γένει σολοικίαν εἶναι τὸν βαρβαρισμόν. Hæc in duobus desunt Codd. Marcianis, at in tertio 512. leguntur.

Hæc præterea excerpenda duximus ex iisdem in Dionys. Thrac. Scholiis:

Περὶ τραγῳδίας.

Ἰστέον ὅτι τραγῳδία (1) λέγεται τὰ τῶν Τραγικῶν ποιήματα, ὡς Εὐριπίδου, καὶ Σοφοκλέους, καὶ Αἰσχύλου, καὶ τῶν τοιούτων· γεγόνασι δὲ ἔτοι ἐπὶ τῶν χρόνων τῶν Ἀθηναίων. Τραγικοὶ δὲ ὄντες, καὶ θέλοντες ὠφελεῖν κοινῇ τὰς τῆς πόλεως, λαμβάνοντές τινας ἀρχαίας ἱστορίας τῶν ἡρώων, ἐχούσας πάθη τινά, ἔστιν ὅτε καὶ θανάτους, καὶ θρήνους, ἐν θεάτρῳ ταῦτα ἐπεδείκνυντο τοῖς ὁρῶσι καὶ ἀκούουσιν, ἐνδεικνύμενοι παραφυλάττεσθαι τὸ ἁμαρτάνειν. εἰ γὰρ οἱ πλεῖστοι ἥρωες τοιαῦτα ἔπασχον, δηλονότι ἁμαρτήσαντες, πόσῳ μᾶλλον ἡμεῖς, καὶ οἱ καθ' ἡμᾶς ἄνθρωποι ἁμαρτήσαντες, πεισόμεθα; δεῖ ἄν, ὡς προείρηται, ὡς οἷόντε, βίον ἀναμάρτητον καὶ φιλοσοφώτατον μεταδιώκειν. ἐπ' ὠφελείᾳ δὲ ἡ συστολὴ ἡ Τραγικῶν ποίησις εἰσήγετο τοῖς πολίταις. ἐπιδεικνύμενοι δὲ τῶν ἡρώων ὡσανεὶ τὰ αὐτῶν πρόσωπα, πρῶτον μὲν ἐπελέγοντο ἄνδρας τοὺς μείζονας, καὶ εὐρυβίας· δεύτερον ἂ βουλόμενοι καὶ τὰ σώματα δεικνύειν ἡρωϊκὰ, ἐμβάδας ἐφόρουν, καὶ ἱμάτια ποδήρη. ταύτῃ ἂν τῇ τραγῳδίαν φησὶ δεῖν ὁ Τεχνικὸς ἡρωϊκῶς ἀναγινώσκειν, τετέστι μεγάλῃ τῇ φωνῇ· ἐτυμολογεῖται δὲ ἀπὸ τοῦ τράγου λαμβάνειν ἔπαθλον οἱ νικῶντες, οἱονεὶ ἡ ἐπὶ τράγῳ ᾠδή· ἤτοι τὸ γ τρέπομεν εἰς χ, καὶ γέγονται τραχῳδία, ἢ τραχεῖα ᾠδή. τραχύτερον γάρ, καὶ φευκτέον, καὶ δύσβατον, τὸ τῶν θρήνων εἶδος τοῦ γελωτοποιεῖν, οἱονεὶ τετραγωνώδης τις ὢσα· οἱ μὲν γὰρ χορευταὶ αὐτῶν ἐν τετραγώνῳ σχήματι ἱστάμενοι, τὰ τῆς τραγικῶν ἐπεδείκνυντο. ἦσαν δὲ Τραγικῶν χορευταὶ δεκατέσσαρες· τῶν δὲ κωμικῶν κδ'. ἕκαστος δὲ ποιητὴς ἐξ ἑκατέρων εἶχε τάττας προεκμανθάνοντας τὰ αὐτοῦ, καὶ τρεφομένους ἀπὸ τοῦ δημοσίου.

Ἰστέον δὲ ὅτι ἐλεγεῖον ἐλεγείας διαφέρει· ἐλεγεῖον γάρ ἐστιν, ὅταν εἰς στίχος

(1) Observandum est hodiernos Siculos veteris Tragœdiæ, prout in suis balbutiebat incunabulis, nec non & veteris Eclogæ speciem etiam nunc retinere. Joannes Vintimiglia Messinensis, C. 50. p. 451. & 452. sui libri inscripti, *de' Poeti Siciliani Libro primo, nel quale si tratta de' Poeti Bucolici, e dell' origine e progresso della Poesia nell' Isola di Sicilia, in Napoli 1663. in 4.* sic habet: *Certo è, che dacchè nacque, fino al presente giorno, la Bucolica Poesia ha sempre fiorito in Sicilia; e l' amenità delle nostre campagne, e la grassezza de' pascoli, e la copia de' greggi, mantenendo sempre vive le delizie pastorali, nutrisce sempre ne' poetici ingegni Siciliani quelle specie, che suggeriscono il verso, e 'l canto Bucolico: nè mi lascian mentire la moltitudine non solo degl' Idilli, ma dell'arie, e canti pastorali, che con tanto gusto de' paesani, ed ammirazione de' forastieri, si sentono tutto il giorno; onde possiamo dire sicuramente ancor noi quel che disse Diodoro de' suoi tempi,* Bucolicum carmen & melos, quod etiam nunc apud Siculos in usu & honore est. *E nelle Farse Siciliane con tanto compiacimento recitate, ed ascoltate dal nostro volgo ne' giorni carnovalescbi, si conserva ancora dopo migliaja d' anni il vivo esempio di quell' Egloghe, e di que' Bucoliasmi, che diedero la prima forma al Dramma satirico.* Iidem ingeniosissimi Siculi & antiquas servarunt nænias, quarum unum exemplum habemus in Theocriti Idyllio XXV. inscripto Ἡρακλίσκος, quod recte post Casaubonum sic ibidem c. 39. p. 360. & 361. observat idem Vintimiglia: *I Siciliani la chiamano* Ninna, *forse da* Νάϊνιον, *che per Esichio suona lo stesso, nel quale Autore molte voci si osservano del Dorismo Siciliano, che altrove non si leggono: e si cantano fino al dì d' oggi, non solo con molto vezzo e lepore dalle nostre nutrici, ma anche da' valenti Musici, che sempre adornano la Cappella del Senato in Messina, fra le molte e varie sorti di Pastorali, a miglior uso convertite dalla pietà Messinese, che la Bucolica melodia, antico suo pregio, ha consacrato a festeggiare la devota solennità del Santo Natale . . . e forse che Dante studiosissimo di tutt' i linguaggi, e particolarmente del Siciliano, che a' suoi tempi più d' ogn' altro fioriva, quindi chiamò (Purgator. c. 23.) la Nanna consolazion de' fanciulli, bistisciando noi per vezzo Ninna Nanna allo stesso proposito.* Quæ vox eodem sensu & Venetiis hodie a nutricibus usurpatur.

χος ὑπάρχει ἢ πενθήμιμερος· ἐλεγεῖα (1) δ', ὅταν ὅλον τὸ ποίημα ἐμοιβαῖα ἔχει τὰ μέτρα ἑξάμετρα ἢ πενθήμιμερα.

Ἔπος λέγεται πᾶν σπίχος ἰαμβικός τε ἢ τροχαϊκός, ἢ ἀναπαιστικὸς, καὶ δακτυλικὸς, ἢ ὁπωδήποτε ποδὶ μετρούμενος· κατ' ἐξοχὴν δὲ, τὸ ἑξάμετρον καὶ πεμπτὸν, ἢ ὑπερόχην, τὸ ἡρωϊκὸν μέτρον ἐκάλεσεν (ὁ Διονύσιος.)

Τὰ λυρικὰ ποιήματα οὐ μόνον ἐμμέτρως γέγραπται, ἀλλὰ ἢ μετὰ μέλους ἐσκέπτοντο, ἃ ἢ διπλασίονα κάματον παρεῖχε τοῖς σκεπτομένοις, τὸ μέτρον σωδάζουσι διασώζειν, ἢ τῆς μελῶν ἐπινοῆν τῷ εὑρεσιν. οὕτω ἂν τὰ ποιήματα καλεῖται λυρικὰ, ὡς ὑπὸ λύραν ἐσκευασμένα, ἢ μετὰ λύρας ἐπιδεικνύμενα . . . οὕτω ἂν τῷ λυρικὴν ποίησιν δεῖ μετὰ μέλους ἀναγινώσκειν, εἰ ἢ μὴ παραλάβομεν, μηδὲ ὑπομεμνήμεθα αὐ ἐκείνης μέλη. εἴρηται ὁ λυρικὴ ἀπὸ τῆ ἀξιοπίστε ὀργάνε· οὐ μόνον γὰρ πρὸς λύραν ἐλέγετο, ἀλλὰ ἢ πρὸς αὐλὸν, ἢ βάρβιτον, ἢ πρὸς πᾶν ὄργανον μουσικόν· ἀλλ' ἐπειδὴ τῆς ἁπάντων ἀξιοπιστότερον ὄργανον ἡ λύρα ἐστὶν, ἀπὸ ταύτης ὠνόμασαν.

Εἰσί τινα ποιήματα, ἃ ἐγκειμένε τῆ λεξάνε, ἔλεγον ὀρθωπικῶς ἐπ' αὐτοῖς. διδάσκει ὁ ἡμᾶς ἢ Ὅμηρος πῶτο λέγων ἐπὶ τὸ λέξανον τῆ Ἕκτορος· ἐνταῦθά φησι· "παρὰ δ' ἦσαν ἀοιδοὶ (2) ὀρθρίνης ἐξάρχουσί τε στονόεσσαν ἀοιδήν. ,, ταῦτα ἂν τὰ ποιήματα Οἶκτοι καλοῦνται, ἢ Θρῆνοι· ἢ δὲ ἀυτὰ κεχαλασμένῃ τῇ φωνῇ ἢ ὀρηνώδη ἀναγινώσκειν. εἶδος ὁ ποιήσεως ὀικτος οὐκ ἔστιν· εὑρίσκεται ὁ ἐν πανὶ εἴδει ποιήσεως, παρὰ τοῖς λυρικοῖς καὶ ἐλεγειογράφοις· ὅμως ἢ παρὰ τοῖς τὰ ἔπη γράφουσιν· ὡς ἢ παρ' Ὁμήρῳ ἡ Ἀνδρομάχη λέγει ἐλεηνολογουμένη τὸν Ἕκτορα· "δαιμόνιε, φθίσαι σε τὸ σὸν μένος. ,, (Il. Z, 407.) ἢ πάλιν· "ἄνερ ἀπ' αἰῶνος νέος ὤλεο. ,, (Il. Ω, 725.)

Ἀναγνωσίς ἐστι ποιημάτων, ἢ συγγραμμάτων ἀδιάπτωτος φοροφά . . ὁ ἀναγνῶναι ὁ, τὸ ἀναπεῖσαί ἐστιν, ὡς καὶ παρ' Ἴωσιν. Ἡρόδοτος ἔν φησιν·

Z 2 "ὡς

---

(1) In Cod. 480. sunt quidam versus elegiaci πρὸς τὰς ἀρχομένας ἀποχύσεις Ἀγλαΐε, εὐγενεστάτε Βυζαντίων, ἐξ Ἡρακλέες τὸ γένος κατάγοντος, Ἀλεξάνδρε μαθητᾶ, συμμαθητῆ δὲ Δημοσθένες καὶ φίλε, seu potius Græci multo recentioris, qui antiquitatem mentitus est. Horum utpote ineditorum, & Fabricio ignotorum, hic initium, prout se habent fol. 169. rect. repræsentabimus:

Σπίχοι ἡρωελεγεῖοι.

Ἀγλαΐας τόδε σοὶ Βυζάντιος ἐσθλὸν ἰάμβω,
Ἰήτηρ ἑτάρῳ δῶρον ἀοιδοτόλῳ.
Ὀφθαλμῶν μὲν ἄκος· Διμήτριος ἦδὲ ὑποχεῖσθω (sic)
Ἀρχομένων, ὑπ' ἐμῆς δ' ἐυρεθὲν εὐμογίης.
Καί σοι δ' ἔξοχον ἔστω ἐς ἄχθεα, πυκτί τ' ὄνειαρ
Περμέσιμον, κάμψῃς ἄχεα καὶ ἐς πλέονας.
Ὅσσα δ' ἔχει θρέπτα, λέξαι ἔοικέ μοι, ὡς ἐπαρήγῃ
Ἧς ἂν τι σθεναρὴ σύνθεσις ἥδε τέλει.

De hoc Aglaia Byzantino, quem medicum longe antiquissimum vocat, & versibus heroicis scripsisse falso affirmat, loquitur Cl. Antonius Bongiovanni p. 231. Epistolæ ad Johannem a Bona, subjectæ hujusce doctissimi Medici Veronensis tractatui de scorbuto, Veronæ in 4. 1761. In hac autem Epistola Cl. Bongiovanni Ælii Promoti, medici Alexandrini, qui post Pompeii Magni tempora vixisse creditur, Δωαμερῆ in Cod. 295. S. Marci Bibl. latentis prologum & Excerpta cum sua versione Latina protulit; quod quidem Δωαμερὲς editione dignissimum esset.

(2) Lege ut Iliad. Ω, v. 720. ἦσαν δ' εἶσαν ἀοιδοὺς Θρήνων ἐξάρχους, οἱ τε στονόεσσαν ἀοιδήν.

" τὰς σὲ ἀνθρώπων ἀνέγνω ἐπὶ τῷ γῷ τῷ ἐμῷ στρατεύσαμενον ,, ἀντὶ τοῦ ἀνέπεισεν. ἀνάγνωσις ἦν, ἡ ἀνάπεισις· ἀναπειθόντες γὰρ, οἱ καλῶς (male in Cod. κακῶς) ἀναγινώσκοντες.

Διονύσιος· " ἀναγνωστέον κατ' ὑπόκρισιν, καὶ προσῳδίαν, καὶ ὄρθρωσιν. ,,

Ὑπόκρισίς ἐστιν ἁρμόζουσα τοῖς ὑποκειμένοις προσώποις ἔν τε λόγῳ καὶ σχήματι. ὁ μόνον γὰρ δεῖ μιμεῖσθαι τῷ λόγῳ τὰ πρόσωπα, ἀλλὰ καὶ τὰς τῶν σωμάτων κινήσεις, καὶ τὸ ἀπαυτῶν· ὡς ἐν τῷ Ὀρέστῃ, τοῦ Μενελάου μηδενὸς ἀρτικότος αὐτῷ, ἀποκρίνεται λέγων, ὁ χρήματα ἔπτον. δηλοῦται γὰρ ἐκ τούτου, ὡς ὁ λόγῳ γεγένηται ἡ ὑπόκρισις, ἀλλὰ μόνῳ τῷ σχήματι, τοῦ Μενελάου τὰς χεῖρας ἀνατείνοντος, καὶ βρόχον τινὰ μεταχειριζομένου, ὡς ἀδικῶ ἀληθότος. (1)

Διονύσιος· " πόνος ἐστὶν ἀπήχησις φωνῆς ἐναρμονίου. ,, τῶν ὑπόκρισιν ἡμῖν δηλωσαμένων, περὶ τοῦ πόνου δηλαμβάνει, ὃς ἐστιν ἀναγκαιότατος τῆς προσῳδιῶν, καὶ φανερὸς ἔλεγχος τῆς τοῦ ἀναγινώσκοντος διδαχῆς. τί ἂν ἐστι πόνος, φησίν; ἀπήχησις, τουτέστιν ἦχος, τόνος φωνῆς οἱασδήποτε δ', ἀλλὰ τῆς ἐναρμονίου καὶ ἐναρθρου.

Τί δέ ἐστιν ἐναρμόνιος, φησίν; ἡ συγκειμένη ἐξ ὀξείας καὶ βαρείας, καὶ περισπωμένης, οἷά ἐστιν ἡ τοῦ ἀνθρώπου φωνὴ, καὶ πᾶσα ἡ μιμουμένη αὐτὴν, οἷον κιθάρα, ὄργανον, σύριγξ. τοῦτο δ' καὶ αὐτὸς ἐπιφέρει, καὶ ἀνάπαυσιν ἐν τῇ ὀξείᾳ· " πόνος, φησίν, ἐστὶ φωνῆς ἀπήχησις ἐναρμονίου, ἢ καὶ ἀνάπαυσιν ἐν τῇ ὀξείᾳ. ,,

Ἀνάπαυσίς ἐστι φωνῆς ὀξὺς πόνος· ὅθεν καὶ τὸ σημεῖον αὐτῆς ἐπὶ τὰ ἄνω φορὰν ἔχει. καὶ γὰρ ἀπὸ κάτω ἀρχόμενον τὸ τῆς ὀξείας σχῆμα προσφέρομεν τὴν χεῖρα ὀξυτέρῳ ἐπὶ τὰ ἄνω μέρη.

Διονύσιος· " πόνος ἐστὶ φωνῆς ἀπήχησις ἐναρμονίου, ἢ καὶ ἀνάπαυσιν ἐν τῇ ὀξείᾳ, ἢ καὶ ὁμαλισμὸν ἐν τῇ βαρείᾳ. ,, ὁμαλισμὸς λέγεται ἡ κατένεξις, (male in Cod. κατέξεσις) καὶ ὁ αἰκισμός. ὁ γὰρ βαρὺς πόνος τὴν ἐναντίαν φορὰν ἔχει τοῦ λεχθέντος. διὸ καὶ τὸ σημεῖον αὐτοῦ τὴν ἐπὶ τὰ κάτω φορὰν ἔχει· καὶ ἡ φωνὴ ὑπὸ τοῦ ἀνθρώπου ἀπὸ ὀξείας νομιζομένη, τείνει καταφερομένη, εἰς βαρεῖαν καταντᾷ. καὶ ἄλλως ὁμαλισμὸς, ἀντὶ τοῦ κατένεξις, καὶ κοίμησις, οἷα ἡ τῆς βαρείας προένεξις. αὗται γὰρ μετ' ἰλαρότητος καὶ ὁμαλότητος λέγεται, ἥτις εἴρηται ἀπὸ μεταφορᾶς τῶν τὰ φορτία βαστάζοντων (2). ὥσπερ γὰρ οἱ βαστάζοντες αὐτὰ, τῷ βάρει σωννεύμενοι κάτω νεύσει, καὶ ὁμαλωτέ-

---

(1) Scholia in eumdem Dionys. Cod. 489. τῆς ἀναγνώσεως μέρη εἰσὶ τρία, ὑπόκρισις, προσῳδία, καὶ διαστολή. ὑπόκρισις μὲν ἐν ἐστιν ἡ τῶν ὑποκειμένων σωμάτων, ἢ πραγμάτων μίμησις, ἢ διὰ σωματικῆς ἐμμέτρου κινήσεως γινομένη. προσῳδία δὲ, τόνος φωνῆς καὶ διάλεκτος, ἢ καὶ ἀναλογία κεκραμένου μέτρου, ὥσπερ ἐπὶ τῶν ὁμοίως, ὅπερ τῆς ἀναλογίας προτεθειμένης, οἱ Ἀττικοὶ προτιμῶσι. λέγεται δὲ προσῳδία, ἀπὸ τοῦ πρὸς αὐτὴν ᾄδεσθαι τὴν φωνήν· φάσκουσι δὲ ἔνιοι τὰ ποιήματα, καὶ ᾠδὰς, καὶ ποιήσεις. διαστολὴ δέ ἐστιν, διάστασις γραμμάτων περὶ τὴν σύνταξιν ἀμφιβαλλόντων, ἢ ἀμφιβόλων. διαστολὴ δὲ εἴρηται, ὅτι διαστέλλει τὸν ἐγκείμενον τῶν κώλων σκοπόν . . . ἐκ μὲν τῆς ὑποκρίσεως τὴν ἀρετὴν τῶν Ποιητῶν ὁρῶμεν· ἐκ δὲ τῆς προσῳδίας, τὸν τρόπον τῶν ἀναγινώσκοντες· ἐκ δὲ τῆς διαστολῆς, τουτέστι τῆς στιγμῆς, τὸν διάκοσμον καὶ τὸν σκοπὸν τῶν ποιημάτων διακρίνομεν.

(2) Scholia inedita in Dionysii Grammaticam ὡς. 2. vers. Cod. 485. ἐνέμασται βαρεῖα ἐκ μεταφορᾶς τῶν τὰ φορτία βασαζόντων, ἐπειδὴ τοῦτο ἀνύοντων, οἷονει συγκεκυφότα, καὶ μᾶλλον κάτω φερόμενα ἢ εὐθεῖα τοῦτο ἀνύοντα. Eadem Scholia vol. 4. recr. ἡ μὲν ὀξεῖα

πέραν, τυπτέσι, χθαμαλωτέραν ἀναγκάζονται τὴν βάδισιν ποιῆσαι, τὸν αὐτὸν τρόπον καὶ ἡ βαρεῖα κάτω νεύει.

Πορευείας.

Διονύσιος· " τόνος ἐστὶ φωνῆς ἀπήχησις ἐναρμονίου . . . καὶ περίκλασιν ἐν τῇ περισπωμένῃ. „ περίκλασις φωνῆς λέγεται ἡ ἐν τῷ αὐτῷ ἀνένεξις καὶ κατένεξις, μὴ ἐπιμενούσης τῆς φωνῆς ἐν τῇ ἀναπαύσει, ἀλλὰ μετὰ τὸ ὀξυπαθῆναι καταφερομένης· ὅθεν τὸ σημεῖον τὸ τόνου τοῦτο ἅμα ἀνίησι, καὶ κάτησι· καὶ παρὰ μὲν τοῖς Γραμματικοῖς καλεῖται περισπωμένη, παρὰ δὲ τοῖς Μουσικοῖς, μέση. ἔστι δὲ ἄλως ἡ περισπωμένη τούτοις ἔτυχε τῆς φορᾶς· ἔοικε γὰρ τῷ σχήματι, περικεκλασμένῃ ῥάβδῳ ἐχούσῃ τὰς δύο ἀρχὰς νενεύσας ἀμβλείας· ἢ ἐκ μεταφορᾶς τῶν περισπωμένων ἐν τοῖς φάγμασι· ἔστι δ' ἄρα ὑπὸ τῆς ἀθυμίας δακνόμενοι, δοκοῦσι περικεκλάσθαι.

Τῶν τόνων γνήσιοι μέν εἰσι δύο, ὀ, τε ὀξὺς καὶ ὁ περισπώμενος. ἀλλ' ὁ μὲν καθ' ἁπλῆν λέξεως πάθεται· ὁ δὲ κατὰ πεπονθυίας ὁ περισπώμενος. καὶ ἔστι σύνθετος ἐκ τῆς ὀξείας καὶ βαρείας σωπεθεμένης εἰς τὸν περισπώμενον. ὁ δὲ ἕτερος τόνος, νωθὴς καὶ βραδύς· ὡς ἔστι γνωρίζειν καὶ ἀπὸ τῶν σχημάτων. ὁ μὲν γὰρ ἄπεδῆ λεπτὸς καὶ ἐλαφρὸς ὤν, ἀνωφωρὴς ἐστιν· ὃν τρόπον ἐπὶ τῶν στοιχείων, ὅσα μέν ἐστι βαρύπνοα, κάτω νένευκεν, ὡς ἡ γῆ καὶ τὸ ὕδωρ· ὅσα δὲ κουφόπνοα, τὰ ἄνω φορὰν διώκει, ὡς ὁ ἀὴρ καὶ τὸ πῦρ. ὅτως δὲν καὶ ὁ ὀξὺς τόνος, ἐλαφρὸς ὤν, ἀνατρέχει καὶ ἄνω νένευκεν. ὁ δὲ βαρὺς, ἅπαξ νωχελὴς ὤν, καὶ μικρὸν βαδίζειν δυνάμενος, κάτω νένευκεν, ἐκ μεταφορᾶς τῶν τὰ ἄχθη ἐπιφερομένων. διὰ τοῦτο καὶ ὁ Τεχνικὸς ὁμαλισμὸν φησιν· ὁμαλισμὸς δὲ, τὸ βραδὺ καὶ χθαμαλόν.

Περὶ ῥαψῳδίας.

Διονύσιος· " ῥαψῳδία ἐστὶ μέρος ποιήματος, ἐμπεριειλημφός τινα ὑπόθεσιν (1). „ ἐπειδὴ οἱ ἀρχόμενοι ἀναγινώσκειν παῖδες, πρὸ πάντων τῶν βιβλίων ἄρχονται τῶν Ὁμηρικῶν· τὰ δὲ Ὁμηρικὰ ποιήματα πέμπεται εἰς ῥαψῳδίας· (βέλεται διδάξαι τοὺς παῖδας αὐτὸ τοῦτο, τί ἐστι ῥαψῳδία·) φησὶ δὲ ὅρον τοῦτον· ποίημα μέν ἐστι τὸ ὅλον βιβλίον, ὡς ἡ Ἰλιὰς, καὶ ἡ Ὀδύσσεια· τὰ

ὀξεῖα τοιαύτης ἔτυχε τῆς προσῳδίας, ἀπὸ μεταφορᾶς τῶν ὁρμίων τῶν ὀξέως τεχνέντων. ὥσπερ γὰρ τοὺς ὀξέως τρέχοντας ὁρμοὺς ὀνόμασεν ἐπὶ τὰ ἄνω τεινομένης τῆς φορμίγγος, τὸν αὐτὸν τρόπον καὶ ἡ ὀξεῖα ἐπὶ τὰ ἄνω νεύει. ἡ δὲ βαρεῖα τοιαύτης ἔτυχε τῆς προσῳδίας, ἀπὸ μεταφορᾶς τῶν φορτίδα βαστάζοντων. ὥσπερ γὰρ οἱ φορτίδα βαστάζοντες, τῷ βάρει συγκλινόμενοι κάτω νεύσει, τὸν αὐτὸν τρόπον καὶ ἡ βαρεῖα κάτω νεύει. ἡ δὲ περισπωμένη τοιαύτης ἠμοίρησε τῆς ἐπωνυμίας, ἐπειδὴ ἔοικε τῷ σχήματι, περικεκλασμένῃ ἐκάθεν ἐχούσῃ τὰς δύο ἀρχὰς νενευκυίας πρὸς ἀμβλείας. ὡσεισπωμένη γὰρ λέγεται ἐπειδὴ περικεκλασμένη, ἀπὸ μεταφορᾶς τῶν περισπωμένων ἐν φάγμασι· καὶ γάρ ἔστι ὅτε τὸ πόνῳ δοκάσει περικεκλάσθαι· τοιαύτη γάρ ἐστι ἡ περισπωμένη τῷ σχήματι. ἡ δὲ μακρὰ καὶ ἡ βραχεῖα τοιαύτης ἔτυχον προσῳδίας, καθὸ ἡ μὲν μακρὰ, πολὺ διάστημα κρατεῖ· ἡ δὲ βραχεῖα, ὀλίγον· ἢ ἐκ τοῦ χρόνου, καθὸ ἡ μὲν μακρὰ δύο χρόνους ἔχει· ἡ δὲ βραχεῖα, ἕνα. ἡ δὲ δασεῖα ἅτας σπασμῶν, ἀπὸ τοῦ δασύτητος, ὃ δηλοῖ τὸ εἰμὶ· οἷονεὶ ἡ πάνυ εἰμὶ σα, καὶ ἀσθενοῦς προφερομένη τοῦ πνεύματος.

(1) Cod. 489. ῥαψῳδία μέρος ἐστὶ ποιήματος περιλαβὸν καὶ ἔχον ἐν ἑαυτῷ ὀλίγα τινὰ καὶ μικρὰ ὑποπέτειαν, ὡς ἡ Ἄλφα ὀργὴν Ἀχιλλέως, καὶ ἡ Βῆτα, ἀπατηλὸν ὄνειρον· καὶ ἡ Γάμμα, Ἀλεξάνδρου καὶ Μενελάου μονομαχίαν, πίστιν περιπέτειαν· ὑποθέσεως σύμπτωμα.

τὰ δὲ τμήματα αὐτῶν ῥαψῳδίας καλοῦντας. καλῶς δὲ εἶπε μέρος εἶναι τοῦ ὅλου λόγου ἑκάστην ῥαψῳδίαν. ἀλλὰ καὶ αὐτὸ τὸ μέρος περιέχει τινὰ εἰδικωτέρα ὑπόθεσιν μὴ ἐμφερομένου ἐν τοῖς ἄλλοις μέρεσιν· ὡς τὸ μὲν πρῶτον ἄλφα περιέχει τὴν μάχην Ἀχιλλέως καὶ Ἀγαμέμνονος· τὸ Β, τὸν ὄνειρον καὶ πεμφθέντα ὑπὸ τοῦ Διὸς πρὸς τὸν Ἀγαμέμνονα· τὸ Γ, τὴν μονομαχίαν τοῦ Ἀλεξάνδρου καὶ Μενελάου· καὶ τὰ ἑξῆς ἕκαστον τούτων ἐμπεριείληφε, τυπτέσθω, περιέχει δίκην (lege εἰδικήν) τινὰ ὑπόθεσιν, ὃ μέρος ἐστὶ τοῦ ὅλου ποιήματος.

Βούλεται λοιπὸν ἐτυμολογῆσαι τίνος ἕνεκεν εἴρηται ῥαψῳδία· καὶ φησὶν, οἱονεὶ ῥαβδῳδία τις οὖσα, τυπέστην ἡ ἐπὶ ῥάβδῳ ᾠδή· οἱ γὰρ μεθ' Ὅμηρον τὰ αὐτοῦ ποιήματα, περιερχόμενοι, ᾖδον, ῥάβδον δαφνίνην κατέχοντες, σύμβολον Ἀπολλωνιακόν. ἢ ἀπὸ τοῦ ῥάπτειν, ὅπερ ἐστὶ, τὰ διεστῶτα καὶ διῃρεκωσμένα εἰς ἓν συνάπτοντα ὑγιάζειν· ἔστι γὰρ ῥῆμα ῥῶ, καὶ σημαίνει τὸ ὑγιάζω, ἔνθεν φαμέν, καὶ ἐῤῥῶσο. ἀπὸ τοῦ ῥῶ ἂν τύπτω γίνεσθαι παράγωγον ῥῆμα τὸ ῥάπτω· ὅθεν καὶ ἕως νῦν ῥῶπάς φαμεν τοὺς τὰ διεστῶτα καὶ διῃρημένα ἱμάτια εἰς ἓν συνάγοντας, καὶ ὑγιεῖς ποιοῦντας· ἀπὸ τοῦ ῥάπτω ἓν τύπτω, ὁ μέλλων γίνεται ῥάψω, ἀφ' οὗ παράγωγον, ῥαψῳδία· οἱ γὰρ μεθ' Ὅμηρον, ὡς εἴρηται, περιερχόμενοι καὶ ᾄδοντες τὰ αὐτοῦ, οὐκ ἐφεξῆς ὡς νῦν κεῖνται οἱ στίχοι, ὅτως ἔλεγον ἀκολούθως ἐπιδεικνύμενοι, ἀλλ' ἐντεῦθεν κἀκεῖθεν· λόγου χάριν, ἀπὸ τοῦδε τοῦ σελιδίου ἕνα στίχον, καὶ ἀπὸ ἑτέρου σελιδίου ἕνα, καὶ ἀπὸ ἄλλου ἄλλον λαβόντες· καὶ ὅτως συνάγοντες τοὺς διεστῶτας στίχους εἰς ἕν, τοὺς ἁρμόζοντας τῷ φράγματι, λόγου χάριν εἰς γάμους, εἰς ἄρχοντας, εἰς γενεθλίους, ἢ ἄλλο τι προκείμενον, ὅτως ἐπεδείκνυντο. ὅθεν τοῦτ' ἦν καὶ αὐτὸς ὁ Διονύσιος εἶπε τὰς δύο ἐτυμολογίας.

Ἀναγκαῖον δὲ μετὰ τὴν ἐτυμολογίαν τῆς ῥαψῳδίας, μνησθῆναι κἀκεῖνο, ὅτι ἔν τινι χρόνῳ τὰ Ὁμήρου ποιήματα παρεφθάρησαν, ἢ ὑπὸ πυρὸς, ἢ ὑπὸ σεισμοῦ. (Cod. 489. ἢ ὑπὸ ὑδάτων ἐπιφορᾶς), καὶ ἀπηνάλωσε τὴν βιβλίων ἐξασκεδασθέντων, καὶ φθαρέντων, ὕστερον εὑρέθη ὁ μὲν ἔχων ἑκατὸν στίχους, τυχὸν, Ὁμηρικός· ὁ δὲ, χιλίους· ἄλλος, ἑξακοσίους· ἄλλος, ὅσους ἂν ἔτυχε, καὶ ἔμελλε λήθῃ παραδεδόσθαι ἡ τοιαύτη ποίησις· ἀλλὰ Πεισίστρατος, (1) Ἀθηναίων στρατηγὸς, θέλων ἑαυτῷ δόξαν περιποιήσασθαι, καὶ τὰ τοῦ Ὁμήρου ἀνανεῶσαι, τοιοῦτόν τι ἐβουλεύσατο· ἐκήρυξεν ἐν πάσῃ τῇ Ἑλλάδι τὸν ἔχοντα Ὁμηρικοὺς στίχους ἀγαγεῖν πρὸς αὐτὸν, ἐπὶ μισθῷ ὡρισμένῳ καθ' ἕκαστον στί-

(1) Cod. 489. in quo idem Scholion ad verbum, hæc quoque habet: ῥαψῳδία δὲ εἴρηται, ἡ ἐπὶ ῥάβδῳ ᾠδή· οἱ γὰρ μεθ' Ὅμηρον τὰ αὐτοῦ ποιήματα περιερχόμενοι ᾖδον, ῥάβδον δαφνίνην καθέχοντες, σύμβολον Ἀπολλωνιατικόν· ἢ γὰρ, ὡς φασι, ἀπολείπουσα τὰ τοῦ Ὁμήρου· τότε γὰρ οὐ γραφῇ παρεδίδοντο, ἀλλὰ μόνῃ διδασκαλίᾳ, ὡς ἂν μὴ πάντοτε φυλάττοιντο. Πεισίστρατος δέ τις, Ἀθηναίων τύραννος, ἐν ἔτεσιν ὧν εὐγενὴς, καὶ τέλος θαυμασθῆναι ἐβουλεύσατο· ἠθέλησε γὰρ τῶν Ὁμήρου ποίησιν ἐγγεγραφὲν διαφυλάττεσθαι. τρεῖς δὲ ἀγῶνας δημοτελῆ, καὶ κηρύξας, καὶ δεῖξαι ἀδοντας ᾠδοῖς, καὶ βουλόμενος τὰ Ὁμήρου ἐπιδεικνύσθαι, καὶ μισθοὺς τάξας σπίχῳ ἑκάστῳ, ὁβολὸν, συνήγαγε ἐλεγχρεῖς τὰς λέξεις, καὶ παρέδωκεν ἀνθρώποις σοφοῖς, καὶ ἐπιστήμοσιν, ὡς καὶ τὸ ἐπίγραμμα αὐτοῦ δηλοῖ. Eadem Scholia: ἄλλως· λέγεται ὅτι συνῤῥάφησαν ὑπὸ Πεισιστράτου τοῦ τῶν Ἀθηναίων τυράννου, τὰ Ὁμήρου ποιήματα· καὶ πρῶτον σωστέσθησαν ἐκ τῶν στερεόδων, καὶ, ὡς ἔτυχεν, ἀναγινωσκόμενα, διὰ τὸ μὴ ἁρμογῆν αὐτῶν τῷ χρόνῳ διεστασθῆναι. Prius autem Scholion confirmat opinionem Josephi Homerum scripto consignasse sua poemata sic negantis, in limine prioris libri contra Apionem: Φασὶν οὐδὲ ἔθετο ἐν γράμμασιν ἐκ αὐτοῦ ποίησιν καταλιτεῖν, ἀλλὰ διαυτημονευομένου ἐκ τῶν ᾀσμάτων ὕστερον σωληθῆναι, καὶ διὰ τοῦτο τοῦτο ἐν ἐυτῇ ἔχειν τὰς διαφωνίας.

σίχων. πάντες ἦν οἱ ἔχοντες, ἀπέφηναν, ἢ ἐλάμβανον ἀδιαστρόφως τὸν ὁρισθέντα μισθόν. οὐκ ἀπεδίωκε δὲ οὐδὲ τὸν φέροντα ὡς ἤδη προειληφότα στίχους παρ' ἑτέρου, ἀλλὰ καλέσαντα τὸν αὐτὸν ἐπεδίδου μισθόν. ἐνίοτε γὰρ ἐν αὐτοῖς ἕνα, ἢ δύο στίχους, εὑρίσκε περιττούς, ἐνίοτε δὲ πλείους· ὅθεν τις ἐσθ' ὅτε ἢ ἰδίους παρεισέφερε, τοὺς νῦν ὀβελιζομένους. ἢ μετὰ τὸ πάντας συναγαγεῖν, παρεκάλεσεν οὗ (1) Γραμματικοὺς συνδεῖναι τὰ τοῦ Ὁμήρου, ἕκαστον κατ' ἰδίαν, ὅπως ἂν δόξῃ τῷ συνεπαινοῦντι καλῶς ἔχειν, ἐπὶ μισθῷ πρέποντι λογικοῖς ἀνδράσι καὶ κριτικοῖς ποιημάτων, ἑκάστῳ δεδωκὼς πάντας τοὺς στίχους κατ' ἰδίαν, ὅσους ἦν συναγαγών· ἢ μὴ τὸ ἕκαστον συνθεῖναι κατὰ τοῦτο γνώμῃ, ὡς ἐν συνήγαγε πάντας τοὺς προλεχθέντας Γραμματικούς, ὀφείλοντας ἐπιδεῖξαι αὐτῷ ἕκαστον τῶν ἰδίαν σύνθεσιν, παρόντων ὁμοῦ πάντων. ἦσαν δ' ἂν ἀκροασάμενοι, οὐ φοβοῦ ἦν, ἀλλὰ φοβοῦ τὸ ἀληθές, ἢ πᾶν τὸ τῇ τέχνῃ ἁρμόζον, ἔκριναν πάντες κοινῇ ἢ ὁμοφώνως ἐπικρατῆσαι τῶν σύνθεσιν, ἢ (2) διόρθωσιν Ἀριστάρχου καὶ Ζηνοδότου. καὶ πάλιν ἔκριναν τοῦ δύο

---

(1) Hæc fabella non ita multum abſimilis eſt ab illa, quæ de LXX. Interpretibus a Pſeudonymo Ariſtea tradita fuit, & merito a Ludovico Vives in S. Auguſtini de Civitate Dei L. XI. c. 42., Joſepho Scaligero ad ann. Euſebii 1730., Humphredo Hody in Diſſertatione contra hiſtoriam Ariſteæ, & in libro de Bibliorum textibus originalibus, atque ab Antonio Van Dale in Diſſertatione ſupra Ariſtea, ab altiſque acutiſſimis Criticis exploſa eſt. Cod. autem 489., habet παρεκάλεσε Γραμματικοὺς ὁ βασιλεύς, pro οὗ'.

(2) Stupendum legis anachroniſmum, cum tanto poſt Piſiſtratum intervallo floruerint Ariſtarchus & Zenodotus. Conſer Van Dalen libro de Ariſtea p. 146., & Hody L. 2. de verſionis Græcæ Bibliorum auctoribus veris p. 157. Fabricium Bibliothec. Græc. L. II. c. 2. T. I. p. 273., & Meurſium in Piſiſtrato c. IX. p. 1060. & 1061. Vol. I. Ed. Lamii, qui omnes hunc locum Diomedis Scholiaſtæ in Dionyſii Thracis Τέχνην, e Codicibus excitaverunt. Hinc tamen patet quam fœde corrupta fuerunt Homeri Poemata; de quo hæc notanda habet Euſtathius in Librum primum Iliad. p. 16. & 17. Ed. Politi: τὸ ἀπαγγέλλειν ἦλθ' Ὁμήρου τοίνυν σκεδασθῆναι, ἀρχὴν ἐποιήσατο Κύπριος ὁ Χῖος· ἐλυμήναντο δὲ, φασὶν, αὐτὴν πάμπολλα οἱ ὕστερον τῶν Κυπρίων, καὶ πολλὰ τῶν ἐπῶν αὐτοῦ ποιήσαντες, παρεισάκτου δὲ ἡ διορθώσατο καὶ Ὠκεανὸς βίβλου. Qui quidem Cynæthus, patria Chius, primus, ibidem obſervante Politi, Syracuſis Homeri carmina ἐρραψώδησεν Olympiade LXIX., & auctor perhibetur hymni in Apollinem, qui Homero eſt adſcriptus. Priſtinum autem Homero nitorem, ſaltem maxima ex parte, reſtituemus, clariſſimamque ei facem accendemus ope duorum Codicum Venetorum 453. & 454., quorum poſteriore nihil pretioſius aut utilius fingi poteſt, & in quo inſunt variantes in Iliadem lectiones excerptæ ex antiquiſſimis illis & deperditis Homeri Editionibus Chiis, Cypriis, Creticis, Argolicis, Sinopenſibus, Maſſilioticis &c. ex duabus diverſis editionibus Ariſtarchi, ex duabus Antimachi, celeberrimi illius poetæ Colophonii, ex Edd. Zenodoti, Ariſtophanis Byzantini, Calliſtrati, Rhiani, Soſigenis, Philemonis Cretici, Antiphanis &c. & in quo ſæpe laudantur αἱ Ἀριστάρχου, καὶ αἱ ἄλλαι χεῖρον πᾶσαι διορθώσεις, αἱ πλεῖσται καὶ χαριέστεραι τῶν ἐκδόσεων, & αἱ κοιναὶ, & αἱ μέτριαι, & αἱ ἐκκαιδέκατοι, & αἱ ἀπὸ πόλεων, vel αἱ διὰ τῶν πόλεων, vel ἔνιαι τῶν κατὰ πόλεις, vel αἱ πολιτικαὶ, & αἱ κατ' ἄνδρα, & ἡ συνήθης ἀνάγνωσις, & παλαιαὶ ἀντίγραφα, & τὰ φαῦλα τῶν ἀντιγράφων. In hoc Codice 454. ſingulis Iliados libris hæc nota ſubjecta eſt: παράκειται τὰ Ἀριστονίκου σημεῖα μετ' ὑπομνημάτων, (ut additum ad finem Iliadis Σ,) καὶ τὰ Διδύμου περὶ τῆς Ἀριστάρχου διορθώσεως. τινὰ δὲ καὶ ἐκ τῆς Ἡρωδιανοῦ Ἰλιακῆς προσῳδίας, ἢ Νικάνορος περὶ στιγμῆς Ὁμηρικῆς. Ad marginem ſingulorum fere verſuum ibidem appicta ſunt ſigna critica, ὀβελὸς, ὀβελὸς σὺν ἀστερίσκῳ, ἀστερίσκος καθ' ἑαυτὸν, διπλῆ καθαρὰ, διπλῆ περιεστιγμένη, ἀντίσιγμα ἀστικτον, ἀντίσιγμα μετὰ στιγμῶν, κορωνὶς &c. &c. a veteribus Criticis uſurpata ad indicandos verſus nothos & ſpurios, obſcuros, corruptos, notandos, falſas Cratetis lectiones, vel Ariſtarchi & Zenodoti emendationes, loca ambigua, propria ſede mota, vel quæ ſecum repugnare & ſibi adverſari videantur, diſtinctiones, ſeparationes, ea quæ ad antiquitatem, hiſtoriam & mythologiam pertinent, voces ἅπαξ λεγομένας, aut

Ho-

δύο συνθέσεών τε καὶ διορθώσεων βελτίονα τῷ Ἀριστάρχῳ. ἐπειδὴ δέ τινες τῶν συναγαγόντων τὰς Ὁμηρικὰς στίχους φασὶ τὸν Πασίστρατον, ἀφ' τὸ πλέονα

Homero proprias, aut Atticas, aut πολυσήμους, egregie dicta & cogitata, schemata, recentiorum interpretationes, aut historias, loca quibus quidam Critici abusi fuerant, ut Iliadem, & Odysseam ejusdem non esse demonstrare conarentur &c. Horumce criticorum signorum explicationem deprompsi e libello Græco inedito, qui in eadem S. Marci Bibliotheca, Codice 483. servatur, quemque præmittam novæ meæ Iliadis Editioni, quæ cum hisce signis criticis & aureis illis utriusque Codicis prodibit Scholiis. In his autem Scholiis, ac præsertim in posteriori Codice 454, sæpissime laudantur Aristarchus, & οἱ Ἀριστάρχειοι, vel εἰ μὴ Ἀριστάρχου, Aristophanes Byzantinus ἐν γλώτταις, Clearchus ἐν γλώτταις, Apollodorus Athenienſis ἐν γλώσσαις, Zenodotus, & Aristarchus ἐν τοῖς πρὸς Κωμανὸν, λέξεις ἐκ τῶν πρὸς Κωμανὸν, Comanus, Parmenion ὁ Γλωσσογράφος, Apollonius, Archimi alius, olim a nobis editus, οἱ Γλωσσογράφοι, Apion, Heliodorus, Pamphilus, Alexion, qui & Alexander Myndius dictus est, Alexander ὁ Πλευρώνιος, Ptolemæus ἐν τῷ περὶ συναλοιφῆς, Ptolemæus ὁ Ἐπιθέτης, Ptolemæus Alexandrinus, cognominatus Pindarion, & sic designatus in hoc Codice, Πτολεμαῖος ὁ Ὀρσάνδε ἐν τοῖς Ὁμηρικοῖς ὑποδείγμασιν, Ptolemæus Ascalonita ἐν τῷ περὶ Ἴδης Κρατητὶς αἱρέσεως, & ἐν ταῖς Ὀδυσσειακαῖς γραφαῖς, Seleucus Alexandrinus, cognominatus Homericus, ἐν τῇ πολυσίχῳ, Callistratus ἐν τῷ πρὸς τὰς ἀθετήσεις, & περὶ Ἰλιάδος, Aristonicus Alexandrinus ἐν σημείοις Ὁμηρικοῖς, Didymus ὁ Χαλκέντερος ἐν τῷ περὶ τῆς Ἀριστάρχου διορθώσεως, Aristades, Neoteles, Hermappias, Zopyrus, Chrysippus, Cleanthes, Agallias Corcyræus, Telephus, Philetas Cous, Tyrannion, Philoxenus ἐν τῷ περὶ προσῳδιῶν, & ἐν τῷ περὶ μονοσυλλαβῶν ῥημάτων, Callimachus, Dionysidorus Alexandrinus, Ilier Cyrenæus, Nicias, Lysanias, Epaphroditus, Aristocles, Agathocles, Proteas, Crates Mallotes, Apollonius ὁ τῷ Χαίρωνος, Apollonius Rhodius, Apollonius Dyscolus ἐν τῷ περὶ παρωνύμων, & ἐν τῷ περὶ συντάξεως, Apollonius ὁ τῷ Θέωνος, Apollonius ὁ τῷ Μολώνος, Apollonius ὁ διδάσκαλος ἡμῶν, inquit unus ex illis Criticis, quorum notæ in hoc Cod. exhibentur; Diodorus Tarsensis, Zoilus, Chœris, Chamæleon, Democrines, Leptines, Theagenes Rheginus, Menecrates, Demetrius Ixion, Demetrius Scepsius, Neoptolemus Parius, Horus, Nicanor ἐν τῷ περὶ στιγμῆς Ὁμηρικῆς, Porphyrius ἐν τοῖς Ὁμηρικοῖς ζητήμασιν, & ἐν τοῖς περὶ τῆς παραλελειμμένων τῷ Ποιητῇ ὀνομάτων, Ammonius Alexandrinus ἐν τῷ πρὸς Ἀθηνοκλέα συγγράμματι; & ἐν τῷ περὶ τῆς ὑπὸ Πλάτωνος μεμεμψιγμένων ἐξ Ὁμήρου, & ἐν τῷ περὶ τῆς ἐπεκδοθείσης διορθώσεως, Tryphon ἐν τῷ περὶ τῆς ἀρχαίας ἀναγνώσεως, Parmeniscus, Pius, Alexander ὁ Κοττιαεὺς ἐν τοῖς ἐξηγητικοῖς, Phrynichus, Metacides, Glaucon Tarsensis, Ζηνέδωρος, vel potius Ζηνόδοτος, συγγράψας περὶ τῆς Ὁμήρου σωφηθείας, Dionysius ὁ Σκυτοβραχίων, Dionysius Sidonius, Dionysius Thrax ἐν τῇ περὶ ποσοτήτων, ἐν τῇ πρὸς Κράτητα, Posidonius ὁ τῷ Ἀριστάρχου ἀναγνώστης, id est, Aristarchi discipulus, Dionysius ἐν τοῖς ἀτόροις, Antigonus, Autodorus, Cumæus, Herodianus ἐν τῇ Ἰλιακῇ προσῳδίᾳ, ἐν τῇ καθολικῇ προσῳδίᾳ, ἐν τῇ ὀρθογραφίᾳ, ἐν τοῖς ὀνομαστικοῖς, ἐν τῷ ποιήματι τῷ περὶ παθῶν, ἐν τῷ περὶ σχημάτων, Timotheus, Istiæa, Aristodemus ὁ Νυσαεύς, Sosiphanes, Harpocration ὁ Δίς διδάσκαλος, Dorotheus Ascalonita, Heraclides Ponticus, Nesus Chius, Stesimbrotus, Polyclitus, Heracleon, Lesbocles, Clitophon, Mnaseas, &c. &c. & infiniti alii Critici veteres, ac præsertim ii qui ex Alexandrina Schola, tanquam ex equo Trojano profiluere, ac vocabantur οἱ λυτικοὶ, & ut Eustathii verba usurpem, οἱ τὴν Ὁμηρικὴν ἀπορίαν λυτικοὶ, quod in Museo Alexandrino, ut plurimum, Homericis quæstionibus, & difficultatibus excogitandis & argute solvendis vacarent, inquit summus Valckenær. p. 146. Dissertat. de Scholiis in Homerum ineditis. De hisce autem Homericis difficultatibus, quæ plerosque latent, sic vere loquitur Porphyrius in Præfatione suorum Ὁμηρικῶν Ζητημάτων: ἐν τοῖς Ὁμήρου ποιήμασιν ἀγνοεῖται πολλὰ τῷ μὴ φρέσιν. λανθάνει δὲ τοὺς πολλοὺς, τῇ δοκούσῃ σωτρέχειν τῷ ποιήματι ὁλοχερεῖ σαφηνείᾳ προσέχοντας. αὐτὸς δὲ ἕκαστος ἑαυτὸν ἀνακρίνων, εὐθυνέτω, πρὶν ὑφ' ἡμῶν ἐπαχθῆναι τῇ ἐξηγήσει, ποίαν περὶ τῶν περιπλομένων ἐτῶν εἶχε τὴν διάνοιαν. ἢ γὰρ ταὐτὰ γνοὺς ἡμᾶς λέγοντας, βεβαίαν τὴν περὶ τῶν νοηθέντων ἕξει κρίσιν· ἢ σφαλλόμενος μεταβήσεται. Quod iis faciendum qui hac Veneta Scholia mox typis tradenda tractabunt. Idem ibid. Porphyrius, in quarta quæstione ad versum 423. Iliadis 23. ἐ δεῖ δυσχεραίνειν, εἰ τῷ νῦ παιδιστὶ τὰς πολλὰς λανθάνει τινὰ τῶν Ὁμηρικῶν, ὥστε μὴ τὸν δοκοῦντα εἶναι ἀκριβέστατον ἐν πολυγεγράμματον Καλλιμάχου ἔλαθε κ. τ. λ. Idem Porphyrius quæstion. 5, Philemo-

ni

ἐκ μισθὸν λαβεῖν, ⁊ ἰδίως σπᾶσθαι, ὡς καὶ εἴρηται, σκεψάμενοι προσέθηκαν, ⁊ ἤδη ἐν συνηθείᾳ ἐγένοντο τοῖς ἀναγινώσκουσιν· οὐκ ἔλαθε τοῦτο τοὺς κριτὰς, ἀλλὰ μὲν δημοσίᾳ τῷ συνήθειαν ⁊ φιλοτιμίαν, ἀφεῖκαν αὐτοὺς κᾶσθαι, ἰδίᾳ δὲ ἑκάστῳ τῶν ἀδοκίμων καὶ ἀποτρίων, καὶ ἀναξίων τὰ Ποιητὰ σπᾶσθαι παραπεμένοι, τοῦτο αὐτὸ ἐπεδείξαντο, ὡς ἀνάξιοί εἰσι τὰ Ὁμήρου. φέρεται δ' ἐπίγραμμα εἰς τὸν Πεισίστρατον παιδάσαντα συναγαγεῖν τὰ Ὁμήρου τοιοῦτον·

Τρίς με τυραννήσαντα, τοσαυτάκις ἐξεδίωξε
Δῆμος Ἀθηναίων, ⁊ τρὶς ἐπηγάγετο,
Τὸν μέγαν ἐν βουλῇ Πεισίστρατον, ὃς τὰ Ὁμήρου
Ἤθροισα, διαράψας τὸ φρὶν ἀνιδόμενον.
Ἡμέτερος γὰρ κεῖνος ὁ χρύσεος ἦν πολιήτης,
Εἰπεῖν Ἀθηναῖοι Σμύρναν ἀπῳκίσαμεν.

Ἄλλως. Διονύσιος· " ῥαψῳδία ἐστὶ μέρος ποιήματος, ἐμπεριείληφός τινα ὑπόθεσιν. „ ποιήσεως ἐχρῆν εἰπεῖν, ἢ ποιήματος. ποίησις γὰρ, ἡ πᾶσα Ἰλιὰς· ποίημα δὲ, ἑκάστη ῥαψῳδία. διαφέρει δὲ ποίημα, καὶ ποίησις, καὶ ποιητικὴ, καὶ ποιητής. ποίημα ὁ σπᾶσθαι καὶ σύνταγμα, τὸ ἐν τῷ αὐτῷ ἀρχὴν καὶ τέλος ἔχον, οἷόν ἐστι τὸ Α τῆς Ἰλιάδος, ἢ Νυκτεγερσία (1) καλουμένη. ποίησίς ἐστιν, ἥτις ἀρχὴν μὲν ἐκ ἔχει ἐν τοῖς πρόσθεν, τὸ δὲ νόημα ἐν τοῖς ἑξῆς ἀποτελεῖ, ποίημα δὲ φράσις ἔμμετρος καὶ εὐρυθμος, ἀρχαιοτέρα καὶ σεμνοτέρα τῆς λογικῆς σωτάξεως, καὶ τῶν ὑποκειμένων πραγμάτων, ἢ ὡς ὑποκειμένων, τιθεμένη· ὑποκειμένων μὲν, θεῶν τε καὶ ἀνθρωπίνων· ὡς ὑποκειμένων δὲ, Σκύλης, Χιμαίρας, καὶ τῶν ὁμοίων.

Καὶ ἄλλως, Πορφυρίου· ὁ ἐμπεριεχόμενος νοῦς ἐν τῇ ὑπογραφῇ, τοῦτον ἔχει τὸν τρόπον, ὅτι ῥαψῳδία ἐστὶ μέρος ποιήματος· ποίημα δὲ ἡ Ἰλιὰς, ⁊ ἕτερον ποίημα ἡ Ὀδύσσεια· τὸ δὲ σωματικώτερον λέγεται ποίησις· ἑκάστη δὲ τῶν ῥαψῳδιῶν οἰκείαν ὑπόθεσιν ἔχει. ὠνόμασται δὲ ἀπὸ τοῦ ῥάπτω μέλοντος, καὶ τῆς ᾠδῆς. σωέρραπτον γὰρ τοῖς καπήλοις διάνοιαν ἁπαρτίζοντας στίχους Ὁμηρικοὺς, ⁊ ἔφαλλον τὸ ἐφαρμόζον μέλος τῶν τῷ τοῦ Ἀπόλλωνος ἑορτήν. κατὰ-

ni affentitur declaranti corrupta esse, & mendis scatere Homerica poemata. Scriptores autem, qui in hisce Scholiis nunquam satis laudandis citantur, quorumque fragmenta in iis servantur, hi fere sunt: Hesiodus ἐν καταλόγῳ, Anacreon, Sappho, Pindarus, Archilochus, Alcman, Stesichorus, Simonides, Ibycus, Menander, Alexion Comicus, Aristophanes ἐν ὀλκάσι, ἐν Ἀχαρνεῦσι, ἐν ἱππεῦσι, ἐν Σοφισταῖς, ἐν Πλούτῳ δευτέρῳ, Eubulus, Eupolis, Alexander ἐν Διονύσῳ, Pherecrates, Eubulus ἐν Στεφανοπωλίσι, Diphilus ἐν Ἀναγυρῷ, τῆς νῦν ἀρχαίων ἐπιβατοῦσι, Philemon, Alexinus ἐν Φρυξὶν, ἐν Ἡδωνοῖς, Euripides ἐν Μηδείᾳ, ἐν Φοίνιξι ἐν Παλαμήδει, ἐν Ἀλκηστίδι, Sophocles ἐν Μελανίππῃ, Apollonius Rhodius, Aratus ἐν τῷ πρὸς Θέωνα ἐπικαιρίῳ, Callimachus ἐν αἰτίοις, Euphorion, Lycophron ὁ γραμματικὸς τὰ τραγῳδούμενα, Quintus (Calaber) ἐν τοῖς μετ' Ὅμηρον, Oppianus ἐν τοῖς Ἁλιευτικοῖς, Heliodorus, Stasinus ἐν τοῖς Κύπρια ποιήσασι, Antimachus, Ἄνδρων ἐν ταῖς ἱστορίαις, Chaerestodorus ἐν τοῖς Δυδιακοῖς, Rhianus ἐν Θεσσαλικοῖς, Hellanicus ἐν πρώτῳ τῶν Ἀτλαντικῶν, & ἐν Τρωϊκοῖς, Stamphylus ἐν τοῖς Θεσσαλικοῖς, ἐν Βοιωτιακοῖς, ἐν Ἀργολικοῖς, οἱ Ἀργολικοὶ συγγραφεῖς, τινὲς τῶν τὰ Αἰολικὰ συγγεγραφότων, Serapion ἐν Τρωϊκοῖς, Polemon, Πολεμώνιοι, ἤτοι οἱ κυκλικοὶ, Dictys, Panyasis, Plato ἐν πολιτείᾳ, ἐν νόμοις, ἐν ἀπολογίαις Σωκράτης, Thucydides, Xenophon, Isocrates Theopompus, Timæus, Theophrastus, Eratosthenes, Eudoxus ἐν τῷ Ἔρμῃ, Praxagoras, Apollodorus, Philochorus, Polemarchus, uterque Pherecydes, Hegemon, Anaxarchus, Autochthon, Hermogenes, Alcæus ὁ ἐπιγραμματοποιὸς a Lyrico diversus &c. &c. &c. Hippocrates, Herodicus ὁ Σηλυβριανὸς &c. Heraclitus, Xenophanes ὁ Κολοφώνιος, Dosiades, Acusilaus, Ἀρτεμὼν ὁ Μιλήσιος ἐν τῷ περὶ ὀνείρων, Thrasibulus, Acestodorus, &c. &c.

(1) Legendum igitur τὸ Β τῆς Ἰλιάδος, pro τὸ Α.

χον ὃ δὲ κλάδες δαφνῶν οἱ Ὀμηρίτου ἐν ταῖς χερσὶν (1), ὅτε τὰς Ὁμηρικὰς σφραγῖδας ἐν τῇ τοῦ Ἀπόλλωνος ἑορτῇ ἔφερον.

Περὶ στοιχείων. E Cod. 489.

Διομήδης.

Τῷ στοιχείῳ, τυπέσι τῇ ἐκφωνήσει, παρέπεται τέσσαρα· ὄνομα, ὡς ἄλφα, βῆτα, δὲ τὰ ἑξῆς· χαρακτὴρ, ὡς τρίγωνον σχῆμα, ἢ ἡμικύκλιον, ἢ στρογγύλον, δὲ τὰ ἑξῆς· δύναμις, ὡς μακρὸν, βραχὺ, δασὺ, ψιλὸν, φωνῆεν, σύμφωνον, δὲ τὰ λοιπά· τάξις, ὡς τὰ μὲν προτακτικὰ τῆς φωνήεντων, δὲ συμφώνων· τὰ δὲ, ὑποτακτικά. τῷ μὲν ἓν ἐκφωνήσει τῆς στοιχείων ἡ φύσις τοῖς ἀνθρώποις ἐχαρίσατο. τὰ δὲ τέσσαρα, ἃ προεριθμησαμεν παρεπόμενα τῷ στοιχείῳ, ἀνθρώπων ἐστὶν ἐφεύρεσις. διὸ δὲ παρ' ἡμῖν μὲν οἱ χαρακτῆρες τῆς στοιχείων τοιοίδε τινές εἰσιν ὡς ἐδιδάχθημεν, ὡς προῖόν ὁ λόγος δηλώσει· παρὰ δὲ Πέρσαις, ἕτεροι· παρὰ δὲ Σύροις, ἄλλοι· παρὰ δὲ ἄλλοις ἔθνεσιν, ἄλλοι. εὑρέθη γὲν ἑκάστη ἐκφωνήσει τοιάδε τις εἰκών, ἥτοι χαρακτὴρ, δὲ μετὰ τοὺς χαρακτῆρας ἐφεύρεθη δὲ ἐπετέθη αὐτοῖς τὰ ὀνόματα, ὥστε (2) ἔχειν τῆς στοιχείων ἕκαστον τοιόνδε τὸν χαρακτῆρα δὲ τὸ ὄνομα τῇ ἐκφωνήσει. διὸ καταυοήσαντί μοι τὰς τε ἐκφωνήσεις αὐτῶν, δὲ τὰ ὀνόματα, παράδοξόν τι ἐφάνη παρηκολουθηκέναι τοῖς γράμμασιν· ἐκ πάντων φημὶ τὸ υ δὲ τὸ (3) β, τῇ τε τοῦ ἐνόματος αὐτῶν σωτελεύσει δὲ τῆς ἐκφωνήσεως. τούτων γὰρ μόνον μᾶλλον τὸ ὄνομα ὁμοφώνως τῇ ἐκφωνήσει, καὶ τῷ ἐκφωνήσιν ὁμοφώνως τῷ ὀνόματι φθεγγόμεθα· τῷ δὲ αἰτίαν τούτων φιλοσόφοις ἀναπέμπω.

Ex altero Cod. S. Marci: τινὲς δέ φασι τοὺς χαρακτῆρας τῆς στοιχείων, τοὺς παρ' ἡμῖν ὑπὸ Ἑρμοῦ ἐν φοινίκος φύλλῳ γεγραμμένους, καταπεμφθῆναι τοῖς ἀν-

(1) Scholia Cod. 489. ἢ διὰ τὸ ἀειθαλὲς τοῦ φυτοῦ, καὶ τὸ ἀειθαλὲς τῆς Ὁμήρου ποιήσεως. ἢ ὅτι μαντικὴ ἡ δάφνη· οἱ γὰρ μαντεύομενοι ἐδαφνηφάγουν· μαντικὴ δὲ καὶ ποιητική. καὶ ἂν γὰρ εἴη τέλειος ὁ Ποιητὴς, εἰ μὴ ἱστορήσει καὶ διηγήσεται, καὶ μαντεύσεται· ὡς καὶ ὁ Ποιητὴς φάσκεται μαντεσύμβροτος, ἐν οἷς φησιν ἐκ προσώπου τοῦ Ποσειδῶνος· "νῦν δὴ Αἰνείαο βίη Τρώεσσιν ἀνάξει, δὲ παῖδες παίδων, καὶ οἱ μετόπισθεν ἔσονται." ὅτι δὲ ἀληθῆ ἐμαντεύσατο, δηλοῦσι καὶ μαρτυροῦσι τὰ Ῥωμαϊκὰ πράγματα, ἐκ τοῦ Ἀγχίσου Αἰνείᾳ τῷ βασιλέων διαδεξάμενον, δὲ ἕως τοῦ νῦν τοῦ ἐπ οἰκάντων τῶν Τρόιαν βασιλεύοντος· ἢ ὅτι ἐνθουσιαστικὸν τὸ φυτὸν, δὲ ἐνθουσιαστικὴ δὲ δὲ ἡ ποιητικὴ καὶ Πλάτωνος. φησὶ γὰρ ὁ φιλόσοφος· ὅστις ἀνὰ μανίαν ἐπὶ ποιητικὰς ἔργασται ἦλθε, ἀτελὴς αὐτοῦ ἡ ποίησις. ἐπιστατέον δὲ ὅτι, εἰ μὲν κατὰ τὴν Ἰλιάδος οἱ Ὁμηρίδαι φοινικᾶν ἐφόρουν στέφανον, τὸ περὶ ἐκχύσεως αἱμάτων λέγειν αὐτὸν τοῦ ὑπόθεσιν· εἰ δὲ κατὰ τὴν Ὀδυσσείας, κυάνεον, διὰ τὸ ποιᾶσαι εἶναι τὸ θαλάττης χρῶμα . . . τρία εἴδη ποιήσεως· διηγηματικὸν, μιμητικὸν δὲ μικτόν. διηγηματικὸν μὲν, ὅτε τὸ τοῦ Ποιητοῦ πρόσωπον ἐμφάνεται· μιμητικὸν δὲ, ὅτε διάφορα πρόσωπα ὁ Ποιητὴς μιμεῖται· μικτὸν δὲ, ὅτε δὲ τὸ τοῦ Ποιητοῦ πρόσωπον ἐμφάνεται, καὶ διάφορων προσώπων μίμησις. ἄλλως· διηγηματικὸν, ἡνίκα ὁ λόγος ἐκ ποιητικοῦ μόνου προσώπου λέγεται· μιμητικὸν, ὥσπερ αἱ κωμῳδίαι δὲ αἱ τραγῳδίαι· ἐν τούτοις γὰρ τὸ τοῦ ποιήσαντος οὐκ ἐμφάνεται, ἀλλὰ μιμοῦνται ἕτερα πρόσωπα· μικτὸν, ὡς αἱ ῥαψῳδίαι τοῦ Ὁμήρου. Vide autem Dresigii Commentationem de Homeri Rhapsodis Lipsiæ 1733.

(2) Ὥστε ἔχειν & sequentia usque ad διὸ κατανοήσαντι. Pro hisce alter Cod. S. Marci habet, ὥσπερ τῷ Α στοιχείῳ τοιόν δὲ χαρακτῆρα τὸν ἔχοντα τοιάνδε τὴν ἐκφώνησιν, τῷ δὲ ὀνόματι καλεῖσθαι· διὸ κ. τ. λ.

